NYPL RESEARCH LIBRARIES
3 3433 07437163 8

NSP
BERKE

IMMANUELIS BEKKERI,

PROFESSORIS BEROLINENSIS,

ANECDOTA GRAECA.

VOLUMEN TERTIUM.

THEODOSII CANONES.
EDITORIS ANNOTATIO CRITICA.
INDICES.

NEW YORK PUBLIC LIBRARY

BEROLINI, 1821.
TYPIS ET IMPENSIS
G. REIMERI.

NEW YORK
PUBLIC
LIBRARY

Digitized by Google

ΘΕΟΔΟΣΙΟΥ

ΚΑΝΟΝΕΣ.

NEW YORK
PUBLIC
LIBRARY

NEW YORK
PUBLIC
LIBRARY

ΘΕΟΔΟΣΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ

ΕΙΣΑΓΩΓΙΚΟΙ ΚΑΝΟΝΕΣ ΠΕΡΙ ΚΛΙΣΕΩΣ ΟΝΟΜΑΤΩΝ.

ΠΕΡΙ ΑΡΡΕΝΙΚΩΝ ΚΑΝΟΝΩΝ.

Κανὼν α.

Ἑνικά. *Αἴας Αἴαντος*: τὰ εἰς ας καθαρὸν ὀνόματα δισύλλαβα βαρύτονα μακροκατάληκτα ἀρσενικὰ διὰ τοῦ ντ κλίνεται, Θόας Θόαντος, Ὕας Ὕαντος, Αἴας Αἴαντος. *Τῷ Αἴαντι*: πᾶσα γενικὴ εἰς ος λήγουσα μεταβάλλουσα τὸ ος εἰς ι τὴν δοτικὴν ποιεῖ ὁμότονον καὶ ὁμόχρονον, Θόαντος Θόαντι, ἔρωτος ἔρωτι, Μίνωος Μίνωϊ, Αἴαντος Αἴαντι. *Τὸν Αἴαντα*: πᾶσα δοτικὴ ἑνικῶν εἰς ι ἐκφωνούμενον λήγουσα, ὅτε ἔχει ἰσοσύλλαβον τὴν αἰτιατικήν, τροπῇ τοῦ ι εἰς α αὐτὴν ποιεῖ, Θόαντι Θόαντα, ἔρωτι ἔρωτα, χάριτι χάριτα, Αἴαντι Αἴαντα, λέβητι λέβητα. *Ὦ Αἶαν*: πᾶσα γενικὴ διὰ τοῦ ντ κλινομένη ἀποβολῇ τοῦ τος ποιεῖ τὴν κλητικήν, εἰ μὴ διφθόγγῳ παραλήγοιτο, χωρὶς τῶν μετοχῶν καὶ τῶν μετοχικῶν ὀνομάτων, Αἴαντος Αἶαν, Ξενοφῶντος Ξενοφῶν, Θόαντος Θόαν. πλακοῦντος δὲ πλακοῦ καὶ Σιμοῦντος Σιμοῦ. *)

Δυϊκά. *Τὼ Αἴαντε*: πᾶσα δοτικὴ ἑνικῶν εἰς ι ἐκφωνούμενον λήγουσα τροπῇ τοῦ ι εἰς ε τὴν εὐθεῖαν τῶν δυϊκῶν ποιεῖ, βοῒ βόε, Θόαντι Θόαντε, Αἴαντι Αἴαντε. *Τοῖν Αἰάντοιν*: πᾶσα εὐθεῖα δυϊκῶν εἰς ε ἢ εἰς ο λήγουσα εἰς οιν ποιεῖ τὴν γενικὴν καὶ δοτι-

*) ἐν ἄλλῳ καὶ σησαμοῦντος σησαμοῦ.

κήν, ἔρωτε ἐρώτοιν, κανόνε κανόνοιν, Ὁμήρω Ὁμήροιν, σοφώ σοφοῖν. Ὦ Αἴαντε: τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθή, οὕτω καὶ ἡ κλητική.

Πληθυντικά. Οἱ Αἴαντες: πᾶσα εὐθεῖα δυϊκῶν εἰς ε̄ λήγουσα προσθέσει τοῦ σ̄ ποιεῖ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, χάριτε χάριτες, νᾶε νᾶες, ἔρωτε ἔρωτες. Τῶν Αἰάντων: πᾶσα γενικὴ πληθυντικῶν κοινὴ εἰς ω̄ν λήγει ἐπὶ παντὸς γένους. Τοῖς Αἴασι: πᾶσα εὐθεῖα ἑνικῶν εἰς σ̄ λήγουσα μετὰ μακρᾶς, περισσοσυλλάβως κλινομένη καὶ μὴ συναιρουμένη κατὰ τὴν γενικήν, προσθέσει τοῦ ῑ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, λέβης λέβητος λέβησι, Τρώς Τρωός Τρωσί, Πηλεύς Πηλέως Πηλεῦσι, παῖς παιδός παισί, πλὴν τοῦ πούς ποδός ποσί. Τοὺς Αἴαντας: πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς ᾱ λήγουσα προσθέσει τοῦ σ̄ ποιεῖ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν, Κύπριδα Κύπριδας, Αἴαντα Αἴαντας. Ὦ Αἴαντες: εἴπομεν ὡς τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθή, οὕτω καὶ ἡ κλητική.

Κανὼν β.

Ἑνικά. Ὁ κοχλίας τοῦ κοχλίου: τὰ εἰς ᾱς καθαρὸν ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ βαρύτονα εἰς οῦ ἔχει τὴν γενικήν, Παπίου, Ἑρμείου, Αἰνείου. εἰ δὲ εἰς ᾱ περατώσεις τὴν γενικήν, τοῦ Παπία λέγων καὶ τοῦ Ἑρμεία, Δωρικὴ ἔσαι ἡ κλίσις, συνήθης γεγονυῖα τῇ κοινῇ διαλέκτῳ. σεσημείωται τὸ Πικίας Πικίαντος καὶ Πευκετίας Πευκετίαντος ἐν τῷ κανόνι. Τῷ κοχλίᾳ: πᾶσα γενικὴ ἰσοσυλλαβοῦσα τῇ εὐθείᾳ τὴν δοτικὴν ἔχει εἰς ῑ ἀνεκφώνητον λήγουσαν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας ἢ μείζονος ἀντιστοίχου, ὁ Πέρσης τοῦ Πέρσου τῷ Πέρσῃ, ἡ Μήδεια τῆς Μηδείας τῇ Μηδείᾳ, ἡ γῆ τῆς γῆς τῇ γῇ· καλός δὲ καλοῦ καλῷ διὰ μείζονος. Τὸν κοχλίαν: πᾶσα εὐθεῖα ἑνικῶν εἰς σ̄ λήγουσα, ὅταν ἔχῃ ἰσοσύλλαβον τὴν αἰτιατικὴν μετὰ τῶν αὐτῶν φω-

νηέντων, ν αὐτὴν ἔχει λήγουσαν, ἰχθύς ἰχθύν, καλός καλό.. θεν Ἀττικοὶ Δημοσθένην κλίνουσι μετὰ τοῦ ν. Ὦ κο λία: τὰ εἰς ας ἰσοσυλλάβως κλινόμενα ἀποβολῇ τοῦ σ ποιεῖ τὴν κλητικήν, Μηνᾶς Μηνᾶ, Ζηνᾶς Ζηνᾶ, Κερκιδᾶς Κερκιδᾶ.

Δυϊκά. Τὼ κοχλία: πᾶσα δοτικὴ ἑνικῶν εἰς ᾱ ἢ εἰς ω̄ λήγουσα ὁμόφωνον ἔχει τὴν ὀρθὴν τῶν δυϊκῶν, τῷ Παπίᾳ τὼ Παπία, τῷ καλῷ τὼ καλώ. Τοῖν κοχλίαιν: πᾶσα εὐθεῖα δυϊκῶν εἰς ᾱ λήγουσα προσθέσει τοῦ ιν ποιεῖ τὴν γενικήν, καλά καλαῖν, Πέρσα Πέρσαιν. Ὦ κοχλία: εἴρηται.

Πληθυντικά. Οἱ κοχλίαι: πᾶσα εὐθεῖα δυϊκῶν εἰς ᾱ λήγουσα προσθέσει τοῦ ῑ ποιεῖ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, τὰ Μούσα αἱ Μοῦσαι. εἰ δὲ εἰς ω̄ λήγει, εἰς οι ποιεῖ τὸ πληθυντικόν, πλὴν τῶν οὐδετέρων. Τῶν κοχλιῶν: εἴρηται. Τοῖς κοχλίαις: πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ῑ λήγουσα προσθέσει τοῦ σ ποιεῖ τὴν δοτικήν, οἱ Πέρσαι τοῖς Πέρσαις, αἱ Μοῦσαι ταῖς Μούσαις, οἱ τοξόται τοῖς τοξόταις, οἱ καλοὶ τοῖς καλοῖς. Τοὺς κοχλίας: πᾶσα εὐθεῖα πληθυντικῶν εἰς αι δίφθογγον λήγουσα τροπῇ τοῦ ῑ εἰς σ τὴν αἰτιατικὴν ποιεῖ, Μοῦσαι Μούσας, Πέρσαι Πέρσας. Ὦ κοχλίαι: εἴρηται.

Κανὼν γ.

Ἑνικά. Ὁ Λάχης τοῦ Λάχητος: τὰ εἰς ης βαρύτονα ἰαμβικά, μὴ ἔχοντα ἐπ' εὐθείας τὸ ῑ, εἰς τος ἔχει τὴν γενικήν, λέβητος, Πάχητος, Δάρητος. σεσημείωται τὸ Κόμης Κόμου καὶ γύης γύου. Τῷ Λάχητι. Τὸν Λάχητα: εἴρηται. Ὦ Λάχης: τὰ εἰς ης ἢ εἰς ως ὀνόματα διὰ καθαροῦ τοῦ τος κλινόμενα *)

---

*) ἄλλως. διὰ τοῦ τος ἢ διὰ καθαροῦ τοῦ ος κλινόμενα ὁμόφωνον ἔχουσι τὴν κλητικὴν τῇ εὐθείᾳ, οἷον ὁ Λάχης τοῦ Λάχητος ὦ Λάχης, ὁ γέλως τοῦ γέλωτος ὦ γέλως, ὁ ἥρως τοῦ ἥρωος ὦ ἥρως.

ὁμόφωνον ἔχουσι τὴν κλητικὴν τῇ εὐθείᾳ, τοῦ λέβητος ὦ λέβης, τοῦ ἔρωτος ὦ ἔρως.

Δυϊκά. τὼ *Λάχητε.* Τοῖν *Λαχήτοιν.* ὦ *Λάχητε.*

Πληθ. οἱ *Λάχητες.* τῶν *Λαχήτων.* τοῖς *Λάχησι.* τοὺς *Λάχητας.* ὦ *Λάχητες.*

Κανὼν δ.

Ἑν. Ὁ Χρύσης τοῦ Χρύσου: τὰ εἰς ης σπονδειακὰ βαρύτονα εἰς ου ἔχει τὴν γενικήν, Πέρσης Πέρσου, Τένης Τένου. σεσημείωται τὸ μάσθλητος, Μόργητος, Μίλητος· τὰ γὰρ ἄλλα ἔχουσιν ἀπολογίαν. Τῷ Χρύσῃ: εἴπομεν ὡς πᾶσα γενικὴ ἰσοσυλλαβοῦσα τῇ εὐθείᾳ τὴν δοτικὴν ἔχει εἰς ι ἀνεκφώνητον λήγουσαν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας ἢ μείζονος ἀντιστοίχου. Τὸν Χρύσην: εἴρηται. Ὦ Χρύση: τὰ εἰς ης ἰσοσυλλάβως κλινόμενα, εἰ μὴ παρὰ ῥῆμα εἴη συντεθειμένα ἢ τὸ τ ἔχοι ἢ ἐθνικὰ εἴη, ἀποβολῇ τοῦ σ ποιεῖ τὴν κλητικήν, ὦ Εὐριπίδη, ὦ μισογύνη, ὦ Μηριόνη. εἴπομεν εἰ μὴ παρὰ ῥῆμα εἴη συντεθειμένα διὰ τὸ ὦ γεωμέτρα, ἢ τὸ τ ἔχοι διὰ τὸ ὦ τοξότα, ὦ θῦτα, ἢ ἐθνικὰ εἴη διὰ τὸ ὦ Πέρσα.

Δυϊκά. Τὼ Χρύσα: πᾶσα δοτικὴ ἑνικῶν εἰς η λήγουσα τροπῇ τοῦ η εἰς α τὸ δυϊκὸν ποιεῖ, τῇ Ἑλένῃ τὰ Ἑλένα, τῷ Πέρσῃ τὰ Πέρσα. Τοῖν Χρύσαιν. Ὦ Χρύσα: εἴρηται.

Πληθ. οἱ Χρῦσαι. τῶν Χρυσῶν. τοῖς Χρύσαις. τοὺς Χρύσας. ὦ Χρῦσαι: εἴρηται.

Κανὼν ε.

Ἑν. Ὁ *Δημοσθένης* τοῦ *Δημοσθένεος* καὶ *Δημοσθένους*: τὰ εἰς ης ὀνόματα παρ' οὐδετέρων συντεθειμένα πάντως εἰς ους ἔχει τὴν γενικήν, γένος εὐγενής εὐγενοῦς, ἦθος κακοήθης κακοήθους· σεσημείωται τὸ ἀγκυλοχείλης ἀγκυλοχείλου. εἰδέναι δὲ δεῖ ὅτι

πᾶσα γενικὴ εἰς ους λήγουσα συνῃρημένη ἐςί· δεῖ οὖν τὸν κλίνοντα πρότερον λαμβάνειν τὸ ἐντελὲς καὶ οὕτω ποιεῖν τὴν συναίρεσιν, τοῦ Δημοσθένεος τοῦ Δημοσθένους. τῷ Δημοσθένεϊ τῷ Δημοσθένει. τὸν Δημοσθένεα τὸν Δημοσθένη καὶ Ἀττικῶς Δημοσθένην. τὰ εἰς ης εἰς ους ἔχοντα τὴν γενικὴν εἰς ες ποιεῖ τὴν κλητικήν. *)

Δυϊκά. τὼ Δημοσθένεε τὼ Δημοσθένη. **) τοῖν Δημοσθενέοιν τοῖν Δημοσθενοῖν. ὦ Δημοσθένεε ὦ Δημοσθένη.

Πληθ. οἱ Δημοσθένεες οἱ Δημοσθένεις. ***) τῶν Δημοσθενέων τῶν Δημοσθενῶν. τοῖς Δημοσθένεσι μόνως. πᾶσα δοτικὴ ἑνικῶν εἰς ι ἐκφωνούμενον λήγουσα, πρὸ τοῦ ι δεχομένη τὸ σ, παραιτησαμένη τε τὰ μὴ δυνάμενα σὺν αὐτῷ ἀκουσθῆναι ςοιχεῖα, τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ, Δημοσθένεϊ Δημοσθένεσι, Πάριδι Πάρισι, ὄφεϊ ὄφεσι. τὸς Δημοσθένεας τοὺς Δημοσθένεις: πᾶσα εὐθεῖα πληθυντικῶν εἰς σ λήγουσα καὶ συνῃρημένη κατὰ τὴν τελευταίαν συλλαβὴν ὁμόφωνον ἔχει τὴν ἰδίαν αἰτιατικήν. δηλονότι καὶ τὴν κλητικήν. ὦ Δημοσθένεες ὦ Δημοσθένεις.

Κανὼν ς.
περὶ τοῦ Ἡρακλῆς ὀνόματος.

Τοῦτο τὸ ὄνομα καὶ τὰ ὅμοια αὐτῷ εὐθείας μὲν ἔχει δύο, μίαν ἐντελῆ τὴν Ἡρακλέης καὶ μίαν συνῃρημένην τὴν Ἡρακλῆς, αἵ τινες γεννῶσι γενικὰς τέσσαρας, ἡ ἐντελὴς δύο, μίαν ἐντελῆ καὶ μίαν συνῃρημένην, καὶ ἡ συνῃρημένη δύο, μίαν συνῃρημένην καὶ μίαν ἐντελῆ.

---

*) ἐν ἄλλῳ· καὶ ἀναβιβάζουσι τὸν τόνον.

**) καὶ τὰ δύο δὲ εε εἰς η κιρνᾶται ἐπὶ τῶν δυϊκῶν.

***) καὶ τὰ δύο εε εἰς τὴν ει δίφθογγον κιρνᾶται ἐπὶ τῶν πληθυντικῶν.

Ἑνικά. Ἡρακλέης Ἡρακλέεος Ἡρακλέους. Ἡρακλέεϊ Ἡρακλέει. Ἡρακλέεα Ἡρακλέα. Ἡράκλεες Ἡράκλεις καὶ Ἥρακλες κατὰ συγκοπὴν τοῦ ε.

Δυϊκά. Ἡρακλέεε Ἡρακλέη καὶ Ἡρακλῆε. Ἡρακλεέοιν Ἡρακλέοιν. Ἡρακλέεε Ἡρακλέη καὶ Ἡρακλῆε.

Πληθυντικά. Ἡρακλέεες Ἡρακλέεις. Ἡρακλεέων Ἡρακλεῶν. Ἡρακλέεσιν Ἡρακλῆσιν. Ἡρακλέεας Ἡρακλέεις καὶ Ἡρακλῆας καὶ Ἡρακλέας. Ἡρακλέεες Ἡρακλέεις.

Ἑνικά. Ἡρακλῆς Ἡρακλέος Ἡρακλοῦς· αὕτη ἄλεκτος. Ἡρακλέϊ Ἡρακλεῖ. Ἡρακλέα Ἡρακλῆ καὶ Ἀττικῶς Ἡρακλῆν. Ἥρακλες καὶ Ἡρακλῆς.

Δυϊκά. Ἡρακλέε Ἡρακλῆ. Ἡρακλέοιν Ἡρακλοῖν. Ἡρακλέε Ἡρακλῆ.

Πληθ. Ἡρακλέες Ἡρακλεῖς. Ἡρακλέων Ἡρακλῶν. Ἡρακλέσι μόνως. Ἡρακλέας Ἡρακλεῖς. Ἡρακλέες Ἡρακλεῖς.

Κανὼν ζ.

Ἑνικά. Ὁ Πάρις τοῦ Πάριδος: τὰ εἰς ις κύρια διὰ τοῦ δος κλίνεται, εἴτε ἀρσενικὰ εἴη εἴτε θηλυκά, Ἄδωνις Ἀδώνιδος, Πάριδος, Θέτιδος, Μέμφιδος· τὰ ἐν τοῖς θηλυκοῖς σεσημειωμένα ὕστερον ἐροῦμεν. τὸ δὲ Πάριος, Θέτιος Ἰωνικά. τῷ Πάριδι: εἴρηται. τὸν Πάριδα καὶ τὸν Πάριν: τῶν εἰς ις αἱ αἰτιατικαὶ διχῶς λέγονται, καὶ ἡ μὲν εἰς α λήγουσα ἀπὸ τῆς ἑνικῆς δοτικῆς κανονίζεται, ἡ δὲ εἰς ν ἀπὸ τῆς εὐθείας. ὦ Πάρι: τὰ εἰς ις ἀποβολῇ τοῦ σ ποιεῖ τὴν κλητικήν, ὦ Θέτι, ὦ Πάρι.

Δυϊκά. τὼ Πάριδε. τοῖν Παρίδοιν. ὦ Πάριδε.

Πληθ. οἱ Πάριδες. τῶν Παρίδων: εἴρηται. τοῖς Πάρισι: πᾶσα δοτικὴ ἑνικῶν εἰς ῑ ἐκφωνούμενον λήγουσα, πρὸ τοῦ ῑ δεχομένη τὸ σ καὶ ἀποβάλλουσα τὰ μὴ δυνάμενα σὺν αὐτῷ ἐκφωνηθῆναι, τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ, Πάριδι Πάρισι. τοὺς Πάριδας. ὦ Πάριδες.

Κανὼν η.

Ἑνικά. Ὁ ὄφις τοῦ ὄφιος: τὰ εἰς ις προσηγορικά, μὴ ὄντα παρώνυμα μηδὲ μακροκατάληκτα, διὰ καθαροῦ τοῦ ος κλίνεται, μάντιος, ὄφιος· Ἀττικοὶ δὲ μάντεως καὶ ὄφεώς φασιν. εὑρέθη δὲ καὶ ὄφεος, ὡς τὸ

ἔσπειρ' ὄφεος ἐν γαίᾳ θέρος

καὶ

ὃς ἂν δύνηται πόλεος ἔν τ' ἀρχαΐσιν ᾖ.

τῷ ὄφιι, καὶ ἐν συναιρέσει ὄφι. τὸν ὄφιν: ἡ μὲν ἀναλογία ἀπῄτει καὶ ταύτας τὰς αἰτιατικὰς διχῶς κλίνεσθαι, ὡς καὶ τὰς τῶν κυρίων· ἀλλ' ἀπέλειψεν ἡ χρῆσις τῆς εἰς ᾱ αἰτιατικῆς. ὦ ὄφι.

Δυϊκά. τὼ ὄφιε. τοῖν ὀφίοιν. ὦ ὄφιε.

Πληθ. οἱ ὄφιες. τῶν ὀφίων. τοῖς ὄφισι. τοὺς ὄφιας. ὦ ὄφιες.

Κανὼν θ.

Ἑνικά. Ὁ χαρίεις τοῦ χαρίεντος: τὰ εἰς εις ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ ντ κλίνεται, ἐρόεντος, τιμήεντος. τῷ χαρίεντι. τὸν χαρίεντα. ὦ χαρίει καὶ ὦ χαρίεν: διχῶς λέγεται τούτων ἡ κλητική, ὦ χαρίει καὶ ὦ χαρίεν, ὅτι τὰ εἰς σ λήγοντα μετὰ διφθόγγου ἀποβολῇ τοῦ σ ποιεῖ τὴν κλητικήν, ὁ παῖς ὦ παῖ, ὁ Πηλεύς ὦ Πηλεῦ, καὶ ὦ χαρίεν, ὅτι πᾶν οὐδέτερον ἀρσενικῷ παρεσχηματισμένον, εἰ μὲν ἰσοσυλλάβως κλίνοιτο, τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ ὁμοφωνεῖ, τὸ σοφόν καὶ τὸν σοφόν, τὸ εὐγήρων καὶ τὸν εὐγήρων, εἰ

δὲ περιττοσυλλάβως, τῇ κλητικῇ, τὸ ἄρσεν ὦ ἄρσεν, τὸ σῶφρον ὦ σῶφρον. οὕτως οὖν ἔσαι ἡ κλητικὴ ὦ χαρίεν, ἵνα ὁμοφωνήσῃ τῷ οὐδετέρῳ.

Δυϊκά. τὼ χαρίεντε. τοῖν χαριέντοιν. ὦ χαρίεντε.

Πληθ. οἱ χαρίεντες. τῶν χαριέντων. τοῖς χαρίεισι καὶ χαρίεσι: διχῶς λέγεται καὶ ἡ δοτικὴ τῶν πληθυντικῶν, τοῖς χαρίεισι τῷ λόγῳ τῆς εὐθείας τῶν ἑνικῶν, ἢ χαρίεσι τῷ λόγῳ τῆς δοτικῆς τῶν ἑνικῶν. τοὺς χαρίεντας. ὦ χαρίεντες.

Κανὼν ι.

Ἑνικά. ὁ Πηλεὺς τοῦ Πηλέος, Πηλέως δὲ Ἀττικῶς: τὰ εἰς ευς λήγοντα διὰ τοῦ εος κλίνεται, Οἰνέος, Τυδέος, Πηλέος· Ἀττικοὶ δὲ τῆς γενικῆς ταύτης τρέπουσι τὸ ο εἰς ω, Πηλέως, Οἰνέως, Τυδέως. τῷ Πηλέϊ, καὶ Πηλεῖ κατὰ συναίρεσιν. τὸν Πηλέα. ὦ Πηλεῦ: εἴπομεν ὡς τὰ εἰς σ λήγοντα μετὰ διφθόγγου ἀποβολῇ τοῦ σ ποιεῖ τὴν κλητικήν, ὁ Ζεὺς ὦ Ζεῦ.

Δυϊκά. ὦ Πηλέε. τοῖν Πηλέοιν. ὦ Πηλέε.

Πληθ. οἱ Πηλέες. τῶν Πηλέων. τοῖς Πηλεῦσι: μόνως τὴν δοτικὴν διὰ τῆς ευ διφθόγγου λεκτέον τῷ ἀπὸ τῆς εὐθείας κανόνι· οὐ γὰρ διφορεῖται, ὥς τινες νομίζουσι. μόνον τὸ υἱέσιν ἡμάρτηται παρὰ τοῖς Ἀττικοῖς δίχα τοῦ υ λεγόμενον. τοὺς Πηλέας. ὦ Πηλέες, καὶ ὦ Πηλεῖς κατὰ συναίρεσιν.

Κανὼν ια.

Ἑνικά. ὁ ἡδὺς τοῦ ἡδέος: τὰ εἰς υς τριγενῆ διὰ τοῦ εος κλίνεται, ἡδέος, ὠκέος. τῷ ἡδέϊ, καὶ ἡδεῖ κατὰ συναίρεσιν. τὸν ἡδέα καὶ ἡδύν: καὶ αὗται αἱ αἰτιατικαὶ τῷ λόγῳ τῆς εὐθείας καὶ τῷ λόγῳ τῆς δοτικῆς. ὦ ἡδύ: τὰ εἰς υς ἀποβολῇ τοῦ σ ποιεῖ τὴν κλητικήν, ὦ ταχύ, ὦ θῆλυ.

Δυϊκά. τὼ ἡδέε. τοῖν ἡδέοιν. ὦ ἡδέε.

Πληθ. οἱ ἡδέες, καὶ ἡδεῖς κατὰ συναίρεσιν. τῶν ἡδέων. τοῖς ἡδέσι. τοὺς ἡδέας, καὶ ἡδεῖς κατὰ συναίρεσιν. ὦ ἡδέες καὶ ὦ ἡδεῖς.

Κανὼν ιβ.

Ἑνικά. ὁ βότρυς τοῦ βότρυος: τὰ εἰς υς μονογενῆ τὸ ῡ φυλάσσει καὶ ἐπὶ γενικῆς, καὶ προσθέσει τοῦ ος κλίνεται, στάχυος, βότρυος. σεσημείωται τὸ πῆχυς πήχεος, πέλεκυς πελέκεος καὶ ἔγχελυς ἐγχέλυος. τῷ βότρυϊ. τὸν βότρυν. ὦ βότρυ.

Δυϊκά. τὼ βότρυε. τοῖν βοτρύοιν. ὦ βότρυε.

Πληθ. οἱ βότρυες. τῶν βοτρύων. τοῖς βότρυσι. τοὺς βότρυας: πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ες λήγουσα τροπῇ τοῦ ε εἰς α ποιεῖ τὴν αἰτιατικήν, ἔρωτες ἔρωτας, βότρυες βότρυας. ὦ βότρυες.

Κανὼν ιγ.

Ἑνικά. ὁ βοῦς τοῦ βοός: τὰ εἰς ους ἀπαθῆ διὰ τοῦ ος κλίνεται, χροῦς χροός, χοῦς χοός, πλὴν τοῦ πούς καὶ ὀδούς· πούς γὰρ ποδός καὶ ὀδούς ὀδόντος. τῷ βοΐ. τὸν βόα καὶ βοῦν διχῶς. ὦ βοῦ.

Δυϊκά. τὼ βόε. τοῖν βοοῖν. ὦ βόε.

Πληθ. οἱ βόες. τῶν βοῶν. τοῖς βουσί. τοὺς βόας. ὦ βόες.

Κανὼν ιδ.

Ἑνικά. ὁ πλοῦς τοῦ πλοῦ: τὰ εἰς ους συνῃρημένα τῶν ἐντελῶν ἔχει τὴν κλίσιν, πλακόεις πλακόεντος πλακοῦς πλακοῦντος, χρύσεος χρυσέου χρυσοῦς χρυσοῦ, πλόος πλόου πλοῦς πλοῦ. ἔστι δὲ πᾶσα ἡ κλίσις ἀπὸ τοῦ ἐντελοῦς συνῃρημένη. τὰ εἰς ος ἀρσενικὰ εἰς ου ἔχει τὴν γενικήν, ὁ πλόος ὁ πλοῦς τοῦ πλόου τοῦ πλοῦ. τῷ πλόῳ τῷ πλῷ. τὸν πλόον τὸν πλοῦν. ὦ πλόε ὦ πλοῦ: τὰ εἰς ος ἀρσενικὰ εἰς ε ἔχει τὴν κλητικήν.

Δυϊκά. τὼ πλόω τὼ πλώ. τοῖν πλόοιν τοῖν πλοῖν. ὦ πλόω ὦ πλώ.

Πληθ. οἱ πλόοι οἱ πλοῖ: πᾶσα εὐθεῖα δυϊκῶν εἰς ω̄ λήγουσα εἰς οι̅ ποιεῖ τὸ πληθυντικόν, πλὴν τῶν οὐδετέρων. τῶν πλόων τῶν πλῶν. τοῖς πλόοις τοῖς πλοῖς. τοὺς πλόους τοὺς πλοῦς: πᾶσα εὐθεῖα πληθυντικῶν εἰς οι̅ λήγουσα εἰς ους̅ ποιεῖ τὴν αἰτιατικήν, οἷον Ὅμηροι Ὁμήρους. ὦ πλόοι ὦ πλοῖ.

Κανὼν ιε.

Ἑνικά. ὁ ἱδρώς τοῦ ἱδρῶτος: τὰ εἰς ως̅ ὀξύτονα ὑπὲρ μίαν συλλαβὴν διὰ του τος̅ κλίνεται, ἀπτῶτος, ἀγνῶτος. τῷ ἱδρῶτι. τὸν ἱδρῶτα. ὦ ἱδρώς: τὰ εἰς ως̅ τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν.

Δυϊκά. τὼ ἱδρῶτε. τοῖν ἱδρώτοιν. ὦ ἱδρῶτε.

Πληθ. οἱ ἱδρῶτες. τῶν ἱδρώτων. τοῖς ἱδρῶσι. τοὺς ἱδρῶτας. ὦ ἱδρῶτες.

Κανὼν ις.

Ἑνικά. ὁ ἥρως τοῦ ἥρωος: τῶν εἰς ως̅ βαρυτόνων τὰ μὲν βραχείᾳ παραληγόμενα διὰ τοῦ τος̅ κλίνεται, γέλωτος, ἔρωτος, Νέπωτος, τὰ δὲ μακρᾷ διὰ καθαροῦ τοῦ ος̅, Μίνωος, ἥρωος, πλὴν τοῦ εἵλως εἵλωτος. τῷ ἥρωϊ. τὸν ἥρωα. ὦ ἥρως.

Δυϊκά. τὼ ἥρωε. τοῖν ἡρώοιν. ὦ ἥρωε.

Πληθ. οἱ ἥρωες. τῶν ἡρώων. τοῖς ἥρωσι. τοὺς ἥρωας. ὦ ἥρωες.

Κανὼν ιζ.

Ἑνικά. ὁ Μενέλεως τοῦ Μενέλεω: τὰ εἰς ος̅ ὀνόματα μεταποιοῦντες Ἀττικοὶ εἰς ως̅ καὶ τὰ παραλήγοντα τῶν φωνηέντων εἰς ε̅ μεταβάλλουσι, κλίνουσι δὲ πάντα κατὰ ἀποβολὴν τοῦ σ̅, ὁ λεώς τοῦ λεώ, ὁ νεώς τοῦ νεώ. ἰστέον δὲ ὡς εἴ που εὑρεθείη ἐν τῷ κοινῷ ὀνόματι τὸ ο̅, εἰς ω̅ αὐτὸ τρέπουσι, κἂν φθάσῃ προπαροξυνθῆναι ἡ εὐθεῖα, πᾶσα πτῶσις προπαροξύνεται.

τῷ Μενέλεῳ: εἴπομεν ὡς πᾶσα γενικὴ ἰσοσυλλαβοῦσα τῇ εὐθείᾳ τὴν δοτικὴν ἔχει εἰς ῑ ἀνεκφώνητον λήγουσαν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας ἢ μείζονος ἀντιςοίχου. τὸν Μενέλεων: εἴπομεν ὡς πᾶσα εὐθεῖα εἰς σ̄ λήγουσα, ὅταν ἔχῃ τὴν αἰτιατικὴν ἰσοσύλλαβον μετὰ τῶν αὐτῶν φωνηέντων, εἰς ν̄ αὐτὴν ἔχει λήγουσαν, ὁ Πέρσης τὸν Πέρσην. ὦ Μενέλεως: εἴπομεν ὡς τὰ εἰς ω̄ς τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν. ἄλλως τε καὶ οἱ Ἀττικοὶ τὰς αὐτὰς ἔχουσιν ὀρθὰς καὶ κλητικάς.

Δυϊκά. τὼ Μενέλεω: πᾶσα δοτικὴ ἑνικῶν εἰς ῳ̄ λήγουσα ὁμόφωνον ἔχει τὴν ὀρθὴν τῶν δυϊκῶν. τοῖν Μενέλεῳν: τοῦτο ἀπὸ τοῦ κοινοῦ γέγονε τροπῇ τοῦ ο̄ εἰς ω̄· διὸ καὶ τὸ ῑ ἔχει· πᾶσα γὰρ δοτικὴ ἐπὶ παντὸς ἀριθμοῦ τὸ ῑ ἔχει. ὦ Μενέλεω: εἴρηται.

Πληθ. οἱ Μενέλεῳ: καὶ τοῦτο ἀπὸ τοῦ κοινοῦ γέγονε τροπῇ τοῦ ο̄ εἰς ω̄, καὶ τὸ ῑ ἔχει· πᾶσα γὰρ εὐθεῖα πληθυντικῶν ἀρσενικῶν τε καὶ θηλυκῶν εἰς φωνῆεν λήγουσα εἰς ῑ θέλει λήγειν. τῶν Μενέλεων. τοῖς Μενέλεῳς: πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ῑ λήγουσα προςθέσει τοῦ σ̄ ποιεῖ τὴν δοτικήν· ἀναγκαίως οὖν καὶ τοῦτο μετὰ τοῦ ῑ γράφεται. τοὺς Μενέλεως: καὶ τοῦτο ἀπὸ τοῦ κοινοῦ γέγονε τροπῇ τοῦ ο̄ εἰς ω̄. τὸ δὲ ῡ ἐξέπεσε διὰ τὴν κακοφωνίαν. ὦ Μενέλεω: εἴρηται ὡς ἡ ὀρθὴ καὶ ἡ κλητικὴ τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν.

Κανὼν ιη'.

Ἑνικά. ὁ ἅλς τοῦ ἁλός: πᾶν ὄνομα εἰς δύο σύμφωνα λῆγον διὰ δύο συμφώνων κλίνεται, Τίρυνς Τίρυνθος, μάκαρς μάκαρτος· εἰ οὖν ἅλς, ἔδει ἁλτός. ἀλλ' ἐπειδὴ δασυνομένης τῆς εὐθείας ἔμελλε ψιλοῦσθαι ἡ γενική, ὑπεςάλη τὸ τ̄, ἵνα ὁμοίως τῇ εὐθείᾳ δασυνθῇ καὶ ἡ γενική. τοῦτο δὲ τὸ ὄνομα, ὅτε μέν ἐςι θηλυκὸν καὶ δηλοῖ τὴν θάλασσαν, ἕως τῶν ἑνικῶν κλίνεται

μόνον, ὅτε δὲ ἀρσενικόν, δι' ὅλου κλίνεται. τῷ ἁλί. τὸν ἅλα. ὦ ἅλς: τὰ εἰς δύο σύμφωνα λήγοντα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν.

Δυϊκά. τὼ ἅλε. τοῖν ἁλοῖν. ὦ ἅλε.

Πληθ. οἱ ἅλες. τῶν ἁλῶν. τοῖς ἁλσίν: εἴπομεν ὅτι τὰ εἰς $\bar{\sigma}$ λήγοντα μετὰ μακρᾶς, περιττοσυλλάβως κλινόμενα καὶ μὴ συναιρούμενα κατὰ τὴν γενικήν, προσθέσει τοῦ $\bar{\iota}$ τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ. τοὺς ἅλας. ὦ ἅλες.

Κανὼν ιθ.

Ἑνικά. ὁ Ἀλκμάν τοῦ Ἀλκμᾶνος: τὰ εἰς $\overline{\alpha\nu}$ καὶ ὀξύνεται καὶ μακρὸν ἔχει τὸ $\bar{\alpha}$, καὶ προσθέσει τοῦ $\overline{ος}$ κλίνεται, παιᾶνος, Τιτᾶνος, Πανός, ὅτε ἀρσενικόν ἐςιν. τῷ Ἀλκμᾶνι. τὸν Ἀλκμᾶνα. ὦ Ἀλκμάν: τὰ εἰς ἀμετάβολον ὀξύτονα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, ὦ λιμήν, ὦ ἀςήρ, πλὴν τοῦ ἄνερ, πάτερ, σῶτερ, δᾶερ.

Δυϊκά. τὼ Ἀλκμᾶνε. τοῖν Ἀλκμάνοιν. ὦ Ἀλκμᾶνε.

Πληθ. οἱ Ἀλκμᾶνες. τῶν Ἀλκμάνων. τοῖς Ἀλκμᾶσι. τοὺς Ἀλκμᾶνας. ὦ Ἀλκμᾶνες.

Κανὼν κ.

Ἑνικά. ὁ σωλήν τοῦ σωλῆνος, ὁ ποιμήν τοῦ ποιμένος: τῶν εἰς $\overline{\eta\nu}$ ὀξυτόνων ὅσα μὲν ἔχει τὸ $\bar{\mu}$ ἐπὶ τῆς εὐθείας, διὰ τοῦ $\bar{\varepsilon}$ κλίνεται, ὅσα δε μὴ ἔχει τὸ $\bar{\mu}$, τὸ $\bar{\eta}$ φυλάσσει. καὶ τὸ αὐχήν οὖν αὐχένος ἐκλίθη· αὐχμήν γὰρ ἦν τὸ ἐντελέςερον. τῷ σωλῆνι. τὸν σωλῆνα. ὦ σωλήν.

Δυϊκά. τὼ σωλῆνε. τοῖν σωλήνοιν. ὦ σωλῆνε.

Πληθ. οἱ σωλῆνες. τῶν σωλήνων. τοῖς σωλῆσι. τοὺς σωλῆνας. ὦ σωλῆνες.

Κανὼν κα.

Ἑνικά. ὁ Ἕλλην τοῦ Ἕλληνος, ὁ τέρην τοῦ τέρενος: τῶν εἰς ην βαρυτόνων ὅσα μέν ἐςι μονογενῆ, τὸ η τηρεῖ, ὅσα δὲ ἔχει οὐδετέρου παρασχηματισμόν, διὰ τοῦ ε κλίνεται, Ἕλληνος, Γέρηνος· τέρενος τέρενος δὲ ὅτι τὸ τέρεν, καὶ ἄρσενος ὅτι τὸ ἄρσεν. τῷ Ἕλληνι. τὸν Ἕλληνα. ὦ Ἕλλην: τὰ εἰς ἀμετάβολον λήγοντα βαρύτονα ἀποβάλλοντα τῆς γενικῆς τὴν ἐσχάτην, τὸ ος, ποιεῖ τὴν κλητικήν, ἄρσενος ἄρσεν, Μαχάονος Μαχᾶον, πλὴν τοῦ ὦ Ἄπολλον, ὦ Πόσειδον.

Δυϊκά. τὼ Ἕλληνε. τοῖν Ἑλλήνοιν. ὦ Ἕλληνε.

Πληθ. οἱ Ἕλληνες. τῶν Ἑλλήνων. τοῖς Ἕλλησι. τοὺς Ἕλληνας. ὦ Ἕλληνες.

Κανὼν κβ.

Ἑνικά. ὁ δελφίν τοῦ δελφῖνος: τὰ εἰς ιν καὶ ὀξύνεται καὶ μακρὸν ἔχει τὸ ι καὶ προσθέσει τοῦ ος κλίνεται· δικατάληκτά τε καλεῖται, ὅτι παρὰ μὲν τοῖς ἀρχαίοις εἰς ις λήγει, παρὰ δὲ τοῖς νεωτέροις εἰς ιν, δελφίν, ἀκτίν, ῥίν. τῷ δελφῖνι. τὸν δελφῖνα. ὦ δελφίν.

Δυϊκά. τὼ δελφῖνε. τοῖν δελφίνοιν. ὦ δελφῖνε.

Πληθ. οἱ δελφῖνες. τῶν δελφίνων. τοῖς δελφῖσι. τοὺς δελφῖνας. ὦ δελφῖνες.

Κανὼν κγ.

Ἑνικά. ὁ Φόρκυν τοῦ Φόρκυνος: τὰ εἰς υν προσθέσει τοῦ ος κλίνεται, μόσυνος, Φόρκυνος. τῷ Φόρκυνι. τὸν Φόρκυνα. ὦ Φόρκυν.

Δυϊκά. τὼ Φόρκυνε. τοῖν Φορκύνοιν. ὦ Φόρκυνε.

Πληθ. οἱ Φόρκυνες. τῶν Φορκύνων. τοῖς Φόρκυσι. τοὺς Φόρκυνας. ὦ Φόρκυνες.

Κανὼν κδ.

Ἑνικά. ὁ Θέων τοῦ Θέωνος, ὁ σώφρων τοῦ σώφρονος, ὁ λέων τοῦ λέοντος: τῶν εἰς ων ἀρσενικῶν βαρυτόνων τὰ μὲν παρώνυμα διὰ τοῦ ω κλίνεται, Θέων Θέωνος, Ἱέρων Ἱέρωνος, Δίων Δίωνος, τὰ δὲ κοινὰ τῷ γένει διὰ τοῦ ο, γείτονος, σώφρονος, τὰ δὲ ἔχοντα θηλυκὸν διὰ τοῦ αινα διὰ τοῦ ντ κλίνεται, οἷον δράκων δράκοντος ὅτι δράκαινα, θεράπων θεράποντος ὅτι θεράπαινα. τῷ Θέωνι, τῷ σώφρονι, τῷ λέοντι. τὸν Θέωνα, τὸν σώφρονα, τὸν λέοντα. ὦ Θέων, ὦ σῶφρον, ὦ λέον.

Δυϊκά. τὼ Θέωνε, τὼ σώφρονε, τὼ λέοντε. τοῖν Θεώνοιν, τοῖν σωφρόνοιν, τοῖν λεόντοιν. ὦ Θέωνε, ὦ σώφρονε, ὦ λέοντε.

Πληθ. οἱ Θέωνες, οἱ σώφρονες, οἱ λέοντες. τῶν Θεώνων, τῶν σωφρόνων, τῶν λεόντων. τοῖς Θέωσι, τοῖς σώφροσι, τοῖς λέουσιν: ὅτι κατὰ τὴν παραλήγουσαν ἰσοχρονεῖν θέλει ταῖς ἄλλαις πλαγίαις ἡ δοτικὴ τῶν πληθυντικῶν, ἐνίοτε δὲ καὶ μείζονα χρόνον θέλει ἔχειν, οὐδέποτε δὲ ἐλάττονα. μείζονα οὖν χρόνον ἔχει ὡς ἐπὶ τοῦ τοῖς Νέστορσι. τοὺς Θέωνας, τοὺς σώφρονας, τοὺς λέοντας. ὦ Θέωνες, ὦ σώφρονες, ὦ λέοντες.

Κανὼν κε.

Ἑνικά. ὁ κοιτὼν τοῦ κοιτῶνος, ὁ Σαρπηδὼν τοῦ Σαρπηδόνος, ὁ ἀλεκτρυὼν τοῦ ἀλεκτρυόνος: τῶν εἰς ων ὀξυτόνων ὅσα μέν ἐστι περιεκτικά, τὸ ω φυλάσσει, φοινικῶνος, ἀμπελῶνος, ὅσα δὲ εἰς δων λήγει, διὰ τοῦ ο κλίνεται, Σαρπηδόνος, Μακεδόνος, καὶ ὅσα εἰς ων καθαρὸν λήγει καὶ βραχεῖ διχρόνῳ παραλήγεται, περικτιόνος, ἀλεκτρυόνος. τῷ κοιτῶνι, τῷ Σαρπηδόνι, τῷ ἀλεκτρυόνι. τὸν κοιτῶνα, τὸν Σαρ-

Σαρπηδόνα, τὸν ἀλεκτρυόνα. ὦ κοιτών, ὦ Σαρπηδών, ὦ ἀλεκτρυών.

Δυϊκά. τὼ κοιτῶνε, τὼ Σαρπηδόνε, τὼ ἀλεκτρυόνε. τοῖν κοιτώνοιν, τοῖν Σαρπηδόνοιν, τοῖν ἀλεκτρυόνοιν. ὦ κοιτῶνε, ὦ Σαρπηδόνε, ὦ ἀλεκτρυόνε.

Πληθ. οἱ κοιτῶνες, οἱ Σαρπηδόνες, οἱ ἀλεκτρυόνες. τῶν κοιτώνων, τῶν Σαρπηδόνων, τῶν ἀλεκτρυόνων. τοῖς κοιτῶσι, τοῖς Σαρπηδόσι, τοῖς ἀλεκτρυόσι. τοὺς κοιτῶνας, τοὺς Σαρπηδόνας, τοὺς ἀλεκτρυόνας. ὦ κοιτῶνες, ὦ Σαρπηδόνες, ὦ ἀλεκτρυόνες.

Κανὼν κϛ.

Ἑνικά. ὁ Ξενοφῶν τοῦ Ξενοφῶντος, ὁ Ποσειδῶν τοῦ Ποσειδῶνος, ὁ ταὼν τοῦ ταῶνος: τὰ εἰς ων περισπώμενα διὰ τοῦ ντ κλίνεται, Ξενοφῶντος, Ἀγλαοφῶντος. σεσημείωται τὸ Ποσειδῶν· τὸ γὰρ ταὼν καὶ Τυφών, ὡς καὶ εἰς ως λήξαντα, Τυφὼς καὶ ταώς, οὐκ ἠκολούθησαν τῇ κλίσει τῶν περισπωμένων. τῷ Ξενοφῶντι, τῷ Ποσειδῶνι, τῷ ταῶνι. τὸν Ξενοφῶντα, τὸν Ποσειδῶνα, τὸν ταῶνα. ὦ Ξενοφῶν, ὦ Πόσειδον, ὦ ταών.

Δυϊκά. τὼ Ξενοφῶντε, τὼ Ποσειδῶνε, τὼ ταῶνε. τοῖν Ξενοφώντοιν, τοῖν Ποσειδώνοιν, τοῖν ταώνοιν. ὦ Ξενοφῶντε, ὦ Ποσειδῶνε, ὦ ταῶνε.

Πληθ. οἱ Ξενοφῶντες, οἱ Ποσειδῶνες, οἱ ταῶνες. τῶν Ξενοφώντων, τῶν Ποσειδώνων, τῶν ταώνων. τοῖς Ξενοφῶσι, τοῖς Ποσειδῶσι, τοῖς ταῶσι. τοὺς Ξενοφῶντας, τοὺς Ποσειδῶνας, τοὺς ταῶνας. ὦ Ξενοφῶντες, ὦ Ποσειδῶνες, ὦ ταῶνες.

Κανὼν κζ.

Ἑνικά. ὁ θώραξ τοῦ θώρακος: τὰ εἰς αξ ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ κ κλίνεται, θώρακος, αὔλακος, πίδακος. σεσημείωται τὸ ἅρπαξ ἅρπαγος. τῷ θώρακι. τὸν θώρακα. ὦ θώραξ: τὰ εἰς διπλοῦν λήγοντα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν, ὦ Πέλοψ, ὦ Ἄραψ, ὦ Φοῖνιξ, ὦ χάραξ. σεσημείωται τὸ ὦ γύναι καὶ τὸ Ζεῦ ἄνα, ὅτι ἀποβολὴν ἐποιήσαντο τοῦ ξ.

Δυϊκά. τὼ θώρακε. τοῖν θωράκοιν. ὦ θώρακε.

Πληθ. οἱ θώρακες. τῶν θωράκων. τοῖς θώραξιν: αὗται αἱ δοτικαὶ διχῶς κανονίζονται, ἢ ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν προςλαμβανούσης πρὸ τοῦ ι τὸ σ καὶ συναιρούσης τὸ κσ εἰς ξ καὶ τὸ πσ εἰς ψ, οἷον Φοίνικι Φοίνιξιν, ὁμοίως Πέλοπσι Πέλοψιν, ἢ ἀπὸ τῆς εὐθείας· πᾶσα γὰρ εὐθεῖα εἰς διπλοῦν λήγουσα προςθέσει τοῦ ι ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, Πέλοψ Πέλοψι, Φοῖνιξ Φοίνιξι. τοὺς θώρακας. ὦ θώρακες.

Κανὼν κη.

Ἑνικά. ὁ μύρμηξ τοῦ μύρμηκος, ὁ βουπλὴξ τοῦ βουπλῆγος: τῶν εἰς ηξ ἀρσενικῶν ὅσα μέν ἐςιν ἁπλᾶ, βαρύνεται καὶ διὰ τοῦ η κλίνεται, νάρθηκος, σκώληκος· ὅσα δὲ σύνθετα, ὀξύνεται καὶ διὰ τοῦ γ κλίνεται, οἰςροπλὴξ οἰςροπλῆγος, ἀκανθοπλὴξ ἀκανθοπλῆγος. τῷ μύρμηκι, τῷ βουπλῆγι. τὸν μύρμηκα, τὸν βουπλῆγα. ὦ μύρμηξ, ὦ βουπλήξ.

Δυϊκά. τὼ μύρμηκε, τὼ βουπλῆγε. τοῖν μυρμήκοιν, τοῖν βουπλήγοιν. ὦ μύρμηκε, ὦ βουπλῆγε.

Πληθ. οἱ μύρμηκες, οἱ βουπλῆγες. τῶν μυρμήκων, τῶν βουπλήγων. τοῖς μύρμηξι, τοῖς βουπλῆξι. τοὺς μύρμηκας, τοὺς βουπλῆγας. ὦ μύρμηκες, ὦ βουπλῆγες.

Κανὼν κθ.

Ἑνικά. ὁ πέρδιξ τοῦ πέρδικος, ὁ τέττιξ τοῦ τέττιγος, ὁ ὁμῆλιξ τοῦ ὁμήλικος: τὰ εἰς ιξ ἀρσενικά, εἰ μὲν ἁπλᾶ εἴη, διὰ τοῦ κ κλίνεται, φοίνικος, πέρδικος (σεσημείωται τὸ τέττιγος), τὰ δὲ σύνθετα ὁμοίως τοῖς ἁπλοῖς κλίνεται, καλλίτριχος, ὁμήλικος. τῷ πέρδικι. τὸν πέρδικα. ὦ πέρδιξ.

Δυϊκά. τὼ πέρδικε. τοῖν περδίκοιν. ὦ πέρδικε.

Πληθ. οἱ πέρδικες. τῶν περδίκων. τοῖς πέρδιξι. τοὺς πέρδικας. ὦ πέρδικες.

Κανὼν λ.

Ἑνικά. ὁ δοῖδυξ τοῦ δοίδυκος, ὁ Βέβρυξ τοῦ Βέβρυκος: ὅσα τῶν εἰς υξ φύσει μακρᾷ παραλήγεται, διὰ τοῦ κ κλίνεται, κήρυκος, δοίδυκος, καὶ ὅσα διὰ δύο συμφώνων ἐκφέρεται ὧν τὸ ἓν τῆς πρώτης ἐςὶ συζυγίας τῶν βαρυτόνων, Βέβρυκος, ἄμπυκος. τῷ δοίδυκι. τὸν δοίδυκα. ὦ δοῖδυξ.

Δυϊκά. τὼ δοίδυκε. τοῖν δοιδύκοιν. ὦ δοίδυκε.

Πληθ. οἱ δοίδυκες. τῶν δοιδύκων. τοῖς δοίδυξι. τοὺς δοίδυκας. ὦ δοίδυκες.

Κανὼν λα.

Ἑνικά. ὁ βῶξ τοῦ βωκός: τὰ εἰς ωξ ἁπλᾶ διὰ τοῦ κ κλίνεται, βωκός, πτωκός, πλὴν τοῦ ῥωγός. ῥώξ δέ ἐστιν εἶδος φαλαγγίου· ἐπὶ γὰρ τῆς ςαφυλῆς ῥάξ λέγεται θηλυκῶς. τῷ βωκί. τὸν βῶκα. ὦ βῶξ.

Δυϊκά. τὼ βῶκε. τοῖν βωκοῖν. ὦ βῶκε.

Πληθ. οἱ βῶκες. τῶν βωκῶν. τοῖς βωξί. τοὺς βῶκας. ὦ βῶκες.

Κανὼν λβ.

Ἑνικά. ὁ λουτὴρ τοῦ λουτῆρος, ὁ αἰθὴρ τοῦ αἰθέρος: τῶν εἰς ηρ ὀξυτόνων ὅσα μὲν ἔχει τὸ τ, διὰ

τοῦ η κλίνεται, καμπτῆρος, ἐλατῆρος, σεσημειωμένου τοῦ πατέρος, ἀςέρος, ὅσα δὲ μὴ ἔχει τὸ τ, διὰ τοῦ ε κλίνεται, αἰθέρος, δαέρος, σεσημειωμένου τοῦ σπινθῆρος, Ἐλευθῆρος. τῷ λουτῆρι. τὸν λουτῆρα. ὦ λουτήρ.

Δυϊκά. τὼ λυτῆρε. τοῖν λυτήροιν. ὦ λυτῆρε.

Πληθ. οἱ λουτῆρες. τῶν λουτήρων. τοῖς λουτῆρσι. τοὺς λουτῆρας. ὦ λουτῆρες.

Κανὼν λγ.

Ἑνικά. ὁ Πίηρ τοῦ Πίερος, ὁ Ἴβηρ τοῦ Ἴβηρος: τῶν εἰς ηρ βαρυτόνων ὅσα μὲν μακρᾷ παραλήγεται, διὰ τοῦ ε κλίνεται, φράτερος, Πίερος, ὅσα δὲ βραχείᾳ παραλήγεται, διὰ τοῦ η κλίνεται, Ἴβηρος, ἐρίηρος. τὸ δὲ πάνθηρος τοῦ ἁπλοῦ τὴν κλίσιν ἐδέξατο. τῷ Πίερι. τὸν Πίερα. ὦ Πίερ.

Δυϊκά. τὼ Πίερε. τοῖν Πιέροιν. ὦ Πίερε.

Πληθ. οἱ Πίερες. τῶν Πιέρων. τοῖς Πίερσι. τοὺς Πίερας. ὦ Πίερες.

Κανὼν λδ.

Ἑνικά. ὁ Νέςωρ τοῦ Νέςορος, ὁ κέλωρ τοῦ κέλωρος: τὰ εἰς ωρ βαρύτονα διὰ τοῦ ο κλίνεται· ὅσα δὲ ἔχει τὸ λ, διὰ τοῦ ω, Μέντορος, Ἕκτορος, Νέςορος, κέλωρος, πέλωρος. τῷ Νέςορι. τὸν Νέςορα. ὦ Νέςορ.

Δυϊκά. τὼ Νέςορε. τοῖν Νεςόροιν. ὦ Νέςορε.

Πληθ. οἱ Νέςορες. τῶν Νεςόρων. τοῖς Νέςορσι. τοὺς Νέςορας. ὦ Νέςορες.

Κανὼν λε.

Ἑνικά. ὁ Κύκλωψ τοῦ Κύκλωπος: τὰ εἰς ψ λήγοντα ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ π κλίνεται, Πέλοπος, Κύκλωπος, λαίλαπος, πλὴν τοῦ Ἄραβος, Κίνυφος, Χάλυβος. τῷ Κύκλωπι. τὸν Κύκλωπα. ὦ Κύκλωψ.

Δυϊκά. τὼ Κύκλωπε. τοῖν Κυκλώποιν. ὦ Κύκλωπε.

Πληθ. οἱ Κύκλωπες. τῶν Κυκλώπων. τοῖς Κύκλωψι. τοὺς Κύκλωπας. ὦ Κύκλωπες.

τέλος τῶν ἀρσενικῶν κανόνων.

ΠΕΡΙ ΘΗΛΥΚΩΝ ΚΑΝΟΝΩΝ.

Κανὼν α.

Ἑνικά. ἡ Μοῦσα, ἡ μαῖα, ἡ σφαῖρα· τῆς Μούσης, τῆς μαίας, τῆς σφαίρας: τῶν εἰς ᾱ βαρυτόνων θηλυκῶν ὅσα μὲν καθαρὸν ἔχει τὸ ᾱ ἢ μετὰ τοῦ ρ̄, τηρεῖ αὐτὸ καὶ ἐπὶ γενικῆς, Μηδείας, φοβερᾶς· ὅσα δὲ πρὸ τοῦ ᾱ ἄλλο σύμφωνον ἔχει, τρέπει αὐτὸ εἰς η̄, δίψα δίψης, ἄελλα ἀέλλης. τὸ γὰρ Λήδας, Φιλομήλας, Ἀνδρομέδας Δώριά ἐςι, καὶ τὸ Διοτίμας, Φερετίμας. τῇ Μούσῃ, τῇ μαίᾳ, τῇ σφαίρᾳ: εἴπομεν ὡς πᾶσα γενικὴ ἰσοσυλλαβοῦσα τῇ εὐθείᾳ τὴν δοτικὴν ἔχει εἰς ῑ ἀνεκφώνητον λήγουσαν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας ἢ μείζονος ἀντιστοίχου. τὴν Μοῦσαν, τὴν μαῖαν, τὴν σφαῖραν: εἴπομεν ὡς πᾶσα αἰτιατικὴ ἰσοσυλλαβοῦσα τῇ εὐθείᾳ μετὰ τῶν αὐτῶν φωνηέντων εἰς ν̄ λήγει. ὦ Μοῦσα, ὦ μαῖα, ὦ σφαῖρα; τὰ εἰς ᾱ καὶ η̄ θηλυκὰ τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν.

Δυϊκά. τὰ Μούσα, τὰ μαία, τὰ σφαίρα: πᾶσα δοτικὴ ἑνικῶν εἰς η̄ λήγουσα τροπῇ τοῦ η̄ εἰς ᾱ τὴν εὐθεῖαν τῶν δυϊκῶν ποιεῖ, τῷ Πέρσῃ τὼ Πέρσα· εἰ δὲ εἰς ᾱ ἢ εἰς ω̄ λήγει, ὁμόφωνον ἔχει τὸ δυϊκόν. ταῖν Μούσαιν, ταῖν μαίαιν, ταῖν σφαίραιν: εἴπομεν ὡς τὰ εἰς ᾱ δυϊκὰ προσθέσει τοῦ ιν ποιεῖ τὴν γενικήν. ὦ Μούσα, ὦ μαία, ὦ σφαίρα: εἴρηται· τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθή, καὶ ἡ κλητική.

Πληθ. αἱ Μοῦσαι, αἱ μαῖαι, αἱ σφαῖραι: τὰ εἰς ᾱ δυϊκὰ προσθέσει τοῦ ῑ πληθυντικὰ γίνεται.

τῶν Μουσῶν, τῶν μαιῶν, τῶν σφαιρῶν: πᾶσα γενικὴ πληθυντικῶν εἰς ων λήγει ἐπὶ παντὸς γένους. ταῖς Μούσαις, ταῖς μαίαις, ταῖς σφαίραις: πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ῑ λήγουσα προσθέσει τοῦ σ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, Αἰνεῖαι Αἰνείαις. τὰς Μούσας, τὰς μαίας, τὰς σφαίρας: πᾶσα εὐθεῖα πληθυντικῶν εἰς αι λήγουσα τροπῇ τοῦ ῑ εἰς σ ποιεῖ τὴν αἰτιατικήν, καλαί καλάς. ὦ Μοῦσαι, ὦ μαῖαι, ὦ σφαῖραι.

Κανὼν β.

Ἑνικά. ἡ τιμή τῆς τιμῆς: τὰ εἰς η λήγοντα θηλυκὰ προσθέσει τοῦ σ κλίνεται, καλῆς, σοφῆς. ὅθεν τὸ γυναικός ἀπὸ τοῦ γύναιξ κεκλίσθαι φαμέν. τῇ τιμῇ. τὴν τιμήν. ὦ τιμή.

Δυϊκά. τὰ τιμά. ταῖν τιμαῖν. ὦ τιμά.

Πληθ. αἱ τιμαί. τῶν τιμῶν. ταῖς τιμαῖς. τὰς τιμάς. ὦ τιμαί.

Κανὼν γ.

Ἑνικά. ἡ Σαπφώ τῆς Σαπφοῦς: τὰ εἰς ω λήγοντα θηλυκὰ εἰς ους ἔχει τὴν γενικήν, Κλειώ Κλειοῦς, Ἐρατώ Ἐρατοῦς, ἥ τις συνῃρημένη ἐστίν: ἀπὸ γοῦν τῆς Σαπφόος γίνεται κατὰ συναίρεσιν Σαπφοῦς. τῇ Σαπφόϊ καὶ τῇ Σαπφοῖ. τὴν Σαπφόα καὶ τὴν Σαπφώ. ὦ Σαπφοῖ: αὕτη συναιρεθεῖσα οὐκέτι εἴασε τὰς ἄλλας πτώσεις τῷ λόγῳ τῆς συναιρέσεως κλιθῆναι, ἀλλὰ πρὸς αὐτὴν πάσας ἔκλινε, πλὴν τῆς κλητικῆς τῶν ἑνικῶν. ἐστὶν οὖν ἡ κλητικὴ αὐτῶν εἰς οι τῆς χρήσεως οὕτως ἐχούσης,

Λητοῖ ἐγὼ δέ τοι οὔ τι μαχέσομαι.

Δυϊκά. τὰ Σαπφώ: αὕτη ἡ εὐθεῖα τῶν δυϊκῶν ὡμοφώνησε τῇ ὀρθῇ καὶ τῇ αἰτιατικῇ τῶν ἑνικῶν, ἐξ ὧν καὶ συνέστηκε. ταῖν Σαπφοῖν: πᾶσα εὐθεῖα δυϊκῶν εἰς ω λήγουσα εἰς οιν ποιεῖ τὴν γενικήν. ὦ Σαπ-

φώ: τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθή, καὶ ἡ κλητική.

Πληθ. αἱ Σαπφοί: πᾶσα εὐθεῖα δυϊκῶν εἰς ω λήγουσα εἰς οι ποιεῖ τὸ πληθυντικόν, πλὴν τῶν οὐδετέρων. τῶν Σαπφῶν: πᾶσα γενικὴ πληθυντικῶν εἰς ων λήγει ἐπὶ παντὸς γένους. ταῖς Σαπφοῖς. τὰς Σαπφούς: πᾶσα εὐθεῖα πληθυντικῶν εἰς οι λήγουσα τροπῇ τοῦ οι εἰς ους ποιεῖ τὴν αἰτιατικήν. ὦ Σαπφοί: ὡς ἡ ὀρθή, καὶ ἡ κλητική.

Κανὼν δ.

Ἑνικά. ἡ τρήρων, ἡ Πυθών, ἡ τρυγών· τῆς τρήρωνος, τῆς Πυθῶνος, τῆς τρυγόνος: τῶν εἰς ων θηλυκῶν τὰ μὲν ὀξύτονα διὰ τοῦ ο κλίνεται, τὰ δὲ βαρύτονα καὶ τὰ ἐπὶ πόλεων διὰ τοῦ ω· ὀξύτονα μὲν τρυγόνος, ἀηδόνος, βαρύτονα δὲ τρήρωνος, μήκωνος, ἐπὶ πόλεων δὲ Σιδῶνος. σεσημείωται τὸ Ἀνθηδόνος, Ὀλοσσόνος. τῇ τρήρωνι. τὴν τρήρωνα. ὦ τρήρων.

Δυϊκά. τὰ τρήρωνε. ταῖν τρηρώνοιν. ὦ τρήρωνε.

Πληθ. αἱ τρήρωνες. τῶν τρηρώνων. ταῖς τρήρωσι. τὰς τρήρωνας. ὦ τρήρωνες.

Κανὼν ε.

Ἑνικά. ἡ αὖλαξ τῆς αὔλακος: τὰ εἰς αξ θηλυκὰ ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ κ κλίνεται, δίπλακος, αὔλακος, πήληκος. σεσημείωται τὸ λάταγος καὶ μάστιγος διὰ τοῦ γ κλιθέντα, καὶ τὸ ἀλώπεκος, ὅτι ἔτρεψε τὸ η εἰς ε· τὰ γὰρ εἰς διπλοῦν λήγοντα οὐδέποτε τρέπει τὸ φωνῆεν αὐτῶν ἐν τῇ κλίσει. τῇ αὔλακι. τὴν αὔλακα. ὦ αὖλαξ.

Δυϊκά. τὰ αὔλακε. ταῖν αὐλάκοιν. ὦ αὔλακε.

Πληθ. αἱ αὔλακες. τῶν αὐλάκων. ταῖς αὔλαξι. τὰς αὔλακας. ὦ αὔλακες.

Κανὼν ς.

Ἑνικά. ἡ Σφίγξ τῆς Σφιγγός: πᾶν ὄνομα εἰς ξ λῆγον, εἰ μὲν ἔχει πρὸ τοῦ ξ τὸ γ, διὰ τοῦ γ κλίνεται, εἰ δὲ ἕτερον σύμφωνον, διὰ τοῦ κ, φάλαγξ φάλαγγος, Σφίγξ Σφιγγός· σάρξ δὲ σαρκός καὶ ἄλξ ἀλκός. τὸ δὲ λύγξ ὅτε μὲν τὸ ζῶον δηλοῖ, διὰ τοῦ κ κλίνεται, ὅτε δὲ τὸ πάθος, διὰ τοῦ γ. τῇ Σφιγγί. τὴν Σφίγγα. ὦ Σφίγξ.

Δυϊκά. τὰ Σφίγγε. ταῖν Σφιγγοῖν. ὦ Σφίγγε.

Πληθ. αἱ Σφίγγες. τῶν Σφιγγῶν. ταῖς Σφιγξί: πᾶσα εὐθεῖα ἑνικῶν εἰς διπλοῦν λήγουσα προσθέσει τοῦ ι τὴν δοτικὴν τῶν πληθυντικῶν ποιεῖ. τὰς Σφίγγας. ὦ Σφίγγες.

Κανὼν ζ.

Ἑνικά. ἡ μήτηρ τῆς μητέρος, καὶ ἐν συγκοπῇ μητρός: τὰ εἰς ηρ θηλυκὰ διὰ τοῦ ε κλίνεται, μητέρος, θυγατέρος, Δημήτερος· τὸ δὲ μητρός καὶ Δήμητρος καὶ θυγατρός συγκοπὴν ὑπέμειναν ὁμοίως τῷ πατρός καὶ ἀνδρός. τῇ μητέρι, καὶ ἐν συγκοπῇ μητρί, τὴν μητέρα. ὦ μῆτερ.

Δυϊκά. τὰ μητέρε. ταῖν μητέροιν. ὦ μητέρε.

Πληθ. αἱ μητέρες. τῶν μητέρων. ταῖς μητράσιν: ἔδει μὲν ἀπὸ τῆς μητέρι δοτικῆς μητέρσιν εἶναι τὴν δοτικὴν τῶν πληθυντικῶν, ἀλλὰ διὰ τὴν εὐφωνίαν ὑπέρθεσις γίνεται τοῦ ρ καὶ τροπὴ του ε εἰς α, ὡς μητράσι καὶ θυγατράσι. τὰς μητέρας. ὦ μητέρες.

Κανῶν η.

Ἑνικά. ἡ λαμπάς τῆς λαμπάδος: καθόλου τὰ εἰς ας θηλυκὰ διὰ τοῦ δος κλίνεται καὶ τὴν αὐτὴν

ἔχει ὀρθὴν καὶ κλητικήν. τῇ λαμπάδι. τὴν λαμπάδα. ὦ λαμπάς.

Δυϊκά. τὰ λαμπάδε. ταῖν λαμπάδοιν. ὦ λαμπάδε.

Πληθ. αἱ λαμπάδες. τῶν λαμπάδων. ταῖς λαμπάσι. τὰς λαμπάδας. ὦ λαμπάδες.

Κανὼν θ.

Ἑνικά. ἡ φιλότης τῆς φιλότητος: τὰ εἰς ης θηλυκὰ μονογενῆ διὰ τοῦ τος κλίνεται, κακότητος, φιλότητος. τῇ φιλότητι. τὴν φιλότητα. ὦ φιλότης: εἴπομεν ὡς τὰ εἰς ης ἢ εἰς ως διὰ τοῦ τος ἢ διὰ καθαροῦ τοῦ ος κλινόμενα ὁμόφωνον ἔχουσι τῇ ὀρθῇ τὴν κλητικήν.

Δυϊκά. τὰ φιλότητε. ταῖν φιλοτήτοιν. ὦ φιλότητε.

Πληθ. αἱ φιλότητες. τῶν φιλοτήτων. ταῖς φιλότησι. τὰς φιλότητας. ὦ φιλότητες.

Κανὼν ι.

Ἑνικά. ἡ μῆνις τῆς μήνιδος, ἡ ἔρις τῆς ἔριδος, ἡ τοξότις τῆς τοξότιδος: τῶν εἰς ις θηλυκῶν βαρυτόνων ὅσα ἐςὶν εἰς νις μακρᾷ παραληγόμενα, διὰ τοῦ δος κλίνεται, ὄνωνις ὀνώνιδος, νεᾶνις νεάνιδος· ἔτι δὲ καὶ ὅσα τὸ ρ ἔχει, ἔρις, κίθαρις, πλὴν τοῦ ὕβρις καὶ ἄγυρις· οὐ μὴν ἀλλὰ καὶ ὅσα ἀπὸ τῶν εἰς ης ἀρσενικῶν μεταπεποίηται, δραπέτιδος, τοξότιδος. τῇ μήνιδι. τὴν μήνιδα καὶ μῆνιν. ὦ μῆνι: εἴρηται ὅτι τὰ εἰς ις ἀποβολῇ τοῦ σ τὴν κλητικὴν ποιοῦσιν.

Δυϊκά. τὰ μήνιδε. ταῖν μηνίδοιν. ὦ μήνιδε.

Πληθ. αἱ μήνιδες. τῶν μηνίδων. ταῖς μήνισι. τὰς μήνιδας. ὦ μήνιδες.

Κανὼν ια.

Ἑνικά. ἡ πίτυς, ἡ πληθύς, ἡ χλαμύς· τῆς πίτυος, τῆς πληθύος, τῆς χλαμύδος: τῶν εἰς υς θηλυκῶν τὰ μὲν βαρύτονα διὰ τοῦ ος κλίνεται, χέλυος, πίτυος· σεσημείωται τὸ κόρυθος καὶ κώμυθος· τῶν δὲ ὀξυτόνων τὰ μὲν ἔχοντα βραχὺ τὸ υ διὰ τοῦ δος κλίνεται, χλαμύδος, κροκύδος, τὰ δὲ μακρὸν ἔχοντα τὸ υ διὰ καθαροῦ τοῦ ος, ὀϊζύος, Ἐρινύος. τῇ χλαμύδι. τὴν χλαμύδα. ὦ χλαμύ.

Δυϊκά. τὰ χλαμύδε. ταῖν χλαμύδοιν. ὦ χλαμύδε.

Πληθ. αἱ χλαμύδες. τῶν χλαμύδων. ταῖς χλαμύσι. τὰς χλαμύδας. ὦ χλαμύδες.

Κανὼν ιβ.

Ἑνικά. ἡ αἰδώς, ἡ ἕως, ἡ Κῶς· τῆς αἰδόος 1 καὶ αἰδοῦς, τῆς ἕω, τῆς Κῶ: τῶν εἰς ως θηλυκῶν τὰ μὲν ὀξύτονα δύο εἰσίν, ἠώς καὶ αἰδώς, ἅπερ ὁμοίως ἐκλίθη τοῖς εἰς ω λήγουσι κατὰ πᾶσαν πτῶσιν· τὰ δὲ βαρύτονα κατὰ ἀποβολὴν τοῦ σ κλίνεται, τῆς Κέω, τῆς ἕω, τῆς ἅλω· τὸ γὰρ ἅλωος πταῖσμα νεωτερικόν. 2 κλίνεται δὲ καὶ αὐτὰ ὁμοίως τοῖς εἰς ω Ἀττικοῖς. τὸ Κῶς μόνον περισπασθὲν ὁμοίως τοῖς βαρυτόνοις ἐκλίθη. τῇ αἰδοῖ, τῇ ἕῳ, τῇ Κῷ. τὴν αἰδώ, τὴν ἕων, τὴν Κῶν: ἡ μὲν ἀναλογία ἀπῄτει μετὰ τοῦ ν, εὑρέθη δὲ καὶ δίχα τοῦ ν, τὴν ἕω, τὴν Κῶ. ὦ αἰδοῖ, ὦ ἕως, 2 ὦ Κῶς.

Δυϊκά. τὰ αἰδώ, τὰ ἕω, τὰ Κῶ. ταῖν αἰδοῖν, ταῖν ἕῳν, ταῖν Κῷν. ὦ αἰδώ, ὦ ἕω, ὦ Κῶ.

Πληθ. αἱ αἰδοί, αἱ ἕῳ, αἱ Κῷ. τῶν αἰδῶν, τῶν ἕων, τῶν Κῶν. ταῖς αἰδοῖς, ταῖς ἕῳς, ταῖς 3 Κῷς. τὰς αἰδούς, τὰς ἕως, τὰς Κῶς. ὦ αἰδοί, ὦ ἕῳ, ὦ Κῷ.

τέλος τῶν θηλυκῶν κανόνων.

ΠΕΡΙ ΟΥΔΕΤΕΡΩΝ ΚΑΝΟΝΩΝ.

Παρατηρητέον ὅτι πᾶν οὐδέτερον ἀρσενικῷ παρεσχηματισμένον τὴν τοῦ ἀρσενικοῦ ἔχει κλίσιν, ὁποίας ἄν ποτε εἴη καταλήξεως, καλός καλοῦ - καλόν καλοῦ, εὐγενής εὐγενοῦς - τὸ εὐγενές τοῦ εὐγενοῦς, ταχύς ταχέος - τὸ ταχύ τοῦ ταχέος, σώφρων σώφρονος - τὸ σῶφρον τοῦ σώφρονος, λιπόπατρις λιποπάτριδος - τὸ λιπόπατρι τοῦ λιποπάτριδος. ὅσους οὖν ἐροῦμεν κανόνας, περὶ μονογενῶν ἐροῦμεν.

Κανὼν α.

Ἑνικά. τὸ βῆμα τοῦ βήματος: τὰ εἰς ᾱ λήγοντα οὐδέτερα καὶ βαρύνεται καὶ συςέλλει τὸ ᾱ καὶ τῷ μ παραλήγεται καὶ διὰ τοῦ τος κλίνεται, θέμα θέματος, δῶμα δώματος. τὸ γάλα ἀπὸ τοῦ γάλαξ γέγονε κατὰ ἀποβολὴν τοῦ ξ. τὸ κάρα, λίπα, ἄλειφα ἀποκοπὰς πεπόνθασιν ἀπὸ τοῦ κάρανον, λιπαρόν, ἄλειφας. τὰ δὲ τῶν ςοιχείων ὀνόματα ἄκλιτα. τῷ βήματι. τὸ βῆμα. ὦ βῆμα: τῶν οὐδετέρων ἡ αὐτή ἐςιν ὀρθὴ καὶ αἰτιατικὴ καὶ κλητική.

Δυϊκά. τὼ βήματε. τοῖν βημάτοιν. ὦ βήματε.

Πληθ. τὰ βήματα: πᾶσα εὐθεῖα πληθυντικὴ τῶν οὐδετέρων εἰς ᾱ λήγει· εἰ δέ που εἰς η̄ εὑρεθείη λήγουσα, κατὰ συναίρεσίν ἐςι, τὰ βέλεα τὰ βέλη. τῶν βημάτων. τοῖς βήμασι. τὰ βήματα. ὦ βήματα.

Κανὼν β.

Ἑνικά. τὸ μέλι τοῦ μέλιτος: τὰ εἰς ῐ οὐδέτερα διὰ τοῦ τος κλίνεται. τὸ σίνηπι καὶ τὸ πέπερι οὐχ Ἑλληνικά· διὸ καὶ διὰ καθαροῦ τοῦ ος κλίνεται. τῷ μέλιτι. τὸ μέλι. ὦ μέλι.

Δυϊκά. τὼ μέλιτε. τοῖν μελίτοιν. τὼ μέλιτε.

Πληθ. τὰ μέλιτα. τῶν μελίτων. τοῖς μέλισι. τὰ μέλιτα. ὦ μέλιτα.

Κανὼν γ.

Ἑνικά. τὸ πῶϋ, τὸ γόνυ, τὸ δόρυ· τοῦ πώεος, τοῦ γόνυος, τοῦ δόρυος: τὰ εἰς ῡ οὐδέτερα εἰ μὲν μακρᾷ παραλήγοιτο, διὰ τοῦ ε̄ κλίνεται, πώεος, ἄστεος, εἰ δὲ βραχείᾳ, διὰ τοῦ ῡ, γόνυος, καὶ ἐν ὑπερθέσει τοῦ ῡ γίνεται γουνός, δόρυ δόρυος, καὶ ὁμοίως δουρός. τὸ γόνυ καὶ τὸ δόρυ ἔχουσι καὶ ἄλλας εὐθείας, τὸ γόνας καὶ τὸ δόρας· ἔχουσι δὲ τὰς γενικὰς εἰς τος, τοῦ γόνατος καὶ δόρατος, ἀκολούθως τοῖς εἰς ας οὐδετέροις, ὡς τὸ τέρας τέρατος. τῷ πώεϊ. τὸ πῶϋ. ὦ πῶϋ.

Δυϊκά. τὼ πώεε. τοῖν πωέοιν. ὦ πώεε.

Πληθ. τὰ πώεα. τῶν πωέων. τοῖς πώεσι. τὰ πώεα. ὦ πώεα.

Κανὼν δ.

Ἑνικά. τὸ ξύλον τοῦ ξύλου: τὰ εἰς ον οὐδέτερα εἰς ου ἔχει τὴν γενικήν, μέτρου, ξύλου, ἀρότρου. τῷ ξύλῳ: εἴπομεν ὡς πᾶσα γενικὴ ἰσοσυλλαβοῦσα τῇ εὐθείᾳ τὴν δοτικὴν ἔχει εἰς ῑ ἀνεκφώνητον λήγουσαν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας ἢ μείζονος ἀντιστοίχου, ὁ Πέρσης τοῦ Πέρσου τῷ Πέρσῃ, Μήδεια Μηδείας Μηδείᾳ· καλός δὲ καλοῦ καλῷ διὰ μείζονος ἀντιστοίχου. τὸ ξύλον. ὦ ξύλον.

Δυϊκά. τὼ ξύλω. τοῖν ξύλοιν. ὦ ξύλω.

Πληθ. τὰ ξύλα. τῶν ξύλων. τοῖς ξύλοις. τὰ ξύλα. ὦ ξύλα.

Κανὼν ε.

Ἑνικά. τὸ ἧπαρ τοῦ ἥπατος, τὸ κέαρ τοῦ κέαρος, τὸ δέλεαρ τοῦ δελέατος: τῶν εἰς αρ οὐδετέρων τὰ μὲν ὑπὲρ δύο συλλαβὰς ἅπαντα διὰ τοῦ τος κλίνεται, δελέατος, ὀνείατος· τῶν δὲ δισυλλάβων τὰ μὲν φύσει μακρᾷ παραληγόμενα διὰ τοῦ τος κλίνεται, τὰ δὲ βραχείᾳ διὰ τοῦ ρος, ἥπατος, οὔθατος, ἔα-

ρος, κέαρος. σεσημείωται τὸ φρέατος, ςέατος. τῷ ἥπατι. τὸ ἧπαρ. ὦ ἧπαρ.

Δυϊκά. τὼ ἥπατε. τοῖν ἡπάτοιν. ὦ ἥπατε.

Πληθ. τὰ ἥπατα. τῶν ἡπάτων. τοῖς ἥπασι. τὰ ἥπατα. ὦ ἥπατα.

Κανὼν ϛ.

Ἑνικά. τὸ ὕδωρ τοῦ ὕδατος, τὸ ἕλωρ τοῦ ἕλωρος: τὰ εἰς ωρ διὰ τοῦ ρος ἐκλίθη, τέκμωρος, ἕλωρος, πλὴν τοῦ ὕδωρ· ὕδατος γάρ. τῷ ὕδατι. τὸ ὕδωρ. ὦ ὕδωρ.

Δυϊκά. τὼ ὕδατε. τοῖν ὑδάτοιν. ὦ ὕδατε.

Πληθ. τὰ ὕδατα. τῶν ὑδάτων. τοῖς ὕδασι. τὰ ὕδατα. ὦ ὕδατα.

Κανὼν ζ.

Ἑνικά. τὸ κρέας τοῦ κρέατος κοινῶς, τοῦ κρέαος Ἰωνικῶς, τοῦ κρέως Ἀττικῶς: τὰ εἰς ας οὐδέτερα ἡ μὲν κοινὴ διάλεκτος διὰ τοῦ τος κλίνει, κρέατος, γήρατος, ἡ δὲ τῶν Ἰώνων καθ' ὑποςολὴν τοῦ τ, κρέαος, γήραος, ἡ δὲ τῶν Ἀττικῶν συναιροῦσα τὸ αο εἰς ῶ, τοῦ κρέως, τοῦ γήρως. τῷ κρέατι κοινῶς, τῷ κρέαϊ Ἰωνικῶς, τῷ κρέᾳ Ἀττικῶς. τὸ κρέας. ὦ κρέας.

Δυϊκά. τὼ κρέατε κοινῶς, τὼ κρέαε Ἰωνικῶς, τὼ κρέα Ἀττικῶς. τοῖν κρεάτοιν κοινῶς, τοῖν κρεάοιν Ἰωνικῶς, τοῖν κρεῷν Ἀττικῶς. ὦ κρέατε κοινῶς, ὦ κρέαε Ἰωνικῶς, ὦ κρέα Ἀττικῶς.

Πληθ. τὰ κρέατα κοινῶς, τὰ κρέαα Ἰωνικῶς, τὰ κρέα Ἀττικῶς. τῶν κρεάτων κοινῶς, τῶν κρεάων Ἰωνικῶς, τῶν κρεῶν Ἀττικῶς. τοῖς κρέασι μόνως. τὰ κρέατα κοινῶς, τὰ κρέαα Ἰωνικῶς, τὰ κρέα Ἀττικῶς. ὦ κρέατα κοινῶς, ὦ κρέαα Ἰωνικῶς, ὦ κρέα Ἀττικῶς.

τόνον ἐφ᾿ ἧς ἂν καὶ ἡ γενική, πλὴν τῶν εἰς ᾱ δισυλλάβων, ἀβλῆτος ἀβλῆτα, λιμένος λιμένα, Δημήτερος Δημήτερα, Διομήδεος Διομήδεα, καλοῦ καλόν, μάντιος μάντιν. ἐπὶ μέντοι τοῦ Ὁμήρου Ὅμηρον εἴπομεν ὡς ἡ γενικὴ ἠνάγκαςο ὑπὸ τῆς μακρᾶς παροξύνεσθαι. σεσημείωται τὸ θύγατρα καὶ γυναῖκα. αἱ μέντοι εἰς ᾱ αἰτιατικαὶ δισύλλαβοι μόνως βαρύνονται, χῆνα, πόδα. τὸ τίνα πάλιν πρὸς τὴν σημασίαν ἔχει τὸν τόνον. αἱ μέντοι μονοσύλλαβοι αἰτιατικαὶ εἰς ν̄ λήγουσαι περισπῶνται, κλεῖν, λῖν, μῦν, σῦν, ζῶν, θεῦν.

περὶ τόνου τῆς κλητικῆς τῶν ἑνικῶν.

Πᾶσα κλητικὴ ἐπὶ ταύτης ἔχει τῆς συλλαβῆς τὸν τόνον ἐφ᾿ ἧς ἂν καὶ ἡ εὐθεῖα, Αἴας Αἶαν, Ἀχιλλεύς Ἀχιλλεῦ, καλός καλέ, εὐγενής εὐγενές, Λειώδης Λειῶδες, ποιητής ποιητά. σεσημείωται τὸ δέσποτα, μητίετα, ἀκάκητα, εὐρύοπα, ἆνερ, πάτερ, σῶτερ, δᾶερ, ἀναβιβάζοντα ἐπὶ τῆς κλητικῆς τὸν τόνον. ἀναβιβάζουσι δὲ τὸν τόνον ἐπὶ τῆς κλητικῆς καὶ τὰ εἰς ης κύρια σύνθετα, Διόμηδες, Ἀριςόφανες, καὶ τὰ παρ᾿ οὐδετέρων ἐσχηματισμένα εἰς ης, εὔμηκες, κακόηθες· παραλόγως γὰρ ἐβαρύνθη τὸ αὔταρκες, αὔθαδες, κάταντες. καὶ τὰ εἰς ηρ παροξύτονα εἰς ερ ἔχοντα τὴν κλητικήν, Δήμητερ, θύγατερ, εἴνατερ. καὶ τὰ εἰς ων σύνθετα, ὅταν εἰς ον εἴη ἡ κλητική, ἀναβιβάζει τὸν τόνον, πλὴν τῶν παρὰ τὸ φρήν, Ἀγάμεμνον, χαμαίλεον, κακόδαιμον· δαΐφρον δὲ καὶ περίφρον παροξυτόνως· παρὰ γὰρ τὸ φρήν. σεσημείωται τὸ ὦ Λακεδαῖμον καὶ τὸ ὦ Παλαῖμον προπερισπώμενα.

περὶ τόνου τῆς εὐθείας τῶν δυϊκῶν.

Ἡ μὲν εἰς ε̄ λήγουσα εὐθεῖα τῶν δυϊκῶν ὁμότονός ἐςι τῇ αἰτιατικῇ τῶν ἑνικῶν τῇ εἰς ᾱ ληγούσῃ, εἰ δὲ ἄλεκτος εἴη, τῇ γενικῇ, χεῖρε, Αἴαντε· πόλεε δὲ καὶ βέλεε. ἡ δὲ εἰς ᾱ καὶ εἰς ω̄ λήγουσα, ἐφ᾿ ἧς ἂν ἔχῃ συλλα-

λαβῆς ἡ γενικὴ τῶν ἑνικῶν τὸν τόνον, ἐπὶ ταύτης καὶ αὐτὴ ἔχει, Πέρσου Πέρσα, ἀέλλης ἀέλλα, ἵππου ἵππω. τὸ ἄμφω δὲ καὶ τὸ δύω θεματικά.

περὶ τόνου γενικῆς τῶν δυϊκῶν.

Ἡ μὲν εἰς αιν γενικὴ καθόλου τῇ ἰδίᾳ εὐθείᾳ ἀκολουθεῖ, Ὀρέστα Ὀρέσταιν, κηδέστα κηδέσταιν· ἡ δὲ εἰς οιν δίφθογγον ἀπὸ μὲν τῶν εἰς ω εὐθειῶν συντονοῦται τῇ ἰδίᾳ εὐθείᾳ, τοῖν γεωργοῖν, τοῖν βοϊδίοιν, σεσημειωμένου τοῦ ἀμφοῖν, δυοῖν. ἀπὸ δὲ τῶν εἰς ε εὐθειῶν ἀκόλουθος ἔσται τῇ γενικῇ τῶν πληθυντικῶν, χεροῖν, πάντοιν, ποδοῖν, εὐμηκοῖν, τειχοῖν, εὐνοῖν.

περὶ τόνου τῆς ὀρθῆς τῶν πληθυντικῶν.

Ἡ μὲν εἰς ες εὐθεῖα τῶν πληθυντικῶν ὁμότονός ἐστι τῇ ὀρθῇ τῶν δυϊκῶν, Αἴαντες, ἀκλῆτες, μύες, ἡ δὲ εἰς οι τῇ εὐθείᾳ τῶν ἑνικῶν, λίθινοι, χρύσινοι, πλήσιοι. ἡ δὲ εἰς αι μονογενὴς μὲν οὖσα ὁμοτονεῖ τῇ ἰδίᾳ εὐθείᾳ, βορέαι, ἄελλαι, Πέρσαι, εὔθυναι, παρεσχηματισμέναι δὲ ἀρσενικοῖς τῷ τόνῳ αὐτῶν ἕπονται, λίθινος λίθινοι λίθιναι· καὶ ἥμεραι μὲν τὸ τριγενὲς προπαροξυτόνως, ἐπεὶ καὶ ἥμεροι, ἡμέραι δὲ τὸ μονογενὲς παροξυτόνως τῇ ἰδίᾳ εὐθείᾳ τοῦ δυϊκοῦ ἕπεται. τὰ δὲ οὐδέτερα εἰ μὲν εἴη ἀπὸ ἰσοσυλλάβου γενικῆς κεκλιμένα, τῇ ὀρθῇ τῶν ἑνικῶν ὁμοτονεῖ, κανέον κανέα καὶ κανοῦν κανᾶ, καὶ τείχεα, χάλκεα· εἰ δὲ ἀπὸ περιττοσυλλάβου, ἀεὶ βαρύνεται, φῶτα, ὦτα, φιλήματα, κέρατα.

περὶ τόνου τῆς γενικῆς τῶν πληθυντικῶν.

Αἱ μὲν εἰς ες δισύλλαβοι εὐθεῖαι πληθυντικαὶ περισπῶσι τὰς γενικάς, μηνῶν, χηνῶν, γραῶν, σεσημειωμένων ἐννέα, πίνων, πάντων, Τρώων, δμώων, παίδων, θώων, κράτων, δᾴδων, λάων. αἱ δὲ εἰς αι δίφθογγον λήγουσαι ἀρσενικαὶ μὲν οὖσαι περισπῶσι τὴν γενικήν, τοξοτῶν, πολιτῶν, Αἰνειῶν, σεσημειωμένου τοῦ χλούνων, χρήστων, ἐτησίων· θηλυκαὶ δὲ οὖσαι εἰ μὲν εἶεν

μονογενεῖς, περισπῶνται, Μουσῶν, ἀελλῶν, πλὴν τοῦ ἀφύων, εἰ δὲ παρεσχηματισμέναι ἀρσενικοῖς, ὁμοφωνοῦσαι μὲν αὐτοῖς (τοῖς ἀρσενικοῖς) κατὰ τὴν γενικὴν καὶ ὁμοτονοῦσι, παραλλάσσουσαι δὲ τῇ φωνῇ καὶ τῷ τόνῳ διαφωνοῦσιν, οἷον Ῥόδιοι Ῥοδίων καὶ Ῥόδιαι Ῥοδίων· συμβεβάρυνται τῷ ἀρσενικῷ, ἐπεὶ καὶ μία φωνὴ ἐπ' ἀμφοῖν· ὁμοίως δούλων, φίλων· ταχεῖαι μέντοι ταχειῶν· οὐ γὰρ ὁμοφώνως τῇ ταχέων ἀρσενικῇ, μελαινῶν καὶ μελάνων, μακαιρῶν καὶ μακάρων. εἴποι τις ἂν πῶς οἱ πόρνοι τῶν πόρνων βαρυτόνως, τὸ δὲ θηλυκὸν πόρναι πορνῶν περισπωμένως; μία φωνὴ καὶ οὐχ εἷς ὁ τόνος. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ πετρῶν, ὀχθῶν, κορῶν. φημὶ οὖν ὅλα ταῦτα θηλυκὰ μονογενῆ εἶναι καὶ οὐκ ἀπὸ τῶν ἀρσενικῶν γεγενῆσθαι· διὸ καὶ ὡς μονογενῆ περιεσπάσθη· τὰ δὲ ἀρσενικὰ ἀπὸ τῶν θηλυκῶν παρωνύμως ἐσχημάτισαι. Αἱ μέντοι εἰς ες εὐθεῖαι τῶν πληθυντικῶν θηλυκῶν ὑπὲρ δύο συλλαβὰς βαρύνουσι τὰς γενικάς, κἂν ὁμοφωνῶσι τοῖς εἰς αι ἀρσενικοῖς· οἱ Ἡλιάδαι γὰρ τῶν Ἡλιαδῶν καὶ οἱ Δαναΐδαι τῶν Δαναϊδῶν περισπωμένως, αἱ Ἡλιάδες δὲ καὶ αἱ Δαναΐδες τῶν Δαναΐδων καὶ τῶν Ἡλιάδων βαρυτόνως.

Αἱ εἰς ες εὐθεῖαι συνῃρημέναι ὅταν ἔχωσι τὰς γενικὰς συναιρεθείσας, περισπῶσιν αὐτάς, εὐγενῶν, Δημοσθενῶν. τὸ δυςώδων Ἀρίσαρχος ἀλόγως ἐβάρυνε, καὶ τριήρων φασί τινες Ἀττικοὺς βαρυτόνως λέγειν. αἱ ὑπόλοιποι πᾶσαι τῇ γενικῇ τῶν ἑνικῶν ὁμοτονοῦσιν. τὸ πόλεων, λέξεων καὶ τὰ ὅμοια τοίνυν πρὸ μιᾶς ὀφείλει ἔχειν τὸν τόνον, Ἀμμώνιος δέ φησιν αὐτὰ παρὰ Ἀττικοῖς προπαροξύνεσθαι. Τὰ εἰς ᾱ οὐδέτερα τριγενῆ μὲν ὄντα τοῖς ἀρσενικοῖς συντονοῦνται, φίλων, κούφων, δούλων, μονογενῆ δὲ τῇ ἰδίᾳ εὐθείᾳ, πτερά πτερῶν, ξυρά ξυρῶν, ὀςᾶ ὀςῶν, ὦτα ὤτων, φῶτα φώτων, γοῦνα γούνων, δοῦρα δούρων. ἐπὶ τοῦ τειχέων, βελέων ἢ μα-

κρὰ καταβιβάσασα τὸν τόνον συναίρεσιν ἐποίησεν ἐπὶ τῆς γενικῆς.

περὶ τόνου τῆς δοτικῆς τῶν πληθυντικῶν.

Πᾶσα δοτικὴ πληθυντικὴ ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ᾽ ἧς ἂν καὶ ἡ δοτικὴ τῶν ἑνικῶν, μηνί μησίν, Αἴαντι Αἴασι, καλῷ καλοῖς, χειρί χερσί. σεσημείωται τὸ πᾶσιν. αἱ πλεονάσασαι τῷ ᾱ πρὸ μιᾶς ἔχουσι τὸν τόνον, πατράσι, θυγατράσιν. αἱ δὲ μεταπεπλασμέναι προπαροξύνονται, ἄρασι, πρόβασιν, ἔγκασιν.

περὶ τόνου τῆς αἰτιατικῆς τῶν πληθυντικῶν.

Πᾶσα αἰτιατικὴ πληθυντικὴ ἀπαθὴς ἐπ᾽ ἐκείνης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ᾽ ἧς ἂν καὶ ἡ γενικὴ τῶν ἑνικῶν, τάχεος ταχέας, καλοῦ καλούς, βέλεος βέλεα, Μούσης Μούσας, ἀθλητοῦ ἀθλητάς, χαλκοῦ χαλκοῦς.

τέλος τοῦ περὶ τόνου τῶν πτώσεων τῶν ὀνομάτων.

ΘΕΟΔΟΣΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ
ΕΙΣΑΓΩΓΙΚΟΙ ΚΑΝΟΝΕΣ ΠΕΡΙ ΚΛΙΣΕΩΣ ΡΗΜΑΤΩΝ.

Ἐνεςώς.

Ἐνικά. τύπτω: τῶν ἐν τοῖς ὁριςικοῖς ῥήμασιν ἐνεστώτων ἐνεργητικῶν δύο εἰσὶ καταλήξεις, ἥ τε εἰς ω̄ καὶ παράγωγος ἡ εις μῑ· εἰπόντες οὖν περὶ τῶν εἰς ω̄ ῥημάτων ὕςερον καὶ περὶ τῶν εἰς μῑ διαληψόμεθα. πᾶν τοίνυν ῥῆμα εἰς ω̄ λῆγον βαρύνεται, λέγω, φέρω· ὅσα δὲ περιεσπάσθη, ταῦτα ἀπὸ βαρυτόνων συνηρέθη, ποιέω ποιῶ, βοάω βοῶ, χρυσόω χρυσῶ. τύπτεις: πᾶν πρῶτον πρόςωπον ὁριςικὸν εἰς ω̄ λῆγον ἀμοιβῇ τοῦ ω̄ εἰς εις̄ τὸ δεύτερον ποιεῖ, λέγω λέγεις, κόπτω κόπτεις. τὰ περισπώμενα πρὸς τὴν συναίρεσιν ποιεῖται τὴν γραφήν, ποιέεις ποιεῖς, βοάεις βοᾷς (τὸ γὰρ ᾱ καὶ ε̄ εἰς ᾱ κιρνᾶται, οἷον τὰ ἐμά τἀμά), χρυσόεις χρυσοῖς· καὶ ἔδει μὲν χρυσοῦς (τὸ γὰρ ο̄ καὶ ε̄ εἰς τὴν ου̅ δίφθογγον κιρνᾶται, ὡς τὸ ἐμόν τοὐμόν), ἀλλ' ἐπεὶ τὰ εἰς ω̄ ῥήματα πάντως ἐν δευτέρῳ προςώπῳ δίφθογγον ἔχει τὴν μετὰ τοῦ ῑ, ἐπεκράτησεν ἡ οι δίφθογγος ἐκθλιβέντος τοῦ ῡ. τύπτει: πᾶν δεύτερον πρόςωπον εἰς σ̄ λῆγον ἀποβολῇ τοῦ σ̄ τὸ τρίτον ποιεῖ, ποιεῖς ποιεῖ, ἔλεγες ἔλεγε· περὶ γὰρ τοῦ παρακειμένου καὶ τοῦ ἀορίςου ὕςερον ἐροῦμεν.

Δυϊκά. τύπτετον. τύπτετον: δύο ζητοῦμεν ἐν τοῖς δυϊκοῖς ζητήματα, τὸ μὲν ἓν διὰ τί μὴ τρία αὐτῶν ἐςὶ τὰ πρόςωπα, ὡς τῶν ἄλλων ἀριθμῶν, τὸ δὲ

ἕτερον πῶς τὸ δεύτερον καὶ τὸ τρίτον αὐτῶν πρόσωπον ὁμοφωνεῖ. λέγομεν οὖν ὅτι, ἡνίκα τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τὸ μ ἔχει ἐπὶ τῆς τελευταίας συλλαβῆς, ἀπολείπει τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν καὶ λοιπὸν ἐξ ἀνάγκης δύο εὑρίσκονται, δεύτερόν τε καὶ τρίτον. περὶ δὲ τῆς συνεμπτώσεως τῶν δύο τούτων φαμὲν, ὅτε τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν εἰς σι ἢ εἰς ται λήγει, ὁμοφωνοῦσι τὰ δεύτερα καὶ τρίτα τῶν δυϊκῶν, ὅτε δὲ μὴ οὕτως ἔχει, διαλλάττουσι. τὰ δὲ παραδείγματα ἐπὶ πάσης τῆς κλίσεως φανερωθήσεται. γέγονεν οὖν τὸ μὲν δεύτερον τῶν δυϊκῶν ἐκ τοῦ δευτέρου τῶν πληθυντικῶν τροπῇ τοῦ τέλους εἰς τον, ποιεῖτε ποιεῖτον, λέγετε λέγετον· τὸ δὲ τρίτον ὁμοφωνεῖ τῷ δευτέρῳ, ἐπεὶ εἰς σι λήγει τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν τὸ τύπτουσι.

Πληθυντικά. τύπτομεν: τῶν ἐνεστώτων καὶ μελλόντων τῆς τελευταίας συλλαβῆς τῆς γενικῆς τῶν μετοχῶν ἀποβαλλομένης, τῆς τος, πρό τε τοῦ ν λαμβανομένου τοῦ με τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν γίνεται, λέγοντος λέγον λέγομεν, λέξοντος λέξον λέξομεν, ποιοῦντος ποιοῦν ποιοῦμεν. ὁ δὲ κανὼν ἐν τοῖς εἰς μι μάλιστα χρειώδης ἡμῖν ὀφθήσεται, τιθέντος τίθεμεν, διδόντος δίδομεν. τύπτετε: τὰ εἰς μεν πληθυντικὰ τροπῇ τῆς μεν εἰς τε τὸ δεύτερον πρόσωπον ποιοῦσι, τὴν δὲ παραλήγουσαν οὐ τρέπουσι μέν, ὅτε εἰς σ λήγει ἡ μετοχή, ὡς ἐπὶ παρακειμένου, ὑπερσυντελίκου, ἀορίστου πρώτου, πλὴν τῶν ὑποτακτικῶν, τρέπουσι δὲ ὅτε οὐκ εἰς σ ἡ μετοχή, ὡς ἐπὶ ἐνεστῶτος, παρατατικοῦ, μέλλοντος καὶ ἀορίστου δευτέρου. τύπτουσιν: ἐνεστώτων καὶ μελλόντων ὁμόφωνόν ἐστι τὸ τρίτον τῶν πληθυντικῶν τῇ δοτικῇ πληθυντικῇ τῶν ἰδίων μετοχῶν. ὁ δὲ λόγος διήκει καὶ ἐπὶ τῶν εἰς μι, τοῖς τύπτουσι - τύπτομεν τύπτετε τύπτουσι, τοῖς τιθεῖσι - τί-

θεμεν τίθετε τιθεῖσι. σεσημείωται τὸ φασίν, ὅτι τῆς μετοχῆς βαρυνομένης τὸ ῥῆμα ὠξυτονήθη.

Παρατατικός.

Ἑνικά. ἔτυπτον: ἡ γενικὴ τῆς μετοχῆς τοῦ ἐνεστῶτος ἀποβάλλουσα τὴν ἐσχάτην συλλαβὴν καὶ τὴν ἄρχουσαν αὔξουσα χρονικῶς ἢ συλλαβικῶς τὸν παρατατικὸν ποιεῖ. ἀλλ' εἰ μὲν ἀπὸ συμφώνου ἄρχοιτο τὸ θέμα, προσόδῳ τοῦ ε̄ αὔξεται ἡ ἄρχουσα τοῦ παρατατικοῦ, λέγοντος ἔλεγον, ποιοῦντος ἐποίουν· εἰ δὲ ἀπὸ τοῦ ρ̄ ἄρχοιτο ὁ ἐνεστώς, καὶ ἕτερον ρ̄ προσλαμβάνει ὁ παρατατικός, ῥάπτω ἔῤῥαπτον· εἰ δὲ ἀπὸ φωνήεντος ἄρχοιτο ὁ ἐνεστώς, χρονικῶς αὔξεται ὁ παρατατικός. ἑπτὰ γὰρ ὄντων τῶν φωνηέντων τέσσαρα μὲν εἰσιν ἀμετάβολα ἐν τοῖς παρῳχημένοις, η̄ ω̄ ῑ ῡ, ἡβῶ ἥβων, ὠθῶ ὤθουν, ἰξεύω ἴξευον, ὑδρεύω ὕδρευον, τρία δὲ μεταβολικά, ᾱ ε̄ ο̄, ὧν τὸ μὲν ᾱ εἰς η̄ τρέπεται, ἄγω ἦγον, τὸ δὲ ε̄ ποτὲ μὲν εἰς η̄ τρέπεται, ἐλέγχω ἤλεγχον, ποτὲ δὲ τὸ ῑ προσλαμβάνει, ἔχω εἶχον, τὸ δὲ ο̄ εἰς ω̄, ὀμνύω ὤμνυον. τῶν δὲ διφθόγγων ἡ ει καὶ ἡ ου οὐ τρέπονται, ὡς τὸ εἰκάζω εἴκαζον, οὐρῶ οὔρουν, αἱ δὲ λοιπαὶ εἰς τὰ οἰκεῖα μεταβάλλονται, οἴγω ᾦγον, αἰσχύνομαι ᾐσχυνόμην. τὰ μέντοι ἀπὸ προθέσεως ἀρχόμενα ῥήματα ἄτρεπτον τηρεῖ τὴν πρόθεσιν ἔξωθεν· ἔσωθεν γὰρ κλίνεται, διάγω διῆγον κατὰ προσθήκην, εἰ μὴ κατὰ πλεονασμὸν εἴη, ὡς ἐπὶ τοῦ καθέζομαι ἐκαθεζόμην, ἢ Ἀττικῶς κλιθείη, ὡς τὸ ἀντιβολῶ ἠντιβόλουν. ἔτυπτες: τὰ εἰς ο̄ῡν ῥήματα τροπῇ τοῦ ο̄ῡ εἰς ε̄ς̄ τὸ δεύτερον ποιεῖ, ἔλεγον ἔλεγες. καὶ τοῦ ἐποίουν τοίνυν τὸ ἐντελὲς ἦν ἐποίεον καὶ ἐποίεες, εἶτα ἐποίεις κατὰ κρᾶσιν, ἐβόαον ἐβόαες ἐβόας, ἐχρύσοον ἐχρύσοες ἐχρύσους κατὰ συναίρεσιν, ἐπεὶ τὸ ἐντελὲς ἦν ἐχρύσοες. ἔτυπτεν: εἴρηται.

Δυϊκά. ἐτύπτετον. ἐτυπτέτην: τὸ τρίτον τῶν δυϊκῶν ἐκ τοῦ ἰδίου δευτέρου γέγονεν ἀμοιβῇ τοῦ ο̄ εἰς

ῃ· ἐπεὶ γὰρ τὸ τρίτον τῶν πληθυντικῶν οὔτε εἰς σι λήγει οὔτε εἰς ται, οὐχ ὡμοφώνησαν ἀλλήλοις τὰ δυϊκά.

Πληθυντικά. ἐτύπτομεν: πᾶν πρῶτον πρόσωπον ἑνικῶν εἰς ν λῆγον, μὴ ἔχον τὸ μ κλιτικόν, προσόδῳ τῆς με πληθυντικὸν γίνεται, ἔλεγον ἐλέγομεν, ἐποίουν ἐποιοῦμεν· περὶ γὰρ τοῦ ἐτίθην ἐτίθεμεν καὶ τῶν ὁμοίων ἐν τοῖς εἰς μι ἐροῦμεν. εἴπομεν „μὴ ἔχον τὸ μ κλιτικόν" διὰ τὸ ἐτυπτόμην, ἐλεγόμην καὶ τὰ ὅμοια· οὐκέτι γὰρ τὰ πληθυντικὰ προσόδῳ τοῦ με ἀπετελέσθη. κλιτικὸν δέ ἐστι τὸ μὴ ὂν ἐκ θέματος ἀλλ' ἐκ κλίσεως γεγενημένον. ἐτύπτετε: εἴρηται. ἔτυπτον: τῶν τεσσάρων παρῳχημένων, παρατατικοῦ τέ φημι, παρακειμένου, ὑπερσυντελίκου καὶ ἀορίστου, ὅσοι μὲν εἶχον τὴν ἐνεργητικὴν μετοχὴν εἰς σ λήγουσαν καὶ ὀξυνομένην, οὗτοι καὶ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν εἶχον ἰσοσυλλαβοῦν τῷ πρώτῳ, οἷον ἡ τετυφὼς παρακειμένου ἐστὶ καὶ ὑπερσυντελίκου μετοχὴ εἰς σ τε οὖσα καὶ ὀξυνομένη· τοίνυν ἀμφοῖν τοῖν χρόνοιν τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν ἰσοσυλλαβοῦσι τοῖς πρώτοις ἑαυτῶν, τετύφαμεν τετύφασιν, ἐτετύφειμεν ἐτετύφεισαν. ὅσοι δὲ αὐτῶν οὐκ εἶχον τὴν μετοχὴν εἰς σ μετ' ὀξείας, ἐνδέον συλλαβῇ τὸ τρίτον ἔχουσι τοῦ πρώτου, καὶ λῆγον εἰς ἐκείνην τὴν συλλαβὴν ἥ τις ἦν παράληξις τῆς γενικῆς τῆς μετοχῆς, οἷον τοῦ ἔτυπτον ἡ μετοχὴ τύπτων οὐκ εἰς σ ὀξύτονος· ἐνδεήσει τε τοίνυν τὸ τρίτον τῶν πληθυντικῶν μιᾷ συλλαβῇ τοῦ πρώτου, καὶ λήξει εἰς τὴν πτον συλλαβήν, ἥ τις ἦν παραλήγουσα τῆς τύπτοντος γενικῆς. ὁμοίως καὶ ἐπὶ ἀορίστου, τύψας· ἡ μετοχὴ εἰς σ μέν, ἀλλ' οὐκ ὀξύτονος. ἔσται τοίνυν ἐτύψαμεν ἔτυψαν.

Παρακείμενος.

Ἑνικά. τέτυφα: δύο χρόνοι κατασκευάζουσι τὸν παρακείμενον, ὁ παρατατικὸς τὴν ἄρχουσαν, ὁ δὲ μέλ-

λων τὴν λήγουσαν καὶ τὴν παραλήγουσαν καὶ τὴν ποσότητα τῶν συλλαβῶν. πᾶς τοίνυν παρακείμενος εἰς ᾱ λήγει, παραλήγεται δὲ ἢ τῷ κ̄ ἢ τῷ φ̄ ἢ τῷ χ̄· καὶ ταῦτα ποιεῖται πρὸς τὴν τοῦ μέλλοντος συγγένειαν. ὅτε μὲν γὰρ ὁ μέλλων διὰ τοῦ σ̄, ὁ παρακείμενος διὰ τοῦ κ̄, πείθω πείσω πέπεικα· ὅτε δὲ διὰ τοῦ ψ̄, ὁ παρακείμενος διὰ τοῦ φ̄, λείβω λείψω λέλειφα· ὅτε δὲ διὰ τοῦ ξ̄, ὁ παρακείμενος διὰ τοῦ χ̄, λέγω λέξω λέλεχα· ὅτε δὲ διὰ ἀμεταβόλου ὁ μέλλων, ὁ παρακείμενος δι' αὐτοῦ καὶ τοῦ κ̄, κείρω κερῶ κέκαρκα· πλὴν τῶν ἡμαρτημένων, τοῦ νενέμηκα καὶ τῶν ὁμοίων. παραλήγουσαν δὲ τὴν αὐτὴν ἔχει ὁ παρακείμενος τῷ μέλλοντι, λέξω λέλεχα, πλὴν τῶν δισυλλάβων τῆς πέμπτης συζυγίας ἐφ' ὧν τὸ ε̄ εἰς ᾱ τρέπεται, κερῶ κέκαρκα. ἡ δὲ ἄρχουσα, ὡς ἔφαμεν, ἐκ τοῦ παρατατικοῦ γίνεται. καὶ ὅτε μὲν ὁ παρατατικὸς ἀπὸ μακρᾶς ἄρχεται φύσει ἢ θέσει, ἀπὸ τῆς αὐτῆς ἄρχεται καὶ ὁ παρακείμενος, ἠγόραζον ἠγόρακα, ἔφθειρον ἔφθαρκα· ἐὰν δὲ ἀπὸ βραχείας ἄρχηται ὁ παρατατικός, ἀναδιπλασιάζεται ὁ παρακείμενος, ἔλεγον λέλεχα. ὥστε καὶ ὁ ἔπλεον βραχεῖαν ἔχει τὴν ἄρχουσαν τῷ λόγῳ τῆς κοινῆς· διὸ ἀνεδιπλασίασε τὸν πέπλευκα. ὁμοίως καὶ ὁ ἔγραφον γέγραφα. τὰ μέντοι ἀπὸ τοῦ ρ̄ ἀρχόμενα συνάρχεται τοῖς ἰδίοις παρατατικοῖς, ῥαπίζω ἐῤῥάπιζον ἐῤῥάπικα, ἔῤῥαπτον ἔῤῥαφα· τὸ γὰρ ῥερυπωμένα κεῖται ποιητικῶς. ἰστέον δὲ ὡς πᾶς μέλλων ἀπὸ φωνήεντος ἀρχόμενος ἰσοσύλλαβον ἔχει τὸν παρακείμενον, ἀγοράσω ἠγόρακα, ἐλεήσω ἠλέηκα, ἀπὸ δὲ συμφώνου μιᾷ πλεονάζοντα, τύψω τέτυφα, ποιήσω πεποίηκα, πλὴν τοῦ μενῶ, νεμῶ. **τέτυφας:** τὰ εἰς ᾱ λήγοντα πρῶτα πρόσωπα προσθέσει τοῦ σ̄ τὸ δεύτερον ποιεῖ, ἔλεξα ἔλεξας, πεποίηκα πεποίηκας. εἰ δέ τις λέγοι εἰς ες ταῦτα λήγειν, ἵνα τῇ ἀποβολῇ τοῦ σ̄ τὸ τρίτον ποιῶσιν, ἴσω ὡς καθόλου τῶν παρῳχημένων

ἡ παραλήγουσα τοῦ δευτέρου προςώπου τῶν πληθυντικῶν λήγουσα γίνεται τοῦ δευτέρου τῶν ἑνικῶν, ἐποιεῖτε ἐποίεις, ἐβοᾶτε ἐβόας, ἐλελέγχειτε ἐλελέγχεις. εἰ τοίνυν γεγράφατε, καὶ γέγραφας, ἐλέξατε, καὶ ἔλεξας. **τέτυφε**: ἔδει μὲν τῷ κοινῷ λόγῳ κατὰ ἀποβολὴν τοῦ σ̄ τοῦ δευτέρου προςώπου τὸ τρίτον ποιεῖν, ἀλλ' ἐπεὶ οὐκ ἐνδέχεται κατὰ τὴν αὐτὴν διάλεκτον καὶ τὸν αὐτὸν ἀριθμὸν ὁμοφωνεῖν τὸ τρίτον τῷ πρώτῳ, καὶ τροπὴ παρηκολούθησε τοῦ ᾱ εἰς ε̄.

Δυϊκά. **τετύφατον. τετύφατον**: εἴρηται.

Πληθυντικά. **τετύφαμεν**: τὰ εἰς ᾱ ἑνικὰ προςθέσει τῆς μεν πληθυντικὰ γίνεται, ἔλεξα ἐλέξαμεν, πεποίηκα πεποιήκαμεν. **τετύφατε. τετύφασιν**: εἴρηται μὲν διὰ τί ἰσοσυλλαβεῖ τὸ τρίτον τῷ πρώτῳ, εἰς σι δὲ λήγει μιμούμενος τὸν ἐνεςῶτα ὁ παρακείμενος· καὶ αὐτὸς γὰρ παρὰ πολλοῖς ἐνεςὼς συντελικὸς ὀνομάζεται.

Περὶ Ἀττικοῦ παρακειμένου.

Ὅτε τὸ ῥῆμα ἄρχεται ἀπὸ τοῦ ᾱ ἢ ε̄ ἢ ο̄, ποιοῦσιν Ἀττικοὶ ἴδιον παρακείμενον οὕτω. τὰ ἀρκτικὰ τοῦ ἐνεςῶτος δύο γράμματα προςτιθέασι τῷ κοινῷ παρακειμένῳ καὶ τὴν τρίτην συλλαβὴν συςέλλουσιν, ἀλείφω ἤλειφα ὁ κοινός, ἀλήλιφα ὁ Ἀττικός· ἐλεύθω ἤλευθα ὁ κοινὸς καὶ ἐλήλυθα ὁ Ἀττικός· ὀμῶ ὤμοκα ὁ κοινὸς καὶ ὀμώμοκα ὁ Ἀττικός.

Μέσος παρακείμενος.

Ἑνικά. **τέτυπα**: τρεῖς εἰσὶν αἱ διαθέσεις τῶν ῥημάτων, ἐνέργεια, πάθος, μεσότης· ἑκάστη δὲ αὐτῶν ἀνὰ ἓξ ἔχει χρόνους. ὥς περ οὖν, εἴ τις τριγενὲς ὄνομα κλίνει, καθ' ἕκαςον γένος τὰς πέντε πτώσεις λέγοι καὶ οὐκ ἀναμίσγοι τὰς τοῦ ἀρσενικοῦ τῷ θηλυκῷ, οὕτω καὶ ἐνταῦθα ἔδει ἡμᾶς ἑκάςην διάθεσιν ἀνὰ μέρος κλίνοντας λέγειν πρῶτον τῆς ἐνεργητικῆς τοὺς χρόνους, εἶτα

τῆς παθητικῆς, καὶ τρίτον τῆς μέσης. ἀλλὰ τοῖς ἀρχαιοτέροις τῶν γραμματικῶν οὐκ ἔδοξεν οὕτως, ἀλλὰ τοὺς χρόνους τῆς μέσης κατεμέρισαν τῇ τε ἐνεργητικῇ καὶ παθητικῇ, παρακειμένους μὲν τῆς μέσης καὶ ὑπερσυντελίκους συγκαταλέγοντες τῇ ἐνεργητικῇ, ἐπεὶ καὶ σχεδὸν ὁμόφωνοι ἦσαν τοῖς παρακειμένοις καὶ ὑπερσυντελίκοις τῶν ἐνεργητικῶν, ἀορίστους δὲ καὶ μέλλοντας τῆς μέσης συγκαταλέγοντες τῇ παθητικῇ, ἐπεὶ ὁμοιοκατάληκτοι ἦσαν τοῖς ἀορίστοις καὶ μέλλουσι τῶν παθητικῶν. ἐνεστῶτας δὲ καὶ παρατατικοὺς τῆς μέσης ἀμνημονεύτους εἴασαν, ἐπεὶ οἱ αὐτοί εἰσι τοῖς ἐνεστῶσι καὶ παρατατικοῖς τῶν παθητικῶν. τὸ γὰρ κολάζομαι πρὸς τὴν σύνταξιν ἔχει τὴν διάθεσιν· ἐὰν γὰρ εἴπῃς κολάζομαι ὑπ' αὐτοῦ, παθητικόν ἐστιν, ἐὰν δὲ κολάζομαι αὐτόν, μέσον. ὁμοίως καὶ ὁ ἐκολαζόμην παρατατικός. Ὁ μέσος τοίνυν παρακείμενος τὴν μὲν ἄρχουσαν τὴν αὐτὴν ἔχει τῷ ἐνεργητικῷ παρακειμένῳ καὶ εἰς ᾱ λήγει, πρὸ δὲ τοῦ ᾱ τὸ σύμφωνον ἔχει τοῦ ἐνεστῶτος, ὅταν ᾖ ἓν ἁπλοῦν, πείθω πέποιθα, χαίνω κέχηνα· εἰ δὲ δύο σύμφωνα ἔχει ὁ ἐνεστώς, δι' οὗ τὸ ῥηματικὸν ὄνομα ἐκφέρεται, διὰ τούτου καὶ ὁ μέσος παρακείμενος, κόπτω κοπὴ κέκοπα, σκάπτω σκαφὴ ἔσκαφα· εἰ δὲ διὰ δύο ἀμεταβόλων εἴη ὁ ἐνεστώς, διὰ τοῦ προτέρου ὁ μέσος παρακείμενος, τέμνω τέτομα. εἰ δὲ εἴη διὰ τοῦ ζ̄ ἢ δύο σ̄ ὁ ἐνεστώς, τότε ὁ μέσος παρακείμενος ἀκολουθήσει τῷ μέλλοντι· κἂν μὲν ὁ μέλλων διὰ τοῦ σ̄, ὁ μέσος παρακείμενος διὰ τοῦ δ̄, φράζω φράσω πέφραδα, εἰ δὲ ὁ μέλλων διὰ τοῦ ξ̄, ὁ μέσος παρακείμενος διὰ τοῦ γ̄, πλήσσω πλήξω πέπληγα. παραλήγουσαν δὲ τὴν αὐτὴν ἔχει τῷ ἐνεργητικῷ ὁ μέσος παρακείμενος, οἷον νένηκα νένηθα, εἰ μή που ἐν δισυλλάβῳ μέλλοντι τὸ ε̄ εὑρεθείη ἢ μόνον ἢ μετὰ τοῦ ῑ· τότε γὰρ εἰς ō τρέπει αὐτὸ ὁ μέσος παρακείμενος, λέγω λέξω λέλογα, κείρω κερῶ κέ-

κορα, πείθω πείσω πέποιθα. ἀλλὰ κἂν ὁ ἐνεςὼς τῇ αι διφθόγγῳ παραλήγοιτο, τρέπει αὐτὴν ὁ μέσος εἰς η, χαίνω κέχηνα, φαίνω πέφηνα. τέτυπας. τέτυπε.

Δυϊκά. τετύπατον. τετύπατον.

Πληθυντικά. τετύπαμεν. τετύπατε. τετύπασιν: εἴρηται.

Ὑπερσυντέλικος.

Ἑνικά. ἐτετύφειν: πᾶς παρακείμενος τρέπων τὸ α εἰς ειν ὑπερσυντέλικον ποιεῖ. εἰ δ' ἀπὸ συμφώνου ἄρχοιτο, καὶ τὴν ἄρχουσαν αὐτοῦ ἐκτείνει τῇ προςόδῳ τοῦ ε· εἰ δὲ ἀπὸ φωνήεντος, ἡ αὐτὴ ἀρχὴ καὶ ἐπὶ τοῦ ὑπερσυντελίκου, οἷον λέλεχα ἐλελέχειν, ἔφθαρκα ἐφθάρκειν. ἐτετύφεις: πᾶν πρῶτον πρόςωπον εἰς ν λῆγον μετὰ φυσικῆς μακρᾶς, μὴ ἔχον τὸ μ κλιτικόν, τροπῇ τοῦ ν εἰς σ τὸ δεύτερον ποιεῖ, ἐδάρην ἐδάρης, ἐτετύφειν ἐτετύφεις. πρόςκειται „μετὰ φυσικῆς μακρᾶς" διὰ τὸ ἐποίουν ἐποίεις καὶ πάντας τοὺς ἀπὸ περισπωμένων παρατατικούς· τούτων γὰρ αἱ ἐπὶ τέλους δίφθογγοι οὐκ ἦσαν φυσικαί, ἀλλ' ἐκ συναιρέσεως, διὸ ἐτράπησαν. πῶς οὖν τὸ ἐχρύσουν ἐχρύσους οὐκ ἐτράπη; ἐπεὶ τὸ ἐντελὲς ἦν ἐχρύσοον ἐχρύσοες καὶ τὰ δύο οο εἰς τὴν ȣ δίφθογγον κιρνᾶται ὡς νόος νοῦς, καὶ τὸ οε ὁμοίως, ὡς τὸ ἐμόν τοὐμόν. πρόςκειται δὲ τῷ κανόνι „μὴ ἔχον τὸ μ κλιτικον" διὰ τὸ ἐλεγόμην ἐλέγου καὶ τὰ ὅμοια. ἐτετύφει: εἴρηται.

Δυϊκά. ἐτετύφειτον. ἐτετυφείτην.

Πληθυντικά. ἐτετύφειμεν. ἐτετύφειτε. ἐτετύφεισαν: τὰ εἰς μεν πληθυντικὰ ἀπὸ τῶν εἰς ν φύσει μακροκαταλήκτων κεκλιμένα εἰς σαν ποιεῖ τὸ τρίτον, ἔγνων ἔγνωμεν ἔγνωσαν, δαρείην δαρείημεν δαρείησαν.

Μέσος ὑπερσυντέλικος.

Ἑνικά. ἐτετύπειν: ὥσπερ ὁ ἐνεργητικὸς παρακείμενος τὸν ὑπερσυντέλικον ἐποίησεν, οὕτω καὶ ὁ μέσος παρακείμενος τὸν μέσον ὑπερσυντέλικον ποιεῖ, λέλογα ἐλελόγειν, τέτυπα ἐτετύπειν. ἐτετύπεις. ἐτετύπει.

Δυϊκά. ἐτετύπειτον. ἐτετυπείτην.

Πληθυντικά. ἐτετύπειμεν. ἐτετύπειτέ. ἐτετύπεισαν.

Ἀόριστος πρῶτος.

Ἑνικά. ἔτυψα: πᾶς μέλλων ἀμείβων τὸ τελευταῖον ω̄ εἰς ᾱ καὶ τὴν ἄρχουσαν ἐκτείνων χρονικῶς ἢ συλλαβικῶς ἀόριστος γίνεται, κόψω ἔκοψα, ἀγοράσω ἠγόρασα. εἰ μέντοι περισπῷτο ὁ μέλλων, καὶ τὴν παραλήγουσαν αὐτοῦ ἐκτείνει ὁ ἀόριστος, κερῶ ἔκειρα, τελῶ ἔτειλα. ἔτυψας. ἔτυψε.

Δυϊκά. ἐτύψατον. ἐτυψάτην.

Πληθ. ἐτύψαμεν. ἐτύψατε. ἔτυψαν.

Ἀόριστος δεύτερος.

Ἑνικά. ἔτυπον: ὁ δεύτερος ἀόριστος μόνῃ φωνῇ διενήνοχε τοῦ πρώτου, σημαινομένῳ δὲ ὁ αὐτός ἐστιν, ὥσπερ καὶ ἐπὶ ὀνομάτων· ὁ γὰρ πρῶτος καὶ δεύτερος τύπος τῶν ὑπερθετικῶν φωνῇ μόνον, οὐ σημασίᾳ διενηνόχασι· τὸ γὰρ ταχύτατος ἢ τάχιστος οὐδὲν διαφέρουσιν, ὅσον γε περὶ τὸ σημαινόμενον. πᾶς τοίνυν δεύτερος ἀόριστος ἀπὸ τῶν εἰς ω̄ βαρυτόνων κεκλιμένος συνάρχεται μὲν τῷ πρώτῳ ἀορίστῳ, εἰς ο̅ν̅ δὲ λήγει, καὶ πρὸ τῆς ο̅ν̅ ἔχει τὸ σύμφωνον τοῦ μέσου παρακειμένου, τέτυπα ἔτυπον. καὶ ἀπὸ μὲν βαρυτόνων θεμάτων τῷ πρώτῳ ἰσοσυλλαβεῖ, ἔνυξα ἔνυγον, ἀπὸ δὲ περισπωμένων μιᾷ αὐτοῦ ἐνδεῖ, ἐμύκησα ἔμυκον. ἔτι δὲ ἀπὸ μὲν βαρυτόνων θεμάτων ἀεὶ βραχείᾳ παραλήγεται, πείθω ἔπιθον, δήκω ἔδακον, τρώγω ἔτραγον. κἂν που τύχῃ τὸ ε̄ σὺν

ἀμεταβόλῳ, εἰς ᾱ αὐτὸ τρέπει, πλέκω ἔπλακον, τρέπω ἔτραπον. ἀπὸ δὲ περισπωμένων διφορεῖται ἡ παραλήγουσα, πῆ μὲν συςελλομένη, ληκῶ ἔλακον, πῆ δὲ ἡ αὐτὴ μένουσα, χραισμῶ ἔχραισμον, ὀλισθῶ ὤλισθον. ἔτυπες. ἔτυπε.

Δυϊκά. ἐτύπετον. ἐτυπέτην.

Πληθ. ἐτύπομεν. ἐτύπετε. ἔτυπον.

Μέλλων πρῶτος.

Ἑνικά. τύψω: πᾶς μέλλων ἐνεργητικὸς εἰς ῶ λήγει καὶ συνάρχεται τῷ ἐνεςῶτι, πλὴν τοῦ τρέφω θρέψω καὶ τρέχω θρέξω καὶ ἔχω ἕξω. καὶ ἀπὸ μὲν βαρυτόνων ἰσοσυλλαβεῖ αὐτῷ, πλέκω πλέξω, ἀπὸ δὲ περισπωμένων μιᾷ περιττεύει, ποιῶ ποιήσω. παραλήγεται δὲ ἡ μὲν πρώτη τῶν βαρυτόνων τῷ ψ̄, λείβω λείψω, ἡ δὲ δευτέρα τῷ ξ̄, λέγω λέξω, ἡ τρίτη τῷ σ̄, πείθω πείσω, ἡ τετάρτη τῷ σ̄ ἢ ξ̄, ὀρύξω, φράσω· διφορεῖται γάρ· ἡ πέμπτη τὰ ἀμετάβολα τηρεῖ μετὰ συςολῆς τῆς παραληγούσης καὶ περισπωμένου τόνου, σπείρω σπερῶ, ψάλλω ψαλῶ· ἡ ἕκτη τὸ σ̄, ἱππεύσω. οἱ δὲ ἀπὸ περισπωμένων ἀεὶ μὲν εἰς ῶ λήγουσι, παραλήγεται δὲ ἡ μὲν πρώτη τῷ η̄ ἢ τῷ ε̄, νοήσω, τελέσω, ἡ δὲ δευτέρα τῷ η̄ ἢ τῷ ᾱ, βοήσω, ἐάσω, ἡ τρίτη τῷ ω̄ ἢ τῷ ο̄, γυψώσω, ἀρόσω. τύψεις. τύψει.

Δυϊκά. τύψετον. τύψετον.

Πληθ. τύψομεν. τύψετε. τύψουσι.

Μέλλων δεύτερος.

Ἑνικά. τυπῶ: πᾶς δεύτερος ἀόριςος τὴν ον εἰς ῶ μεταβαλὼν, καὶ τὴν ἐν ἀρχῇ κλιτικὴν ἔκτασιν ἀποβαλὼν, δεύτερον μέλλοντα ποιεῖ πάντως περισπώμενον καὶ τὸ δεύτερον πρόςωπον ἔχοντα διὰ τῆς ει διφθόγγου. τυπεῖς. τυπεῖ.

Δυϊκά. τυπεῖτον. τυπεῖτον.

Πληθ. τυποῦμεν. τυπεῖτε. τυποῦσιν.

ΠΕΡΙ ΠΑΘΗΤΙΚΩΝ.

Ὁριςικὰ παθητικὰ

χρόνου ἐνεςῶτος.

Ἑνικά. τύπτομαι: πᾶς ἐνεςὼς ὁριςικὸς εἰς ω̄ λήγων ἀμοιβῇ τοῦ ω̄ εἰς ο̄ καὶ προςθέσει τῆς μαι παθητικὸς γίνεται, λέγω λέγομαι. πάλιν τὰ περισπώμενα ἀπὸ τῶν ἐντελεςέρων συναιρούμενα διαφόρως ποιεῖ τὴν παραλήγουσαν, ποιέω ποιέομαι ποιοῦμαι, βοάω βοάομαι βοῶμαι, χρυσόω χρυσόομαι χρυσοῦμαι. τύπτῃ: πᾶν πρῶτον πρόσωπον, ἔχον τὸ μ̄ κλιτικόν, τοῦ τρίτου προςώπου τὸ τ̄ ἤτοι τρέπον εἰς σ̄ ποιεῖ τὸ δεύτερον, ὡς τὸ πεποίημαι πεποίησαι πεποίηται, ἢ ὑποςέλλον τὸ τ̄ τοῦ τρίτου καὶ κρᾶσιν ποιούμενον τῶν φωνηέντων, ὡς τὸ τύπτομαι τύπτῃ τύπτεται. καὶ ὅσα μὲν εἶχον τὴν ἐνεργητικὴν μετοχὴν εἰς σ̄ ὀξύτονον, ἐκεῖνα τροπῇ τοῦ τ̄ εἰς σ̄ ποιεῖ τὸ δεύτερον, ὅσα δὲ μὴ εἰς σ̄ ὀξύτονον, ἐκεῖνα ἐνδείᾳ τοῦ τ̄ καὶ κράσει. ὁ δὲ λόγος διήκει καὶ ἐπὶ τῶν εἰς μι. ποιοῦνται τοίνυν τὴν μὲν τροπὴν ἐν μὲν τοῖς εἰς ω̄ παρακείμενοι καὶ ὑπερσυντέλικοι, τὴν δὲ ἔνδειαν καὶ κρᾶσιν ἐνεςῶτες καὶ παρατατικοί, ἀόριςοι μέσοι καὶ μέλλοντες ἅπαντες. ἐν δὲ τοῖς εἰς μι πάντες τῇ τροπῇ γίνονται, πλὴν τῶν μελλόντων καὶ τοῦ πρώτου μέσου ἀορίςου· ἔςι γὰρ ἔςησα καὶ ςήσας ἡ μετοχὴ βαρυτόνως. ἦν οὖν τύπτεται, καὶ ὑποςολῇ τοῦ τ̄ τύπτεαι, καὶ κράσει τοῦ ε̄ καὶ ᾱ εἰς η̄, ὡς βέλεα βέλη, τύπτῃ, καὶ μένει τὸ ῑ μὴ ἐκφωνούμενον διὰ τὸ μέγεθος τοῦ η. τύπτεται: τὰ εἰς μαι ἔχοντα τὸ μ̄ κλιτικὸν τροπῇ τῆς μαι εἰς ται τὸ τρίτον ποιεῖ, τρέποντα τὴν παραλήγουσαν ἔνθα μή ἐςιν ἡ ἐνεργητικὴ μετοχὴ εἰς σ̄ ὀξύτονος.

Δυϊκά. τυπτόμεθον: ἐκ τοῦ πρώτου τῶν πληθυντικῶν τροπῇ τῆς θα εἰς θον. τύπτεσθον: ἐκ

τοῦ δευτέρου τῶν πληθυντικῶν τροπῇ τῆς θε εἰς θον. τύπτεσθον: ὁμοφωνεῖ τῷ δευτέρῳ.

Πληθ. τυπτόμεθα: πᾶν πρῶτον πρόσωπον ἔχον τὸ μ κλιτικὸν μετὰ μακρᾶς τροπῇ τῆς τελευταίας εἰς μεθα τὸ πληθυντικὸν ποιεῖ; λέγομαι λεγόμεθα, ἐλεγόμην ἐλεγόμεθα, λέλεγμαι λελέγμεθα, καὶ ἐπὶ τῶν ὁμοίων. πρόςκειται „μετὰ μακρᾶς," ἐπεὶ τὰ εἰς μι πάντα ὁριςικά τε καὶ εὐκτικὰ κλιτικὸν μὲν ἔχουσι τὸ μ, οὐ ποιοῦσι δὲ εἰς μεθα τὸ πληθυντικόν. τύπτεσθε: πᾶν τρίτον ἔχον τὸ τ κλιτικὸν τροπῇ τῆς τελευταίας συλλαβῆς εἰς θε τὸ δεύτερον τῶν πληθυντικῶν ποιεῖ· ἀλλ' εἰ μὲν καθαριεύοι τὸ τ, καὶ σ προςλαμβάνει τὸ πληθυντικόν, λέγεται λέγεσθε, ἐλέγετο ἐλέγεσθε, εἰ δὲ συμφώνῳ παραλήγοιτο, τοῦτο τηρεῖται πλὴν εἰ μή που ψιλὸν ὂν διὰ ἀσυνταξίαν εἰς δασὺ τραπείη; οἷον κέκαρται κέκαρθε, τέτιλται τέτιλθε, νένυκται δὲ νένυχθε καὶ τέτυπται τέτυφθε. τύπτονται: πᾶν τρίτον ἑνικόν, ἔχον τὸ τ κλιτικόν, πρὸ τοῦ τ δεχόμενον τὸ ν καὶ τὴν παραλήγουσαν φυλάσσον τοῦ πρώτου προσώπου τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ποιεῖ, οἷον λέγονται ὅτι λέγομαι, ἵςαται δὲ ἵςανται καὶ ἐδίδοτο ἐδίδοντο.

Παρατατικός.

Ἑνικά. ἐτυπτόμην: πᾶς ἐνεςὼς παθητικὸς τρέπων τὴν μαι εἰς μην, καὶ τὴν ἄρχουσαν ἐκτείνων χρονικῶς ἢ συλλαβικῶς, τὸν παρατατικὸν ποιεῖ, λέγομαι ἐλεγόμην, αἰδοῦμαι ᾐδούμην. ἐτύπτου: καὶ τοῦτο ἀπὸ τοῦ τρίτου ἐγένετο ἐτύπτετο ἐνδείᾳ τοῦ τ καὶ κράσει τοῦ εο εἰς ου δίφθογγον, ἐτύπτετο ἐτύπτου. ἐτύπτετο: πᾶν πρῶτον πρόσωπον εἰς μην λῆγον τροπῇ τῆς μην εἰς το τὸ τρίτον ποιεῖ· τὴν δὲ παραλήγουσαν τρέπει, ὅταν μὴ ἔχῃ τὴν ἐνεργητικὴν μετοχὴν εἰς σ ὀξύτονον.

Δυϊκά. ἐτυπτόμεθον. ἐτύπτεσθον. ἐτυπτέσθην.

Πληθ. ἐτυπτόμεθα. ἐτύπτεσθε. ἐτύπτοντο.

Παρακείμενος.

Ἑνικά. τέτυμμαι: ὁ παθητικὸς παρακείμενος ἐκ τοῦ ἐνεργητικοῦ γίνεται τροπῇ τοῦ τέλους εἰς μαι, πεποίηκα πεποίημαι. καὶ οἱ μὲν εἰς φα ἐνεργητικοὶ καὶ ἄλλο μ προσλαμβάνουσι, νένιφα νένιμμαι, τέτυφα τέτυμμαι· οἱ δὲ εἰς χα τὸ γ, λέλεχα λέλεγμαι, νένυχα νένυγμαι· οἱ δὲ εἰς κα εἰ μὲν εἶεν ἀπὸ περισπωμένων, πρὸς τὴν παραλήγουσαν κανονίζεται (βραχείας γὰρ οὔσης τῆς παραληγούσης προσλαμβάνει ὁ παθητικὸς τὸ σ, τετέλεκα τετέλεσμαι, γεγέλακα γεγέλασμαι, μακρᾶς δὲ οὐ προστίθεται τὸ σ, πεποίηκα πεποίημαι, νενόηκα νενόημαι)· ὅτε μέν τοί εἰσιν ἀπὸ βαρυτόνων θεμάτων, ὁ εἰς κα παρακείμενος τὸ σ προσλαμβάνει ἐν τοῖς παθητικοῖς πλὴν τῆς πέμπτης συζυγίας καὶ ὀλίγων τῆς ἕκτης, νένηκα νένησμαι, πέπεικα πέπεισμαι, πέφρακα πέφρασμαι· τέτιλκα δὲ τέτιλμαι καὶ ἵππευκα ἵππευμαι. μηδεὶς δὲ οἰέσθω ἀπὸ τοῦ ἔῤῥαγκα ἔῤῥαμμαι, μεμίαγκα μεμίαμμαι τὸν παθητικὸν παρακείμενον ἕτερον μ προσειληφέναι· τὸ γὰρ μ τοῦτο οὐκ ἔστι κλιτικὸν ἀλλὰ θεματικόν, πρὸς τὰς συντάξεις τῶν συμφώνων τρεπόμενον ὁτὲ μὲν εἰς γ, ὡς ἐν τῷ ἔῤῥαγκα, ὁτὲ δὲ εἰς μ, ὡς ἐν τῷ ἔῤῥαμμαι. ὁ μέντοι κέκλεικα, ὀφείλων ἐν τῷ κέκλεισμαι προσλαμβάνειν τὸ σ, κέκλειμαι λέγεται παρὰ πᾶσιν Ἕλλησιν. ὁμοίως καὶ ἀπὸ τοῦ ἐλήλακα ἐλήλαμαι, οὐκ ἐλήλασμαι. τέτυψαι: εἴπομεν ποῖα τῶν ἐχόντων τὸ μ κλιτικὸν τροπῇ τοῦ τ εἰς σ ποιεῖ τὸ δεύτερον, καὶ ποῖα ἐνδείᾳ τοῦ τ καὶ κράσει. τοῦ τοίνυν τέτυπται τρέποντος τὸ τ εἰς σ γίνεται πσ, ἃ συγκιρνώμενα εἰς ψ (τὸ γὰρ ψ ἐκ τοῦ π καὶ σ) ποιεῖ τὸ τέτυψαι, ὡς καὶ τὸ νένυκται νένυξαι. τέτυπται: ἔδει

μὲν

μὲν τρεπομένου τοῦ μαι εἰς ται ἀπὸ τοῦ τέτυμμαι εἶναι τὸ τρίτον τέτυμται· ἀλλ᾽ ἐπεὶ ψιλὰ ψιλῶν ἡγεῖται καὶ δασέα δασέων, εἰς τὸ ἀντίςοιχόν τοῦ τ μεταβέβληται τὸ μ.

Δυϊκά. τετύμμεθον. τέτυφθον. τέτυφθον.

Πληθ. τετύμμεθα. τέτυφθε: εἴπομεν ὡς ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν γίνεται τὸ δεύτερον τῶν πληθυντικῶν τροπῇ τῆς ἐσχάτης εἰς θε· εἰ δὲ ψιλῷ παραλήγοιτο, τρέπεται εἰς δασὺ διὰ τὴν ἀσυνταξίαν. τετυμμένοι εἰσί: πᾶν τρίτον ἑνικόν, ἔχον πρὸ τοῦ τ σύμφωνον, διὰ τὸ μὴ δύνασθαι δέξασθαι πρὸ τοῦ τ τὸ ν οὐ ποιεῖ τρίτον πληθυντικόν, ἀλλὰ διὰ μετοχῆς αὐτὸ καὶ τοῦ εἰσί ῥήματος ἀναπληροῖ ἡ χρῆσις. καὶ Ἰακῶς τετύφαται: πᾶν τρίτον ἑνικόν, ἔχον πρὸ τοῦ τ ψιλόν, τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ καὶ προςθήκῃ τοῦ α ποιοῦσιν Ἴωνες τρίτον πληθυντικόν, νένιπται νενίφαται, λέλεκται λελέχαται. εἰ μέντοι εἴη τὸ κοινὸν διὰ τοῦ στ ἀπὸ βαρυτόνων, τότε τὸ Ἰωνικὸν ἔχει πρὸ τοῦ αται τὸ χαρακτηριςικὸν σύμφωνον τοῦ μέσου παρακειμένου, πέφρασαι πεφράδαται, ὅτι πέφραδα. οἱ μέντοι ἀπὸ περισπωμένων φύσει μακρᾷ παραληγόμενοι ταύτην συςέλλουσι πρὸ τοῦ αται εἰς τὴν ὀφειλομένην συλλαβήν, πεποίηται πεποιέαται.

Ὑπερσυντέλικος.

Ἑνικά. ἐτετύμμην: πᾶς παθητικὸς παρακείμενος τροπῇ τῆς μαι εἰς μην ὑπερσυντέλικος γίνεται, προςλαμβάνων κατὰ τὴν ἀρχὴν τὸ ε, εἰ ἀπὸ συμφώνου ἄρχοιτο· εἰ δ᾽ ἀπὸ φωνήεντος, οὐ δεῖ προςθήκης, λέλεγμαι ἐλελέγμην, ἔφθαρμαι ἐφθάρμην. ἐτέτυψο. ἐτέτυπτο.

Δυϊκά. ἐτετύμμεθον. ἐτέτυφθον. ἐτετύφθην.

Πληθ. ἐτετύμμεθα. ἐτέτυφθε. τετυμμέ-

νοι ἦσαν: εἰδέναι δεῖ ὡς ἐν μὲν τῷ παρακειμένῳ τετυμμένοι εἰσί φαμεν, ἐν δὲ τῷ ὑπερσυντελίκῳ τετυμμένοι ἦσαν· κοινὴ μὲν γὰρ ἀμφοῖν τοῖν χρόνοιν ἡ μετοχή, ἀλλ' οὐ τὸ ῥῆμα· παρακειμένῳ δὲ οἰκεῖος ὁ εἰσὶν ἐνεστὼς καὶ ὑπερσυντελίκῳ ὁ ἦσαν παρῳχημένος. καὶ Ἰακῶς τετύφατο: πρόδηλος ἡ τεχνολογία, ὁμοία οὖσα τῇ τοῦ παρακειμένου.

Παθητικὸς ἀόριστος πρῶτος.

Ἑνικά. ἐτύφθην: τέσσαρας ἀορίστους εὑρίσκομεν ἐν τοῖς παθητικοῖς, δύο παθητικούς, πρῶτον καὶ δεύτερον, καὶ δύο μέσους, ὁμοίως πρῶτον καὶ δεύτερον. γίνεται οὖν ὁ μὲν πρῶτος παθητικὸς οὕτως. πᾶς παρακείμενος παθητικὸς τὴν τελευταίαν τρέπων εἰς θην καὶ τὸ κατ' ἀρχὰς σύμφωνον ἀποβαλὼν τὸν παθητικὸν πρῶτον ἀόριστον ποιεῖ, τετέλεσμαι ἐτελέσθην, κέκαρμαι ἐκάρθην, πεποίημαι ἐποιήθην. εἰ μέντοι εὕροι πρὸ τοῦ μ τὸ γ ἢ τὸ μ, εἰς ἐκεῖνα αὐτὰ τρέπει τὰ δασέα ἐξ ὧν καὶ μεταβέβληνται, οἷον λέλεχα λέλεγμαι ἐλέχθην, τέτυφα τέτυμμαι ἐτύφθην. ἐτύφθης. ἐτύφθη.

Δυϊκά. ἐτύφθητον. ἐτυφθήτην.

Πληθ. ἐτύφθημεν. ἐτύφθητε. ἐτύφθησαν: τὰ εἰς μεν πληθυντικὰ ἀπὸ τῶν εἰς ν φύσει μακροκαταλήκτων κεκλιμένα εἰς αν ποιεῖ τὸ τρίτον.

Παθητικὸς ἀόριστος δεύτερος.

Ἑνικά. ἐτύπην: πᾶς δεύτερος ἀόριστος ἐνεργητικὸς εἰς ον λήγων τροπῇ τοῦ ο εἰς η παθητικὸς δεύτερος ἀόριστος γίνεται, ἔτυπον ἐτύπην, ἔνυγον ἐνύγην. ἐτύπης. ἐτύπη.

Δυϊκά. ἐτύπητον. ἐτυπήτην.

Πληθ. ἐτύπημεν. ἐτύπητε. ἐτύπησαν.

Μέσος ἀόριστος πρῶτος.

Ἑνικά. ἐτυψάμην: οἱ μέσοι ἀόριστοι ἀπὸ τῶν

ἐνεργητικῶν γίνονται προσόδῳ τῆς μην, ὁ πρῶτος ἀπὸ τοῦ πρώτου καὶ ὁ δεύτερος ἀπὸ τοῦ δευτέρου, ἔπεισα ἐπεισάμην, ἔπιθον ἐπιθόμην. ἐτύψω. ἐτύψατο.

Δυϊκά. ἐτυψάμεθον. ἐτύψασθον. ἐτυψάσθην.

Πληθ. ἐτυψάμεθα. ἐτύψασθε. ἐτύψαντο.

Μέσος ἀόριϛος δεύτερος.

Ἑνικά. ἐτυπόμην. ἐτύπου, ἐτύπετο.

Δυϊκά. ἐτυπόμεθον. ἐτύπεσθον. ἐτυπέσθην.

Πληθ. ἐτυπόμεθα. ἐτύπεσθε. ἐτύποντο.

Παθητικὸς μέλλων πρῶτος.

Ἑνικά. τυφθήσομαι: ὁμοίως τοῖς ἀορίϛοις καὶ τοὺς μέλλοντας τέσσαρας ἔστιν εὑρεῖν ἐν τοῖς παθητικοῖς, δύο παθητικοὺς καὶ δύο μέσους. γίνονται οὖν οἱ μὲν παθητικοὶ μέλλοντες ἀπὸ τῶν παθητικῶν ἀορίϛων, οἱ δὲ μέσοι ἀπὸ τῶν ἐνεργητικῶν μελλόντων. πᾶς παθητικὸς ἀόριϛος κατὰ τὸ τρίτον ἑαυτοῦ πρόϛωπον προϛλαβὼν τὸ σομαι, καὶ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβαλών, μέλλοντα παθητικὸν ποιεῖ, ἐτύφθη τυφθήσομαι, ἠγοράσθη ἀγορασθήσομαι, εἰκάσθη εἰκασθήσομαι. τυφθήσῃ. τυφθήσεται.

Δυϊκά. τυφθησόμεθον. τυφθήσεσθον. τυφθήσεσθον.

Πληθ. τυφθησόμεθα. τυφθήσεσθε. τυφθήσονται.

Παθητικὸς μέλλων δεύτερος.

Ἑνικά. τυπήσομαι: εἴπομεν ὡς ἀπὸ τοῦ παθητικοῦ δευτέρου ἀορίϛου τρίτου προϛώπου γίνεται, ἐνύγη νυγήσομαι, ἐπράθη πραθήσομαι, ἐτύπη τυπήσομαι τυπήσῃ. τυπήσεται.

Δυϊκά. τυπησόμεθον. τυπήσεσθον. τυπήσεσθον.

Πληθ. τυπησόμεθα. τυπήσεσθε. τυπήσονται.

Μέσος μέλλων πρῶτος.

Ἑνικά. τύψομαι: πᾶς μέλλων ἐνεργητικὸς προςλαβὼν τὴν μαι καὶ τρέπων τὸ ω̃, εἰ μὲν βαρύνοιτο, εἰς ō, εἰ δὲ περισπῷτο, εἰς τὴν ȣ̄ δίφθογγον, μέσος μέλλων γίνεται, νύξω νύξομαι - νυγῶ νυγοῦμαι. τύψῃ. τύψεται.

Δυϊκά. τυψόμεθον. τύψεσθον. τύψεσθον.

Πληθ. τυψόμεθα. τύψεσθε. τύψονται.

Μέσος μέλλων δεύτερος.

Ἑνικά. τυποῦμαι: εἴπομεν ὡς ἀπὸ τοῦ δευτέρου ἐνεργητικοῦ μέλλοντος γίνεται τροπῇ τοῦ ω̄ εἰς τὴν ȣ̄ δίφθογγον καὶ προςθήκῃ τῆς μαι. κλίσιν δὲ ἔχει ὁμοίαν τοῖς παθητικοῖς ἐνεςῶσι τοῦ ποιοῦμαι καὶ τῶν ὁμοίων τῆς πρώτης τῶν περισπωμένων. τυπῇ. τυπεῖται.

Δυϊκά. τυπούμεθον. τυπεῖσθον. τυπεῖσθον.

Πληθ. τυπούμεθα. τυπεῖσθε. τυποῦνται.

Μετ' ὀλίγον μέλλοντος τοῦ καὶ Ἀττικοῦ.

Ἑνικά. τετύψομαι: ὁ παθητικὸς παρακείμενος κατὰ τὸ δεύτερον ἑαυτοῦ πρόςωπον πρὸ τῆς αι διφθόγγου δεχόμενος τὸ ομ μετ' ὀλίγον μέλλοντα ποιεῖ, τέτυμμαι τέτυψαι τετύψομαι, νένυγμαι νένυξαι νενύξομαι, πεποίημαι πεποίησαι πεποιήσομαι. τετύψῃ. τετύψεται.

Δυϊκά. τετυψόμεθον. τετύψεσθον. τετύψεσθον.

Πληθ. τετυψόμεθα. τετύψεσθε. τετύψονται.

ΠΕΡΙ ΑΠΑΡΕΜΦΑΤΩΝ.

Ἐδόκει τισὶ τὰ ἀπαρέμφατα μηδὲ ῥήματα εἶναι διὰ τὸ μὴ ἔχειν πρόσωπά τε καὶ ἀριθμούς. φαμὲν οὖν ὡς πᾶν μέρος λόγου φύσει μὲν ἕν ἐςιν ἁπλοῦν, θέσει

δὲ ποικίλον. αὐτίκα γοῦν καὶ πάσῃ λέξει συναπτόμενον ἄρθρον κατὰ τὸν τῆς φωνῆς λόγον ἑνικῶς λέγεται, τὸ Ἀρίςαρχοι προπαροξύνεται, τὸ τύπτω παροξύνεται. τὸ τοίνυν ἀπαρέμφατον αὐτοῦ τοῦ φύσει ῥήματός ἐςιν ὄνομα· διὸ καὶ ὁμόφωνόν ἐςι καὶ πολλάκις ἄρθρον ἔχει συναρτώμενον, οἷον τὸ ἀναγινώσκειν ὠφέλιμόν ἐστιν.

Ἀπαρέμφατα ἐνεργητικὰ
χρόνου ἐνεςῶτος καὶ παρατατικοῦ.

τύπτειν: πᾶς ἐνεςὼς ἀπὸ βαρυτόνων θεμάτων κατὰ τὸ τρίτον πρόςωπον τὸ ν προςλαβὼν ἀπαρέμφατον ποιεῖ, λέγει λέγειν· ἀπὸ δὲ περισπωμένων ὁ παρατατικὸς προςόδῳ τοῦ ν καὶ συστολῇ τῆς ἀρχούσης, ἐποίει ποιεῖν, ἐβόα βοᾶν, ἐχρύσου χρυσοῦν.

Παρακειμένου καὶ ὑπερσυντελίκου.

τετυφέναι: πᾶς παρακείμενος κατὰ τὸ τρίτον πρόςωπον προςλαβὼν τὴν ναι ἀπαρέμφατον ποιεῖ, τέτυφε τετυφέναι, πεποίηκε πεποιηκέναι.

Μέσου παρακειμένου καὶ ὑπερσυντελίκου.

τετυπέναι: ὁμοίως καὶ αὐτὸς γίνεται, τέτυπε τετυπέναι, νένυγε νενυγέναι.

Ἀορίςου πρώτου.

τύψαι: ὁ εἰς α λήγων ἀόριςος προςθέσει τοῦ ι καὶ συστολῇ τῆς ἀρχούσης ἀπαρέμφατον ποιεῖ, ἔπεισα πεῖσαι. οὐ συνεζεύχθη δὲ τῷ μέλλοντι, ἐπειδὴ μηδὲ ἡ μετοχή. ὧν γὰρ αἱ μετοχαὶ συνεμπίπτουσι, τούτων καὶ τὰ ἀπαρέμφατα. εἰ δέ τις λέγοι πῶς οὖν δευτέρου ἀορίςου καὶ μέλλοντος αἱ μετοχαὶ μὲν συνέπεσον, τὰ δὲ ἀπαρέμφατα οὔ, ἴςω ὅτι αἱ μετοχαὶ αὐτῶν φωνῇ μὲν συνέπεσον, τόνῳ δὲ διεςάλησαν· ἀορίστου γὰρ δευτέρου τυπὼν ὀξυτόνως, μέλλοντος δὲ τυπῶν περισπωμένως. τὸ μέντοι ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου, μὴ δυνάμενον ὀξυνθῆναι καθὸ οὐκ ἔςι ῥῆμα ὀξυνόμε-

νον, ἐξ ἀνάγκης περιεσπάσθη, καὶ οὕτω συνέπεσε τῷ τοῦ δευτέρου μέλλοντος.

Μέλλοντος πρώτου.

τύψειν: πᾶς μέλλων κατὰ τὸ τρίτον πρόσωπον τὸ ν προςλαβὼν ἀπαρέμφατον ποιεῖ, λέξω λέξεις λέξει λέξειν.

Ἀορίστου δευτέρου καὶ μέλλοντος.

τυπεῖν: ὁ δεύτερος μέλλων κατὰ τὸ τρίτον πρόςωπον προςλαβὼν τὸ ν τὸ ἀπαρέμφατον ποιεῖ τοῦ ἀορίστου καὶ μέλλοντος, νυγῶ νυγεῖς νυγεῖ νυγεῖν.

Ἀπαρέμφατα παθητικὰ
χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ.

τύπτεσθαι: πᾶν παθητικὸν ἢ μέσον ἔχον ἐν τῷ τρίτῳ προςώπῳ τὸ τ κλιτικόν, τρέπον τὴν ἐσχάτην εἰς θαι καὶ τὴν κατ' ἀρχὰς κλιτικὴν ἔκτασιν συστεῖλαν, ἀπαρέμφατον ποιεῖ. καὶ εἰ μὲν καθαριεύοι τὸ τ, καὶ σ προςλαμβάνει, εἰ δὲ συμφώνῳ παραλήγοιτο, τηρεῖται τὸ σύμφωνον· εἰ δὲ ψιλῷ, εἰς δασὺ τρέπεται. τοῦτο δὲ δεῖ εἰδέναι, ὅτι ὁ παρακείμενος τὴν ἐν ἀρχαῖς κλιτικὴν ἑαυτοῦ ἔκτασιν οὐδαμοῦ ἀποβάλλει. γίνονται οὖν οἱ χρόνοι οὕτως. ἐνεστῶτος καὶ παρατατικοῦ τύπτεται τύπτεσθαι, παρακειμένου καὶ ὑπερσυντελίκου τέτυπται τετύφθαι, ἀορίστου πρώτου ἐτύφθη τυφθῆναι, ἀορίστου δευτέρου ἐτύπη τυπῆναι, μέσου ἀορίστου πρώτου ἐτύψατο τύψασθαι, μέσου ἀορίστου δευτέρου ἐτύπετο τυπέσθαι, μέλλοντος πρώτου τυφθήσεται τυφθήσεσθαι, μέλλοντος δευτέρου τυπήσεται τυπήσεσθαι, μέσου μέλλοντος πρώτου τύψεται τύψεσθαι, μέσου μέλλοντος δευτέρου τυπεῖται τυπεῖσθαι, μετ' ὀλίγον μέλλοντος τοῦ καὶ Ἀττικοῦ τετύψεται τετύψεσθαι. ἀόριστοι δὲ παθητικοὶ πρῶτος καὶ δεύτερος, ἐπεὶ μὴ ἔχουσιν ἐν τῷ τρίτῳ προςώπῳ κλιτικὸν τὸ τ, ἑτέρως γίνονται· κατὰ γὰρ τὸ τρίτον πρόσωπον αὐτῶν προςλαμβάνοντες τὴν

ναι καὶ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβάλλοντες τὸ ἀπαρέμφατον ποιοῦσιν, ἐτύφθη τυφθῆναι, ἐτύπη τυπῆναι.

ΠΕΡΙ ΠΡΟΣΤΑΚΤΙΚΩΝ.

Καθόλου παντὸς προςακτικοῦ τὸ πρῶτον πρόσωπον ἐπὶ παντὸς ἀριθμοῦ ἐπιλέλοιπεν, ἐπεὶ πρῶτόν ἐςι πρόσωπον τὸ περὶ ἑαυτοῦ ἀποφαινόμενον, ἡ δὲ πρόςταξις πρὸς παρόν ἐςι πρόσωπον ἀπότασις· πῶς οὖν δυνατὸν ἦν ἐν μιᾷ φωνῇ περὶ ἑαυτοῦ τε ἀποφαίνεσθαί τινα καὶ πρὸς ἕτερον ποιεῖσθαι τὸν λόγον;

Προςακτικὰ ἐνεργητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ.

Ἑνικά. τύπτε: πᾶν τρίτον πρόςωπον τοῦ ἐνεργητικοῦ παρατατικοῦ τὴν ἐν ἀρχῇ κλιτικὴν ἔκτασιν ἀποβάλλον προςτακτικὸν γίνεται, ἔτυπτε τύπτε, ἐποίει ποίει, ἐβόα βόα, ἐχρύσου χρύσου. τυπτέτω: πᾶν δεύτερον προςτακτικὸν ἐνεργητικὸν εἰς φωνῆεν λῆγον, πλὴν τῶν εἰς θι, προςθέσει τοῦ τω τρίτον γίνεται, λέγε λεγέτω, ποίει ποιείτω.

Δυϊκά. τύπτετον. τυπτέτων: τὸ μὲν δεύτερον τῶν δυϊκῶν ἀπὸ τοῦ δευτέρου τῶν πληθυντικῶν τροπῇ τῆς τε εἰς τον, τὸ δὲ τρίτον ἀπὸ τοῦ ἰδίου δευτέρου· πᾶν γὰρ δυϊκὸν ἐν προςτακτικοῖς τροπῇ τοῦ ο εἰς ω τὸ τρίτον ποιεῖ, ποιεῖτον ποιείτων.

Πληθυντικά. τύπτετε. τυπτέτωσαν: ἄμφω τὰ πληθυντικα ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν γίνεται· τὸ γὰρ τρίτον τῶν ἑνικῶν τροπῇ μὲν τοῦ ω εἰς ε δεύτερον πληθυντικὸν γίνεται, λεγέτω λέγετε, τετυφέτω τετύφετε, προςθέσει δὲ τῆς σαν τὸ τρίτον ποιεῖ, τυπτέτω τυπτέτωσαν, βοάτω βοάτωσαν.

Παρακειμένου καὶ ὑπερσυντελίκου.

Ἑνικά. τέτυφε: τὸ τρίτον πρόςωπον τοῦ ὁριςικοῦ παρακειμένου δεύτερόν ἐστι προςτακτικόν, τέτυφεν

ἐκεῖνος - τέτυφε σύ, πεποίηκεν ἐκεῖνος - πεποίηκε σύ. τετυφέτω.

Δυϊκά. τετύφετον. τετυφέτων.

Πληθ. τετύφετε. τετυφέτωσαν.

Μέσου παρακειμένου καὶ ὑπερσυντελίκου.

Ἑνικά. τέτυπε. τετυπέτω.

Δυϊκά. τετύπετον. τετυπέτων.

Πληθ. τετύπετε. τετυπέτωσαν.

ἡ αὐτὴ τεχνολογία τοῦ ἐνεργητικοῦ παρακειμένου καὶ ὑπερσυντελίκου καὶ τοῦ μέσου.

Ἀορίστου καὶ μέλλοντος πρώτου.

Ἑνικά. τύψον: ἔδει μὲν καὶ τὸν ἀόριστον ἐκ τοῦ ἰδίου ὁριστικοῦ τρίτου προσώπου γίνεσθαι, ἔτυψεν ἐκεῖνος - τύψε σύ, ἀλλ' ἐκρατήθη Συρακουσίων ἔθος· ἐκεῖνοι γὰρ τὰ εἰς ε̄ προστακτικὰ εἰς ον̄ μεταποιοῦσι, τὸ λάβε λάβον λέγοντες καὶ τὸ ἄνελε ἄνελον. οὕτω καὶ τὸ τύψε τύψον. τυψάτω: ἔδει μὲν κατὰ τὴν ἀναλογίαν τῶν εἰς ε̄ προστακτικῶν διὰ τοῦ ετω̄ εἶναι τὸ τρίτον, ἀλλ' ἐπεὶ πανταχοῦ ὁ ἀόριστος φιλεῖ τὸ ᾱ (τὸ γὰρ ὁριστικὸν ἔτυψα, καὶ τύψας ἡ μετοχή, τὸ ἀπαρέμφατον τύψαι, τὸ εὐκτικὸν τύψαιμι), τούτου χάριν οὐδὲ τὸ προστακτικὸν ἐχωρίσθη τοῦ ᾱ.

Δυϊκά. τύψατον. τυψάτων.

Πληθ. τύψατε. τυψάτωσαν.

Ἀορίστου καὶ μέλλοντος δευτέρου.

Ἑνικά. τύπε: τὸ τρίτον πρόσωπον τοῦ δευτέρου ἀορίστου τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβάλλον προστακτικὸν γίνεται, ἔνυγον ἔνυγες ἔνυγε νύγε. τυπέτω.

Δυϊκά. τύπετον. τυπέτων.

Πληθ. τύπετε. τυπέτωσαν.

Προστακτικὰ παθητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ.

Ἑνικά. *τύπτου*: τὸ δεύτερον πρόςωπον τοῦ παθητικοῦ παρατατικοῦ τὴν ἐν ἀρχῇ κλιτικὴν ἔκτασιν συστεῖλαν προςτακτικὸν γίνεται, ἐποίου ποιοῦ, ἐβόω βοῶ, ἐχρύσου χρυσοῦ. *τυπτέσθω*: τὰ εἰς τω τρίτα ἐνεργητικὰ τροπῇ τοῦ τω εἰς θω παθητικὰ γίνεται, νοείτω νοείσθω, λεγέτω λεγέσθω. ἑνὶ δὲ λόγῳ πᾶν δεύτερον πρόςωπον πληθυντικὸν ὁριςικὸν τῶν παθητικῶν ἢ μέσων τροπῇ τοῦ ε εἰς ω προςτακτικὸν γίνεται τρίτον, τύπτεσθε τυπτέσθω, τέτυφθε τετύφθω, ἐτύφθητε τυφθήτω, ἐτύπητε τυπήτω, ἐτύψασθε τυψάσθω, ἐτύπεσθε τυπέσθω.

Δυϊκά. *τύπτεσθον*. *τυπτέσθων*: ἐκ τοῦ δευτέρου τῶν πληθυντικῶν.

Πληθ. *τύπτεσθε*: ἐκ τοῦ τρίτου τῶν ἑνικῶν τροπῇ τοῦ ω εἰς ε. *τυπτέσθωσαν*: ἐκ τοῦ τρίτου τῶν ἑνικῶν προςθέσει τοῦ σαν.

Παρακειμένου καὶ ὑπερσυντελίκου.

Ἑνικά. *τέτυψο*: τὸ δεύτερον πρόςωπον τοῦ ὑπερσυντελίκου συστολῇ τῆς ἀρχούσης προςτακτικὸν γίνεται, ἐλελέγμην ἐλέλεξο λέλεξο. *τετύφθω*: δύναται καὶ ἀπὸ τοῦ τετυφέτω τετυφέσθω καὶ ἐν συγκοπῇ τετύφθω εἶναι, δύναται καὶ ἀπὸ τοῦ τέτυφθε τετύφθω γεγονέναι.

Δυϊκά. *τέτυφθον*. *τετύφθων*.

Πληθ. *τέτυφθε*. *τετύφθωσαν*.

Ἀορίςου καὶ μέλλοντος πρώτου.

Ἑνικά. *τύφθητι*: πᾶσα μετοχὴ εἰς σ ὀξύτονος διὰ τοῦ ντ κλινομένη εἰς θι ποιεῖ τὸ προςτακτικόν, διδοὺς δίδοθι, ἱςὰς ἵςαθι· οὕτως οὖν τυφθεὶς τύφθηθι ἔδει εἶναι, ἀλλὰ διὰ τὸ κακόφωνον τῆς ἐπαλληλίας τῶν δασέων τύφθητί φαμεν διὰ τοῦ τ. *τυφθήτω*:

τὰ εἰς θι προςτακτικὰ τροπῇ τοῦ θι εἰς τω τὸ τρίτον ποιεῖ, δίδοθι διδότω, ἴςαθι ἱςάτω.

Δυϊκά. τύφθητον. τυφθήτων.

Πληθ. τύφθητε. τυφθήτωσαν.

Ἀορίστου καὶ μέλλοντος δευτέρου.

Ἑνικά. τύπηθι: ὁμοίως τῷ πρώτῳ γέγονεν ἀπὸ τῆς τυπείς μετοχῆς· ἐνταῦθα δὲ, ἐπειδὴ μὴ παρηνόχλει τὰ δασέα, τὸ θ προςῆλθεν ἐν τῷ τέλει. τυπήτω.

Δυϊκά. τύπητον. τυπήτων.

Πληθ. τύπητε. τυπήτωσαν

Μέσου ἀορίςου καὶ μέλλοντος πρώτου.

Ἑνικά. τύψαι: ὁ ἐνεργητικὸς ἀόριςος προςθέσει τοῦ ι καὶ συστολῇ τῆς ἀρχούσης μέσος προςτακτικὸς γίνεται· διὸ καὶ διὰ διφθόγγου γράφεται, ἔλουσα λοῦσαι, ἤσπασα ἄσπασαι. τυψάσθω.

Δυϊκά. τύψασθον. τυψάσθων.

Πληθ. τύψασθε. τυψάσθωσαν.

Μέσου ἀορίστου καὶ μέλλοντος δευτέρου.

Ἑνικά. τυποῦ: ὁ μέσος δεύτερος ἀόριςος τοῦ δευτέρου προςώπου τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν συστείλας τὸ ἴδιον προςτακτικὸν ποιεῖ, ἐλαβόμην ἐλάβου λαβοῦ, ἐπραθόμην ἐπράθου πραθοῦ· ταῦτα δὲ παραλόγως Ἀττικοὶ περισπῶσι. τυπέσθω.

Δυϊκά. τύπεσθον. τυπέσθων.

Πληθ. τύπεσθε. τυπέσθωσαν.

ΠΕΡΙ ΕΥΚΤΙΚΩΝ.

Εὐκτικὰ ἐνεργητικὰ

χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ.

Ἑνικά. τύπτοιμι: πᾶσα μετοχὴ ἐνεργητικὴ τὸ τέλος τῆς γενικῆς τρέψασα εἰς μι καὶ πρὸ τοῦ μ δεξαμένη τὸ ι, παραιτησαμένη τε τὰ μὴ δυνάμενα σὺν αὐτῇ ἀκουσθῆναι στοιχεῖα, τὸ ἐνεργητικὸν εὐκτικὸν

ποιεῖ, τύπτων τύπτοντος τύπτοιμι, τετυφὼς τετυφότος τετύφοιμι. εἰ μέντοι εἴη εἰς σ ὀξύτονος ἡ μετοχὴ διὰ τοῦ ντ κλινομένη, τὸ τέλος τῆς γενικῆς οὐκ εἰς μι ἀλλ' εἰς ην τρέπεται, δοθείς δοθέντος δοθείην, στάς στάντος σταίην. *τύπτοις*: πᾶν ῥῆμα εἰς μι λῆγον τροπῇ τῆς μι εἰς σ τὸ δεύτερον ποιεῖ, λέγοιμι λέγοις, τίθημι τίθης. *τύπτοι*.

Δυϊκά. *τύπτοιτον*. *τυπτοίτην*: καθόλου τὰ δυϊκὰ τῶν εὐκτικῶν εἰς ην ἔχουσι τὸ τρίτον· οὐχ ὁμοφωνεῖ γὰρ τῷ δευτέρῳ διὰ τὸ μὴ εἶναι τὸ τρίτον τῶν πληθυντικῶν εἰς σι ἢ εἰς ται.

Πληθ. *τύπτοιμεν*: τὰ εἰς μι εὐκτικὰ τροπῇ τῆς μι εἰς μεν τὸ πληθυντικὸν ποιεῖ, λέγοιμι λέγοιμεν. *τύπτοιτε*: ἀπὸ τοῦ πρώτου γέγονε τροπῇ τῆς μεν εἰς τε· οὐδέποτε δὲ τὰ εὐκτικὰ τὴν παραλήγουσαν τρέπει. *τύπτοιεν*: τὰ εἰς μεν εὐκτικά, εἰ μὲν διφθόγγῳ παραλήγοιτο, ἀποβολῇ τοῦ μ τὸ τρίτον ποιοῦσι, λέγοιμεν λέγοιεν, τύψαιμεν τύψαιεν· εἰ δὲ μονοφθόγγῳ, εἰς σαν, δαρείημεν δαρείησαν καὶ δοίημεν δοίησαν. ὡς δὲ γίνεται κατὰ συγκοπὴν δοῖμεν (Ὅμηρος·

δοῖμεν δ' Ἀτρείδαο θυγατρῶν εἶδος ἀρίστην),

τότε καὶ τὸ τρίτον

ὑμῖν μὲν θεοὶ δοῖεν Ὀλύμπια δώματ' ἔχοντες.

Παρακειμένου καὶ ὑπερσυντελίκου.

Ἑνικά. *τετύφοιμι*: ἡ μετοχὴ τετυφὼς τετυφότος καὶ τὸ εὐκτικὸν τετύφοιμι. εἰς σ μὲν γὰρ ἦν ὀξύτονος ἡ μετοχή, ἀλλ' οὐ κλίνεται διὰ τοῦ ντ· διὸ οὐκ ἐποίησε τὸ εὐκτικὸν εἰς ην. *τετύφοις*. *τετύφοι*.

Δυϊκά. *τετύφοιτον*. *τετυφοίτην*.

Πληθ. *τετύφοιμεν*. *τετύφοιτε*. *τετύφοιεν*: εἴρηται.

Μέσου παρακειμένου καὶ ὑπερσυντελίκου.

Ἑνικά. *τετύποιμι*. *τετύποις*. *τετύποι*.

Δυϊκά. τετύποιτον. τετυποίτην.

Πληθ. τετύποιμεν. τετύποιτε. τετύποιεν.

πρόδηλος ἡ τεχνολογία ἀπὸ τῆς τετυπώς μετοχῆς.

Ἀορίστου πρώτου.

Ἑνικά. τύψαιμι. τύψαις. τύψαι.

Δυϊκά. τύψαιτον. τυψαίτην.

Πληθ. τύψαιμεν. τύψαιτε. τύψαιεν.

πρόδηλος ἡ τεχνολογία ἀπὸ τῆς τύψας μετοχῆς.

Ἀορίστου δευτέρου.

Ἑνικά. τύποιμι. τύποις. τύποι.

Δυϊκά. τύποιτον. τυποίτην.

Πληθ. τύποιμεν. τύποιτε. τύποιεν.

πρόδηλος ἡ τεχνολογία ἀπὸ τῆς τυπών μετοχῆς.

Μέλλοντος πρώτου.

Ἑνικά. τύψοιμι. τύψοις. τύψοι.

Δυϊκά. τύψοιτον. τυψοίτην.

Πληθ. τύψοιμεν. τύψοιτε. τύψοιεν.

πρόδηλος ἡ τεχνολογία ἀπὸ τῆς τύψων μετοχῆς.

Μέλλοντος δευτέρου.

Ἑνικά. τυποῖμι. τυποῖς. τυποῖ.

Δυϊκά. τυποῖτον. τυποίτην.

Πληθ. τυποῖμεν. τυποῖτε. τυποῖεν.

πρόδηλος ἡ τεχνολογία ἀπὸ τῆς τυπῶν μετοχῆς.

Εὐκτικὰ παθητικὰ

χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ.

Ἑνικά. τυπτοίμην: πᾶν παθητικὸν ἢ μέσον ἔχον ἐπὶ τέλους τὸ μ κλιτικόν, τρέπον τὴν ἐσχάτην εἰς μην καὶ τὸ ι δεχόμενον πρὸ τοῦ μ, καὶ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν συστεῖλαν, εὐκτικὸν γίνεται, τύπτομαι τυπτοίμην, τύψομαι τυψοίμην, τυφθήσομαι τυφθησοίμην, τυπήσομαι τυπησοίμην. τύπτοιο: ὅσα τῶν εὐκτικῶν ἐν τῷ τρίτῳ προσώπῳ ἔχει κλιτικὸν τὸ τ, ἀποβολῇ αὐτοῦ τὸ δεύτερον ποιεῖ, τύπτοιτο τύπτοιο, τύ-

ψαιτο τύψαιο. τύπτοιτο: τὸ τρίτον ἀπὸ τοῦ πρώτου γέγονε τροπῇ τοῦ μην εἰς το.

Δυϊκά. τυπτοίμεθον. τύπτοισθον. τυπτοίσθην.

Πληθ. τυπτοίμεθα: πᾶν πρῶτον πρόσωπον, ἔχον τὸ μ κλιτικὸν μετὰ μακρᾶς, τροπῇ τῆς ἐσχάτης εἰς μεθα τὸ πληθυντικὸν ποιεῖ. τύπτοισθε: εἴρηται ὡς πᾶν τρίτον ἑνικὸν ἔχον τὸ τ κλιτικόν, τρέπον τὴν ἐσχάτην εἰς θε δεύτερον πληθυντικὸν ποιεῖ· κἂν μὲν καθαρεύοι τὸ τ, καὶ σ προςλαμβάνει, εἰ δὲ ψιλῷ παραλήγοιτο, εἰς δασὺ αὐτὸ τρέπει. τύπτοιντο: εἴρηται ὡς πᾶν τρίτον πρόσωπον, ἔχον τὸ τ κλιτικόν, πρὸ του τ δεχόμενον τὸ ν τρίτον πληθυντικὸν γίνεται μετὰ τοῦ φυλάσσειν τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου.

Παρακειμένου καὶ ὑπερσυντελίκου.

Ἑνικά. τετυμμένος εἴην: ὅτε μὲν καθαρὰν ἔχει τὴν ἐσχάτην ὁ παθητικὸς παρακείμενος, τῷ κοινῷ κανόνι τὸ εὐκτικὸν ποιεῖ, κέκλημαι κεκλήμην, δέδημαι δεδήμην· ὅτε δὲ ἑτέρῳ συμφώνῳ πρὸ τοῦ μ παραλήγεται, τότε διὰ τὸ ἀσυστατεῖν τὸ εὐκτικόν τε αὐτοῦ καὶ τὸ ὑποτακτικὸν διὰ μετοχῆς ἀναπληροῖ. τετυμμένος εἴης - εἴη.

Δυϊκά. τετυμμένω εἴητον - εἰήτην.

Πληθ. τετυμμένοι εἴημεν - εἴητε - εἴησαν.

Ἀορίστου πρώτου.

Ἑνικά. τυφθείην: εἴπομεν ὡς πᾶσα μετοχὴ ὀξύτονος εἰς σ λήγουσα διὰ τοῦ ντ κλινομένη, τὸ τέλος τῆς γενικῆς τρέψασα εἰς ην καὶ τὸ ι πρὸ τοῦ ην δεχομένη, τὸ εὐκτικὸν ποιεῖ. ἔστιν οὖν τυφθείς τυφθέντος τυφθείην. τυφθείης. τυφθείη.

Δυϊκά. τυφθείητον. τυφθειήτην.

Πληθ. τυφθείημεν. τυφθείητε. τυφθείησαν.

Ἀορίστου δευτέρου.

Ἑνικά. τυπείην. τυπείης. τυπείη.

Δυϊκά. τυπείητον. τυπειήτην.

Πληθ. τυπείημεν. τυπείητε. τυπείησαν. πρόδηλος ἡ τεχνολογία ἀπὸ τῆς τυπείς μετοχῆς.

Μέσου ἀορίστου πρώτου.

Ἑνικά. τυψαίμην: εἴπομεν ὡς ὅσα ἔχει τὸ μ κλιτικόν, τρέποντα τὴν ἐσχάτην εἰς μην, προ τοῦ μ δεχόμενα τὸ ι, συστέλλοντά τε τὴν κατ' ἀρχὴν κλιτικὴν ἔκτασιν, εὐκτικὸν ποιεῖ. ἦν οὖν ἐτυψάμην καὶ τὸ εὐκτικὸν τυψαίμην. τύψαιο. τύψαιτο.

Δυϊκά. τυψαίμεθον. τύψαισθον. τυψαίσθην.

Πληθ. τυψαίμεθα, τύψαισθε. τύψαιντο.

Μέσου ἀορίστου δευτέρου.

Ἑνικά. τυποίμην. τύποιο. τύποιτο.

Δυϊκά. τυποίμεθον. τύποισθον. τυποίσθην.

Πληθ. τυποίμεθα. τύποιθε. τύποιντο.

Εἴρηται ὡς ἑνὶ κανόνι κανονίζονται πάντες οἱ μέλλοντες.

μέλλων πρῶτος τυφθήσομαι τυφθησοίμην.
μέλλων δεύτερος τυπήσομαι τυπησοίμην.
μέσος μέλλων πρῶτος τύψομαι τυψοίμην.
μέσος μέλλων δεύτερος τυποῦμαι τυποίμην.
μετ' ὀλίγον μέλλων τετύψομαι τετυψοίμην.

πρόδηλος ἁπάντων ἡ κλίσις.

ΠΕΡΙ ΥΠΟΤΑΚΤΙΚΩΝ.

Αἱ μὲν ἄλλαι τῶν ἐγκλίσεων μοναδικὴν ἔχουσαι σημασίαν ἐξ αὐτῆς ὀνομάζονται, οἷον ἡ ὁριστικὴ ἐκ τοῦ μόνως ὁρίζειν, ἡ προστακτικὴ ἀπὸ τοῦ προστάσσειν, καὶ ἑξῆς ὁμοίως· ἡ μέντοι ὑποτακτικὴ ποικίλας ἔχει τὰς σημασίας. δηλοῖ γὰρ δισταγμόν, ὡς ἐν τῷ ἐὰν ὑγιάνω ἀναγνώσομαι· δηλοῖ δὲ καὶ ἀποτελεσμόν, ὡς ἐν τῷ

δός μοι τὸ βιβλίον ἵνα ἀναγνῶ· ἔστι δ' ὅτε καὶ αἰτίαν, ὡς ἐν τῷ ἵνα τιμηθῶ ἐλυπήθης. διαφόρους οὖν ἔχουσα σημασίας οὐκέτι δεδύνηται ἀπὸ μιᾶς ὀνομασθῆναι. ὠνόμασται δὲ ἀπὸ τῆς συντάξεως· ἐπεὶ γὰρ ἀεὶ ὑποτάσσεται ἑνὶ τῶν ὑποτακτικῶν συνδεσμῶν, τῷ ἵνα, ὅπως, ἐάν, τούτου χάριν ὑποτακτικὰ καλεῖται. δηλοῦσι δὲ πράγματα ἢ γινόμενα, ἅ ἐστιν ἐνεστῶτος, ἢ γενησόμενα, ἅ ἐστι μέλλοντος· διὸ τὰς μὲν καταλήξεις τῶν παρῳχημένων ἀπεβάλοντο, μετεποίησαν δὲ αὐτὰς εἰς ω̄ καὶ εἰς μαι, αἵ τινές εἰσιν ἐνεςώτων καὶ μελλόντων.

Ὑποτακτικὰ ἐνεργητικὰ χρόνου ἐνεςῶτος καὶ παρατατικοῦ.

Ἑνικά. ἐὰν τύπτω: οἱ τρεῖς παρῳχημένοι, παρατατικὸς παρακείμενος καὶ ἀόριστος, τὴν τελευταίαν τρέποντες εἰς ω̄ καὶ τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβάλλοντες τὸ ὑποτακτικὸν ποιοῦσιν, ἔτυπτον - ἐὰν τύπτω, τέτυφα - ἐὰν τετύφω, ἔτυψα - ἐὰν τύψω. ἐὰν τύπτῃς: καθόλου τὰ εἰς ω̄ ὑποτακτικὰ ἀπὸ τῶν εἰς ω̄ κεκλιμένα εἰς ῃς τὸ δεύτερον ποιεῖ, πλὴν τῆς δευτέρας καὶ τρίτης συζυγίας τῶν περισπωμένων· ἐκεῖναι γὰρ ὁμοίως τοῖς ὁριστικοῖς καὶ τὰ ὑποτακτικὰ κλίνουσιν, ἐὰν βοῶ βοᾷς βοᾷ, ἐὰν χρυσῶ χρυσοῖς χρυσοῖ. ἐὰν τύπτῃ: ἐκ τοῦ ἰδίου δευτέρου γέγονεν ἀποβολῇ τοῦ σ.

Δυϊκά. ἐὰν τύπτητον: ἀπὸ τοῦ δευτέρου τῶν πληθυντικῶν. ἐὰν τύπτητον: ὁμοφωνεῖ τῷ δευτέρῳ, ὅτι εἰς σι λήγει τὸ τρίτον τῶν πληθυντικῶν.

Πληθ. ἐὰν τύπτωμεν: πᾶν ὑποτακτικὸν εἰς ω̄ λῆγον προςθέσει τῆς μεν τὸ πληθυντικὸν ποιεῖ, ἐὰν τυφθῶ - ἐὰν τυφθῶμεν, ἐὰν τύπτω - ἐὰν τύπτωμεν. ἐὰν τύπτητε: ἀπὸ τοῦ πρώτου γέγονε τροπῇ τῆς μεν εἰς τε καὶ τοῦ παραλήγοντος ω̄ εἰς η. ἐὰν τύπτωσι: καὶ τοῦτο ἀπὸ τοῦ πρώτου γέγονε τροπῇ τῆς μεν εἰς σι.

Παρακειμένου καὶ ὑπερσυντελίκου.

Ἑνικά. ἐὰν τετύφω - τετύφῃς - τετύφῃ.

Δυϊκά. ἐὰν τετύφητον - τετύφητον.

Πληθ. ἐὰν τετύφωμεν - τετύφητε - τετύφωσιν.

προείρηται πᾶσα ἡ τεχνολογία.

Μέσου παρακειμένου καὶ ὑπερσυντελίκου.

Ἑνικά. ἐὰν τετύπω - τετύπῃς - τετύπῃ.

Δυϊκά. ἐὰν τετύπητον - τετύπητον.

Πληθ. ἐὰν τετύπωμεν - τετύπητε - τετύπωσιν.

εἴρηται.

Ἀορίστου καὶ μέλλοντος πρώτου.

Ἑνικά. ἐὰν τύψω - τύψῃς - τύψῃ.

Δυϊκά. ἐὰν τύψητον - τύψητον.

Πληθ. ἐὰν τύψωμεν - τύψητε - τύψωσιν. ἰστέον ὅτι ἀπὸ τοῦ ἀορίστου γέγονεν, οὐκ ἀπὸ τοῦ μέλλοντος, ὁ ὑποτακτικὸς ἀόριςος, ὡς ἤλεγξεν ἡ πέμπτη συζυγία· ἔςι γὰρ ὁ ἀόριστος ἔκειρα, ὁ μέλλων κερῶ· τὸ δὲ ὑποτακτικὸν οὐκ ἔστιν ἐὰν κερῶ ἀλλ' ἐὰν κείρω.

Ἀορίστου καὶ μέλλοντος δευτέρου.

Ἑνικά. ἐὰν τύπω - τύπῃς - τύπῃ.

Δυϊκά. ἐὰν τύπητον - τύπητον.

Πληθ. ἐὰν τύπωμεν - τύπητε - τύπωσι. πρόδηλος ἡ κλίσις.

Ὑποτακτικὰ παθητικὰ

χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ.

Ἑνικά. ἐὰν τύπτωμαι: ὁ ἐνεργητικὸς ἐνεστὼς τῶν ὑποτακτικῶν προςθέσει τῆς μαι παθητικὸς γίνεται, ἐὰν λέγω - ἐὰν λέγωμαι, ἐὰν βοῶ - ἐὰν βοῶμαι, ἐὰν χρυσῶ - ἐὰν χρυσῶμαι. ὥςπερ γὰρ ἐν τοῖς ἐνεργητικοῖς τὰ δεύτερα καὶ τρίτα πρόςωπα τῆς δευτέρας καὶ τρίτης συζυγίας τῶν περισπωμένων οὐ διενηνόχασι πρὸς

πρὸς τὰ ὁριστικά, οὕτω καὶ ἐν τοῖς παθητικοῖς τὰ δεύτερα καὶ τρίτα πρόσωπα ὡμοφώνησαν. ἐὰν τύπτῃ: καθόλου τὰ τρίτα ἐνεργητικὰ τῶν ὑποτακτικῶν δεύτερά εἰσι τῶν παθητικῶν, ἐὰν λέγω λέγῃς λέγῃ - ἐὰν λέγωμαι ἐὰν λέγῃ, ἐὰν βοῶ βοᾷς βοᾷ - ἐὰν βοῶμαι βοᾷ, ἐὰν χρυσῶ χρυσοῖς χρυσοῖ - ἐὰν χρυσῶμαι χρυσοῖ. ἐὰν τύπτηται: τὸ δεύτερον πρόσωπον προσλαμβάνον τὴν ται τρίτον γίνεται· περὶ γὰρ τῆς δευτέρας καὶ τρίτης συζυγίας τῶν περισπωμένων, ὅτι ὁμοφωνεῖ τοῖς ὁριστικοῖς, προείρηται. Εἰρηναῖος δὲ ὁ περὶ Ἀττικῆς συνηθείας γράψας φησὶ τοὺς Ἀττικοὺς τὰ τρίτα πρόσωπα τῆς τρίτης συζυγίας διὰ τοῦ ῶ λέγειν, ἐὰν χρυσῶται, ἐὰν γυψῶται, ἐὰν στεφανῶται.

Δυϊκά. ἐὰν τυπτώμεθον. ἐὰν τύπτησθον. ἐὰν τύπτησθον: εἴρηται.

Πληθ. ἐὰν τυπτώμεθα. ἐὰν τύπτησθε. ἐὰν τύπτωνται: εἴρηται, ἀπὸ τῶν ἑνικῶν.

Παρακειμένου καὶ ὑπερσυντελίκου.

Ἑνικά. ἐὰν τετυμμένος ὦ - ᾖς - ᾖ: εἴπομεν ὡς ὅταν ὁ παθητικὸς ὁριστικὸς παρακείμενος σύμφωνον ἔχῃ πρὸ τοῦ μ, οὐ ποιεῖ οὔτε εὐκτικὸν οὔτε ὑποτακτικόν, ἀλλὰ διὰ μετοχῆς αὐτὰ ἡ χρῆσις ἀναπληροῖ. εἰ μέντοι καθαριεύοι τὸ ὁριστικόν, πρὸ τοῦ μ δεξάμενον τὸ ῶ ὑποτακτικὸν ποιεῖ, κέκτημαι - ἐὰν κεκτῶμαι, μέμνημαι - ἐὰν μεμνῶμαι, προπερισπωμένως.

Δυϊκά. ἐὰν τετυμμένω ἦτον - ἦτον.

Πληθ. ἐὰν τετυμμένοι ὦμεν - ἦτε - ὦσιν.

Ἀορίστου καὶ μέλλοντος πρώτου.

Ἑνικά. ἐὰν τυφθῶ: πᾶσα μετοχὴ εἰς σ λήγουσα μετ᾽ ὀξείας καὶ διὰ τοῦ ντ κλινομένη, τρέπουσα τὴν ἐσχάτην εἰς ῶ μετὰ περισπωμένης, τὸ ὑποτακτικὸν ποιεῖ, τυφθείς - ἐὰν τυφθῶ, διδούς - ἐὰν διδῶ. ἐὰν τυφθῇς. ἐὰν τυφθῇ.

Δυϊκά. ἐὰν τυφθῆτον. ἐὰν τυφθῆτον.

Πληθ. ἐὰν τυφθῶμεν. ἐὰν τυφθῆτε. ἐὰν τυφθῶσιν.

Ἀορίστου καὶ μέλλοντος δευτέρου.

Ενικά. ἐὰν τυπῶ - τυπῇς - τυπῇ.

Δυϊκά. ἐὰν τυπῆτον - τυπῆτον.

Πληθ. ἐὰν τυπῶμεν - τυπῆτε - τυπῶσιν. ἡ αὐτὴ τεχνολογία ἐστὶν ἐπὶ πρώτου καὶ δευτέρου ἀορίστου.

Μέσου ἀορίστου καὶ μέλλοντος πρώτου.

Ἑνικά. ἐὰν τύψωμαι: ὁ πρῶτος μέσος ἀόριστος ἀπὸ τοῦ ἐνεργητικοῦ γίνεται ἀορίστου ὑποτακτικοῦ προςθέσει τῆς μαι, ἐὰν τύψω - ἐὰν τύψωμαι. δύναιο δ' ἂν καὶ ἑτέρως κανονίσαι, ὡς πᾶν παθητικὸν ἢ μέσον πρὸ τῆς μαι δεχόμενον τὸ ω ὑποτακτικὸν γίνεται. ἐὰν τύψῃ. ἐὰν τύψηται.

Δυϊκά. ἐὰν τυψώμεθον - τύψησθον - τύψησθον.

Πληθ. ἐὰν τυψώμεθα - τύψησθε - τύψωνται.

Μέσου ἀορίστου καὶ μέλλοντος δευτέρου.

Ἑνικά. ἐὰν τύπωμαι: ὁμοίως τῷ πρώτῳ κανονίζεται, εἴτε ἀπὸ ἐνεργητικοῦ θέλεις κατὰ προςθήκην τῆς μαι, εἴτε ἀπὸ τοῦ τυποῦμαι τροπῇ τῆς ȣ εἰς ω. τύπῃ - τύπηται.

Δυϊκά. ἐὰν τυπώμεθον - τύπησθον - τύπησθον.

Πληθ. ἐὰν τυπώμεθα - τύπησθε - τύπωνται.

Μετ' ὀλίγον μέλλοντος τοῦ καὶ Ἀττικοῦ.

Ἑνικά. ἐὰν τετύψωμαι - τετύψῃ - τετύψηται.

Δυϊκά. ἐὰν τετυψώμεθον - τετύψησθον - τετύψησθον.

Πληθ. ἐὰν τετυψώμεθα - τετύψησθε - τετύψωνται.

ΠΕΡΙ ΜΕΤΟΧΩΝ.

Μετοχαὶ ἐνεργητικαὶ
χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ.

Ἑνικά. τύπτων: πᾶν ῥῆμα ὁριστικὸν εἰς ω̄ λῆγον προσθέσει τοῦ ν̄ ποιεῖ τὴν μετοχήν, λέγω λέγων, τύπτω τύπτων, τύψω τύψων. τύπτουσα: πᾶσα μετοχὴ διὰ τοῦ ντ̄ κλινομένη, τρέπουσα τὸ τέλος τῆς γενικῆς εἰς ᾱ καὶ τὴν παραλήγουσαν φύσει μακρὰν ποιοῦσα, τὸ θηλυκὸν ποιεῖ, λέγοντος λέγουσα, θέντος θεῖσα, ζευγνύντος ζευγνῦσα. τύπτον: πᾶσα μετοχὴ διὰ τοῦ ντ̄ κλινομένη ἀποβολῇ τῆς τος̄ τὸ οὐδέτερον ποιεῖ, λέγοντος - τὸ λέγον, ποιοῦντος - τὸ ποιοῦν, βοῶντος - τὸ βοῶν.

Δυϊκά. τύπτοντε: πᾶσα δοτικὴ ἑνικῶν εἰς ῑ ἐκφωνούμενον λήγουσα τροπῇ τοῦ ῑ εἰς ε̄ τὸ δυϊκὸν ποιεῖ, Αἴαντι Αἴαντε, ἄραντι ἄραντε. τυπτούσα: πᾶσα δοτικὴ ἑνικῶν εἰς η̄ λήγουσα τροπῇ τοῦ η̄ εἰς ᾱ τὸ δυϊκὸν ποιεῖ, τῷ Πέρσῃ - τὼ Πέρσα. οὕτω τῇ τυπτούσῃ - τὰ τυπτούσα.

Πληθ. τύπτοντες: πᾶσα εὐθεῖα δυϊκῶν εἰς ε̄ λήγουσα προσθέσει τοῦ σ̄ τὸ πληθυντικὸν ποιεῖ, ἔρωτε ἔρωτες, τύπτοντε τύπτοντες. τύπτουσαι: πᾶσα εὐθεῖα δυϊκῶν εἰς ᾱ λήγουσα προσθέσει τοῦ ῑ τὸ πληθυντικὸν ποιεῖ, τὼ Αἰνεία - οἱ Αἰνεῖαι, τὰ λεγούσα - αἱ λέγουσαι. τύπτοντα: πᾶν πληθυντικὸν οὐδέτερον εἰς ᾱ λήγει· τὸ γὰρ βέλη τείχη ἀπὸ συναιρέσεως γέγονεν ἐκ τοῦ βέλεα τείχεα.

Παρακειμένου καὶ ὑπερσυντελίκου.

Ἑνικά. τετυφώς: ὁ ἐνεργητικός τε καὶ μέσος πα-

ρακείμενος τρέπων τὸ α εἰς ως τὴν μετοχὴν ποιεῖ, λέλεγα λελεχώς, τέτυπα τετυπώς. μόνη δὲ αὕτη ἡ τοῦ παρακειμένου μετοχὴ διὰ μόνου τοῦ τ τὴν γενικὴν ἔχει, ἴσως μιμουμένη τὴν ὀνοματικὴν κλίσιν· οὐδὲν γὰρ τῶν εἰς ως ὀνομάτων διὰ τοῦ ντ κλίνεται. τετυφυῖα: δύο ζητοῦμεν ἐν ταύτῃ τῇ μετοχῇ, διὰ τί καθαρὸν ἔχει τὸ α καὶ διὰ τί τῇ υι παραλήγεται. φαμὲν οὖν ὡς αἱ θηλυκαὶ μετοχαὶ ἥττονα ἔχουσι σύμφωνα ἐπὶ τῆς ἐσχάτης τῶν παραληγόντων τῇ γενικῇ τοῦ ἀρσενικοῦ, οἷον ἡ λέγοντος δύο ἔχει, ἀλλ' ἡ λέγουσα ἕν. ἐπεὶ οὖν ἡ γενικὴ τοῦ παρακειμένου ἓν εἶχε τὸ τ, ἀναγκαίως ἡ θηλυκὴ οὐδὲ ἓν ἔσχεν, ἀλλὰ διὰ καθαροῦ τοῦ α ἐξηνέχθη. τῇ δὲ υι παρελήχθη, ἐπεὶ τρία αὐτῇ ἐχρεωστεῖτο φωνήεντα, πρῶτον μὲν τὸ ο τῆς γεγραφότος γενικῆς, ἔπειτα τὸ υ (οὕτω γὰρ ἐκτείνεται τὸ ο, ὡς καὶ ἐπὶ τῶν ἄλλων, λέγουσα, φέρουσα) καὶ τρίτον τὸ ι, ἐπεὶ τὰ παρεσχηματισμένα θηλυκὰ ἀρσενικοῖς εἰς α καθαρὸν λήγοντα ὡς ἐπὶ πᾶν τῷ ι θέλει παραλήγεσθαι, ὀξεῖα, Ῥοδία, ἀλλοία. ἐκπεσόντος οὖν τοῦ ο ἔμεινε τὸ υ καὶ τὸ ι. τετυφός: καὶ τοῦτο ἀπὸ τῆς γενικῆς τοῦ ἀρσενικοῦ γέγονεν. ἀλλ' ἐπειδὴ ἀποβαλλομένης τῆς ἐσχάτης συλλαβῆς εἰς ο λήγειν ἤμελλεν, ὅπερ ἀδύνατον, προσλαμβάνει τὸ σ· οὐ γὰρ τὸ ν, ἐπεὶ μηδὲ διὰ τοῦ ντ ἡ κλίσις τοῦ ἀρσενικοῦ.

Δυϊκά. τετυφότε. τετυφυία: πᾶσα δοτικὴ ἑνικῶν εἰς ι ἐκφωνούμενον λήγουσα ἢ εἰς α τὸ μὲν ι εἰς ε μεταβάλλει καὶ ποιεῖ τὴν εὐθεῖαν τῶν δυϊκῶν, τὸ δὲ α τηρεῖ καὶ ἐπὶ τῆς εὐθείας τῶν δυϊκῶν, τῷ Νέστορι· τὼ Νέστορε, τῷ Αἰνείᾳ τὼ Αἰνεία.

Πληθ. τετυφότες. τετυφυῖαι. τετυφότα.

Μέσου παρακειμένου καὶ ὑπερσυντελίκου.

Ἑνικά. τετυπώς. τετυπυῖα. τετυπός.

Δυϊκά. τετυπότε. τετυπυία.

Πληθ. τετυπότες. τετυπυῖαι. τετυπότα. πρόδηλος ἡ κλίσις ὁμοία οὖσα τῇ τοῦ παρακειμένου.

Ἀορίστου πρώτου.

Ἑνικά. τύψας. τύψασα. τύψαν: ὁ εἰς ᾱ λήγων ἀόριστος προσθέσει τοῦ σ̄ καὶ συστολῇ τῆς ἀρχούσης κλιτικῆς ἐκτάσεως ποιεῖ τὴν μετοχήν, ἔλεξα λέξας, ἤχησα ἠχήσας, ἔτυψα τύψας.

Δυϊκά. τύψαντε. τυψάσα.

Πληθ. τύψαντες. τύψασαι. τύψαντα.

Ἀορίστου δευτέρου.

Ἑνικά. τυπών. τυποῦσα. τυπόν: ὁ εἰς ον ἀόριστος τρέπων τὸ ō εἰς ω̄ καὶ συστέλλων τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν μετοχὴν ποιεῖ ἐν ὀξείᾳ τάσει, ἔνυγον νυγών, ἔτυπον τυπών.

Δυϊκά. τυπόντε. τυπούσα.

Πληθ. τυπόντες. τυποῦσαι. τυπόντα.

Μέλλοντος πρώτου.

Ἑνικά. τύψων. τύψουσα. τύψον.

Δυϊκά. τύψοντε. τυψούσα.

Πληθ. τύψοντες. τύψουσαι. τύψοντα. ἡ αὐτὴ τεχνολογία ἐστὶ τῷ ἐνεστῶτι.

Μέλλοντος δευτέρου.

Ἑνικά. τυπῶν. τυποῦσα. τυποῦν: ἡ τοῦ δευτέρου μέλλοντος μετοχὴ ὁμοφωνεῖ μὲν τῇ τοῦ δευτέρου ἀορίστου, οὐ μὴν καὶ ὁμοτονεῖ· ἡ μὲν γὰρ τοῦ δευτέρου ἀορίστου ἀεὶ ὀξύνεται καὶ διὰ τοῦ ō κλίνεται καὶ τὸ οὐδέτερον εἰς ον ἔχει, ἡ δὲ τοῦ δευτέρου μέλλοντος ἀεὶ περισπᾶται καὶ διὰ τῆς ȣ̄ διφθόγγου κλίνεται καὶ τὸ οὐδέτερον εἰς ουν λῆγον ἔχει.

Δυϊκά. τυποῦντε. τυπούσα.

Πληθ. τυποῦντες. τυποῦσαι. τυποῦντα.

Μετοχαὶ παθητικαὶ
χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ.

Ἑνικά. τυπτόμενος: πᾶν ῥῆμα παθητικὸν ἢ μέσον, ἔχον τὸ μ κλιτικόν, τροπῇ τῆς ἐσχάτης εἰς μενος τὴν μετοχὴν ποιεῖ, τύπτομαι τυπτόμενος, τέτυμμαι τετυμμένος. πρόςκειται „τὸ μ κλιτικὸν" ἐπεὶ τὸ ἐδάμην θεματικὸν αὐτὸ ἔχον οὐκέτι ποιεῖ δάμενος τὴν μετοχήν. τυπτομένη· ὁμοίως τοῖς εἰς νος ὀνόμασι ποιοῦνται τὸν παρασχηματισμὸν τῶν γενῶν καὶ τὴν κλίσιν· ὡς γὰρ δερμάτινος δερματίνη δερμάτινον, οὕτω τυπτόμενος τυπτομένη τυπτόμενον. πᾶν τοίνυν εἰς ος μετὰ συμφώνου πλὴν τοῦ ρ, ὅτε ἔχει θηλυκόν, εἰς η αὐτὸ ποιεῖ, σοφός σοφή, καλός καλή. τυπτόμενον: πᾶν ἀρσενικὸν ἰσοσυλλάβως κλινόμενον, ἡνίκα ποιεῖ οὐδέτερον, ὁμόφωνον αὐτὸ ποιεῖ τῇ ἰδίᾳ αἰτιατικῇ, καλός καλοῦ - τὸν καλόν καὶ τὸ καλόν, εὐγήρως εὐγήρω - τὸν εὐγήρων καὶ τὸ εὐγήρων, εὔνους εὔνου - τὸν εὔνουν καὶ τὸ εὔνουν. ὅθεν σεσημείωται τὸ ἄλλο, τοῦτο, ἐκεῖνο καὶ τὰ παραπλήσια.

Δυϊκά. τυπτομένω: πᾶσα δοτικὴ ἑνικῶν εἰς α ἢ εἰς ω λήγουσα ὁμόφωνον ἔχει τὴν ὀρθὴν τῶν δυϊκῶν. τυπτομένα: εἴπομεν ὡς πᾶσα δοτικὴ εἰς η λήγουσα τροπῇ τοῦ η εἰς α τὸ δυϊκὸν ποιεῖ, τῷ Πέρσῃ - τὼ Πέρσα, τῇ καλῇ - τὰ καλά, τῇ τυπτομένῃ - τὰ τυπτομένα.

Πληθ. τυπτόμενοι: πᾶσα εὐθεῖα δυϊκῶν εἰς ω λήγουσα εἰς οι ποιεῖ τὸ πληθυντικόν, Ὁμήρω Ὅμηροι, Σαπφώ Σαπφοί. τυπτόμεναι: εἴρηται ὡς πᾶσα εὐθεῖα δυϊκων εἰς α λήγουσα προςθέσει τοῦ ι ποιεῖ τὸ πληθυντικόν, Πέρσα Πέρσαι, καλά καλαί. τυπτόμενα: εἴρηται ὡς πᾶν οὐδέτερον εἰς α λήγει κατὰ τὸ πληθυντικόν.

Παρακειμένου καὶ ὑπερσυντελίκου.

Ἑνικά. τετυμμένος. τετυμμένη. τετυμμένον.

Δυϊκά. τετυμμένω. τετυμμένα.

Πληθ. τετυμμένοι. τετυμμέναι. τετυμμένα.

Ἀορίστου πρώτου.

Ἑνικά. τυφθείς: πᾶν ῥῆμα εἰς ν̄ λῆγον μετὰ φυσικῆς μακρᾶς, μὴ ἔχον τὸ μ̄ κλιτικόν, τὴν μετοχὴν ἔχει εἰς σ̄ ὀξύτονον, ἐτετύφειν τετυφώς, ἐδάμην δαμείς. τὸ μέντοι ἐποίουν ἐβόων οὐ φυσικὴν ἔχουσι τὴν μακρὰν ἀλλ᾽ ἐκ πάθους· διὸ οὐκ εἰς σ̄ αὐτῶν ἡ μετοχή. τὸ ἐτυπτόμην τὸ μ̄ ἔχει κλιτικόν. τυφθεῖσα. τυφθέν: ἀμφότερα γέγονεν ἀπὸ τῆς γενικῆς τοῦ ἀρσενικοῦ, τὸ μὲν τροπῇ τῆς τελευταίας εἰς ᾱ καὶ ἐκτάσει τῆς παραληγούσης, τὸ δὲ οὐδέτερον ἀποβολῇ τῆς τελευταίας.

Δυϊκά. τυφθέντε. τυφθείσα.

Πληθ. τυφθέντες. τυφθεῖσαι. τυφθέντα.

Ἀορίστου δευτέρου.

Ἑνικά. τυπείς. τυπεῖσα. τυπέν.

Δυϊκά. τυπέντε. τυπείσα.

Πληθ. τυπέντες. τυπεῖσαι. τυπέντα.

Μέσου ἀορίστου πρώτου.

Ἑνικά. τυψάμενος. τυψαμένη. τυψάμενον: εἴπομεν ὡς τὰ ἔχοντα τὸ μ̄ κλιτικὸν τροπῇ τῆς ἐσχάτης εἰς μενος καὶ συστολῇ τῆς κλιτικῆς ἐκτάσεως ποιεῖ τὴν παθητικὴν μετοχήν. ἔστιν οὖν ἐτυψάμην, καὶ συστολῇ τῆς ἀρχούσης καὶ τροπῇ τῆς τελευταίας συλλαβῆς εἰς μενος γίνεται τυψάμενος.

Δυϊκά. τυψαμένω. τυψαμένα.

Πληθ. τυψάμενοι. τυψάμεναι. τυψάμενα.

Μέσου ἀορίστου δευτέρου.

Ἑνικά. τυπόμενος. τυπομένη. τυπόμενον.

Δυϊκά. τυπομένω. τυπομένα.

Πληθ. τυπόμενοι. τυπόμεναι. τυπόμενα.

Μέλλοντος πρώτου.

Ἑνικά. τυφθησόμενος. τυφθησομένη. τυφθησόμενον.

Δυϊκά. τυφθησομένω. τυφθησομένα.

Πληθ. τυφθησόμενοι. τυφθησόμεναι. τυφθησόμενα.

Μέλλοντος δευτέρου.

Ἑνικά. τυπησόμενος. τυπησομένη. τυπησόμενον.

Δυϊκά. τυπησομένω. τυπησομένα.

Πληθ. τυπησόμενοι. τυπησόμεναι. τυπησόμενα.

Μέσου μέλλοντος πρώτου.

Ἑνικά. τυψόμενος. τυψομένη. τυψόμενον.

Δυϊκά. τυψομένω. τυψομένα.

Πληθ. τυψόμενοι. τυψόμεναι. τυψόμενα.

Μέσου μέλλοντος δευτέρου.

Ἑνικά. τυπούμενος. τυπουμένη. τυπούμενον.

Δυϊκά. τυπουμένω. τυπουμένα.

Πληθ. τυπούμενοι. τυπούμεναι. τυπούμενα.

Μετ' ὀλίγον μέλλοντος τοῦ καὶ Ἀττικοῦ.

Ἑνικά. τετυψόμενος. τετυψομένη. τετυψόμενον.

Δυϊκά. τετυψομένω. τετυψομένα.

Πληθ. τετυψόμενοι. τετυψόμεναι. τετυψόμενα.

τέλος τοῦ μεγάλου ῥήματος καὶ τῶν μετοχῶν.

ΚΛΙΣΙΣ ΤΩΝ ΕΙΣ ΜΙ ΡΗΜΑΤΩΝ.

Ῥῆμα ὁριστικὸν ἐνεργητικὸν, ἁπλοῦν παράγωγον συζυγίας πρώτης τῶν εἰς μι ῥημάτων τῶν τριῶν προσώπων τε καὶ ἀριθμῶν χρόνου ἐνεστῶτος.

Ἑνικά. τίθημι: τινὲς ἐνόμισαν τὰ εἰς μι πάντα τῆς Αἰολίδος εἶναι διαλέκτου· πολλὴ γάρ ἐστι παρ᾽ αὐτοῖς ἡ εἰς μι κατάληξις· γέλαιμι γὰρ καὶ ἀσυνέτημί φασιν. ἀλλ᾽ ἐλέγχονται ἐκ πολλῶν, μάλιστα ἐξ αὐτῆς τῆς κλίσεως. ἐκεῖνοι γὰρ ὁμοίως τοῖς εἰς ω καὶ τὰ εἰς μι κλίνουσι, γέλαιμι γέλαις γέλαι λέγοντες· ἡμεῖς δὲ οὐχ οὕτως, ἀλλὰ τὸ τρίτον εἰς σι. πᾶν τοίνυν εἰς μι λῆγον φύσει μακρᾷ παραλήγεται, πλὴν τῆς ει διφθόγγου· ὅθεν ἡμάρτηται τὸ εἰμί. πᾶν εἰς μι λῆγον βαρύνεται πλὴν τοῦ εἰμί, φημί. τῶν εἰς μι ἡ πρώτη μὲν καὶ δευτέρα συζυγία τῷ η παραλήγεται, ἡ τρίτη δὲ τῷ ω καὶ ἡ τετάρτη διχρόνῳ ἐκτεταμένῳ. τίθης: τὰ εἰς μι τροπῇ τῆς μι εἰς σ τὸ δεύτερον ποιεῖ, ἵστημι ἵστης δίδωμι δίδως, ζεύγνυμί ζεύγνυς. τίθησι: πᾶν δεύτερον τῶν εἰς μι προςθέσει τοῦ ι τὸ τρίτον ποιεῖ, δίδως δίδωσι, ζεύγνυς ζεύγνυσι.

Δυϊκά. τίθετον. τίθετον: πρῶτον οὐκ ἔστι πρόσωπον διὰ τὸ ἐν τοῖς πληθυντικοῖς εἶναι τὸ μ. τὸ δὲ τρίτον συνέπεσε τῷ δευτέρῳ, ὅτι τὸ τρίτον τῶν πληθυντικῶν εἰς σι.

Πληθ. τίθεμεν: εἴπομεν ὡς ἐνεστώτων καὶ μελλόντων ἡ γενικὴ τῆς μετοχῆς ἀποβάλλουσα τὴν ἐσχάτην καὶ πρὸ τοῦ ν δεξαμένη τὸ με πληθυντικὸν ποιεῖ, τιθείς τιθέντος τίθεμεν, ἱστάς ἱστάντος ἵσταμεν, διδούς διδόντος δίδομεν, ζευγνύς ζευγνύντος ζεύγνυμεν. τίθετε: ἀπὸ τοῦ πρώτου γέγονε τροπῇ τῆς μεν εἰς τε. ἡ δὲ παραλήγουσα πεφύλακται, ἐπεί περ εἰς σ ἡ μετοχή. τιθεῖσιν: εἴπομεν ὡς ἐνεστώτων καὶ μελλόν-

των τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν ὁμοφωνεῖ ταῖς δοτικαῖς πληθυντικαῖς τῶν ἰδίων μετοχῶν. τὸ δὲ φασί μόνον ἐν τόνῳ διήλλαξε· τὸ μὲν γὰρ ῥῆμα φασίν ὀξύνεται, ἡ δὲ μετοχὴ φᾶσι βαρύνεται. ταῦτα δὲ τὰ τρίτα Ἴωνες προσόδῳ τοῦ ᾱ καὶ συστολῇ τῆς παραληγούσης προφέρονται, τιθέασι, διδόασι, ζευγνύασι· ἐπὶ γὰρ τῆς δευτέρας οὐκέτι τοῦτο ποιοῦσι διὰ τὴν κακοφωνίαν τοῦ ἱστάασι. καὶ ἀπὸ οὖν τοῦ ἵημι ἵησιν ἱεῖσιν Ἰωνικῶς ἱέασι, καὶ κατὰ κρᾶσιν Ἀττικὴν ἱᾶσι, καὶ ἐν συνθέσει ἀφιᾶσιν. [ἰᾶσι πέμπουσιν, ἴασι πορεύονται.]

Παρατατικοῦ.

Ἑνικά. ἐτίθην: τὰ εἰς μι τροπῇ τῆς μι εἰς ν καὶ κλιτικῇ ἐκτάσει τῆς ἀρχούσης τὸν παρατατικὸν ποιεῖ, τίθημι ἐτίθην, δίδωμι ἐδίδων. ἐτίθης: εἴπομεν ὡς τὰ εἰς ν μακροκατάληκτα μετὰ φυσικῆς μακρᾶς, μὴ ἔχοντα τὸ μ κλιτικόν, τροπῇ τοῦ ν εἰς σ τὸ δεύτερον ποιεῖ, ἔστην ἔστης, ἐδίδων ἐδίδως. ἐτίθη.

Δυϊκά. ἐτίθετον. ἐτιθέτην.

Πληθ. ἐτίθεμεν. ἐτίθετε. ἐτίθεσαν: εἴπομεν ὡς τὰ εἰς ν, μὴ ἔχοντα τὸ μ κλιτικόν, πρὸ τοῦ ν δεχόμενα τὸ με πληθυντικὸν ποιεῖ· ἀλλ' ἐπὶ τοῦ παρατατικοῦ τῶν εἰς μι καὶ ἡ παραλήγουσα συστέλλεται διὰ τὴν πρὸς τὸν ἐνεστῶτα συμπάθειαν. τὸ δὲ τρίτον εἰς σαν, ἐπεὶ τὰ εἰς μεν πληθυντικὰ ἀπὸ τῶν εἰς ν φύσει μακροκαταλήκτων κεκλιμένα εἰς αν ποιεῖ τὸ τρίτον, ἐφθάρην ἐφθάρημεν ἐφθάρησαν.

Παρακειμένου.

Ἑνικά. τέθεικα: εἰ θέματα τῶν παρακειμένων οἱ μέλλοντες, μέλλων δὲ τοῦ τίθημι θήσω, δικαίως ὁ παρακείμενος τέθηκα, διὰ μὲν τὸ σ ἔχων τὸ κ, ἀναδιπλασιάζων δὲ τὴν ἀρχὴν διὰ τὸ ἀπὸ ἁπλοῦ συμφώνου ἄρξασθαι. τὸ μέντοι τέθεικα Βοιώτιόν ἐστι, τρο-

πὴν ποιησάμενον τοῦ η εἰς τὴν ει δίφθογγον, ὡς ἥρωες εἵρωες. τέθεικας. τέθεικε.

Δυϊκά. τεθείκατον. τεθείκατον.

Πληθ. τεθείκαμεν. τεθείκατε. τεθείκασι.

μέσος παρακείμενος οὐκ ἔστιν ἐν τοῖς εἰς μι δι' αἰτίαν τοιαύτην. ὅτε ὁ δεύτερος ἀόριστος ἐνδεῖ τοῦ πρώτου συλλαβῇ, τότε καὶ ὁ μέσος παρακείμενος ἐνδεῖ τοῦ ἐνεργητικοῦ, οἷον ἐλήκησα ἔλακον λελήκηκα λέληκα. ἐν τοῖς εἰς μι τοίνυν καθόλου ὁ δεύτερος ἀόριστος ἐνδεῖ τοῦ πρώτου, ἔστησα ἔστην. καὶ ὁ μέσος τοίνυν παρακείμενος ὀφείλων ἐνδεῖν τοῦ ἐνεργητικοῦ εἰς δισυλλαβίαν περιίστατο. ὅ περ ἀδύνατον· πᾶς γὰρ παρακείμενος ὑπερβαίνειν θέλει τὴν δισυλλαβίαν, ἡμαρτημένου τοῦ οἶδα.

Ὑπερσυντελικοῦ.

Ἑνικά. ἐτεθείκειν. ἐτεθείκεις. ἐτεθείκει.

Δυϊκά. ἐτεθείκειτον. ἐτεθεικείτην.

Πληθ. ἐτεθείκειμεν. ἐτεθείκειτε. ἐτεθείκεισαν.

Ἀορίστου πρώτου.

Ἑνικά. ἔθηκα. ἔθηκας. ἔθηκεν: εἰ θήσω ὁ μέλλων, ὁ ἀόριστος ὤφειλεν εἶναι ἔθησα· ὁμοίως καὶ ἀπὸ τοῦ δώσω ἔδωσα ἥσω τε ἧσα. ἀλλά φαμεν σεσημειῶσθαι τοὺς τρεῖς τούτους ἀορίστους ἐν τοῖς εἰς μι, ὥς περ ἐν τοῖς εἰς ω τὸν εἶπα καὶ τὸν ἤνεγκα.

Δυϊκά. ἐθήκατον. ἐθηκάτην.

Πληθ. ἐθήκαμεν. ἐθήκατε. ἔθηκαν.

Ἀορίστου δευτέρου.

Ἑνικά. ἔθην. ἔθης. ἔθη: πᾶς μέλλων τῶν εἰς μι τὴν τελευταίαν συλλαβὴν τρέπων εἰς ν καὶ τὴν ἄρχουσαν ἐκτείνων κλιτικῶς τὸν δεύτερον ἀόριστον ποιεῖ, δώσω ἔδων, θήσω ἔθην, ἥσω ἧν.

Δυϊκά. ἔθετον. ἐθέτην.

Πληθ. ἔθεμεν. ἔθετε. ἔθεσαν.

σεσημείωνται κατὰ πολλοὺς τρόπους οἱ τρεῖς οὗτοι δεύτεροι ἀόριστοι, λέγω δὴ τὸ ἔθην, ἔδων ἧν, πρῶτον ὅτι συστέλλουσι τὴν ἐσχάτην ἐν τοῖς πληθυντικοῖς τῶν ἄλλων φυλασσόντων αὐτήν, ἔθεμεν ἔδομεν ἕμεν, ἔφημεν δὲ καὶ ἔγωμεν οἱ ἄλλοι· εἶτα ὅτι ἐν τοῖς ἀπαρεμφάτοις διφθόγγῳ παραλήγονται, θεῖναι δοῦναι εἶναι, τῶν εἰς ναι ἀπαρεμφάτων μὴ θελόντων διφθόγγῳ παραλήγεσθαι· τρίτον ὅτι μὴ εἰς θι ποιοῦσι τὸ προςτακτικόν, ἔχοντα εἰς σ ὀξυτόνους τὰς μετοχάς, ἀλλὰ θὲς δὸς ἕς.

Μέλλοντος πρώτου.

Ἑνικά. θήσω. θήσεις. θήσει: τὰ εἰς μι λήγοντα τρέποντα τὴν μι εἰς σω μέλλοντα ποιεῖ, τὸν ἐν ἀρχῇ διπλασιασμὸν ἀποβάλλοντα, δίδωμι δώσω, ἵστημι στήσω, φημί φήσω.

Δυϊκά. θήσετον. θήσετον.

Πληθ. θήσομεν. θήσετε. θήσουσι.

δεύτερος μέλλων οὐκ ἔστιν ἐν τοῖς εἰς μι. ὅτε γὰρ ὁ δεύτερος ἀόριστος ἐνδεῖ τοῦ πρώτου συλλαβῇ, τότε καὶ ὁ δεύτερος μέλλων ἐνδεῖ τοῦ δευτέρου ἀορίστου, ἐμύκησα ἔμυκον μυκήσω μυκῶ. εἰς μονοσυλλαβίαν οὖν περιίσταντο, ὅ περ ἀδύνατον ἐπὶ μελλόντων· διὸ σεσιώπηνται.]

ΠΕΡΙ ΠΑΘΗΤΙΚΩΝ.

Ὁριστικὰ παθητικὰ χρόνου ἐνεστῶτος.

Ἑνικά. τίθεμαι: τὰ εἰς μι τρέποντα τὴν μι εἰς μαι καὶ τὴν παραλήγουσαν τῶν πληθυντικῶν ἐνεργητικῶν φυλάσσοντα παθητικὰ γίνεται, τίθημι τίθεμαι, δίδωμι δίδομαι, ἵστημι ἵσταμαι, ζεύγνυμι ζεύγνυμαι. τίθεσαι: εἴπομεν ὡς ὅσα τῶν παθητικῶν εἶχε τὴν ἐνεργητικὴν μετοχὴν εἰς σ ὀξύτονον, ταῦτα τροπῇ τοῦ κατὰ τὸ τρίτον τ εἰς σ ποιεῖ τὸ δεύτερον, πεποίηται

πεποίησαι ὅτι πεποιηκώς, τίθεται τίθεσαι ὅτι τιθείς. τίθεται: τὰ εἰς μαι τροπῇ τῆς μαι εἰς ται τὸ τρίτον ποιεῖ, φυλάσσει δὲ τὴν παραλήγουσαν ὅτε τὴν ἐνεργητικὴν μετοχὴν ἔχει εἰς σ ὀξύτονον.

Δυϊκά. τιθέμεθον. τίθεσθον. τίθεσθον.

Πληθ. τιθέμεθα. τίθεσθε. τίθενται.

Παρατατικοῦ.

Ἑνικά. ἐτιθέμην. ἐτίθεσο. ἐτίθετο: πᾶς ἐνεστὼς παθητικὸς τρέπων τὴν μαι εἰς μην καὶ τὴν ἄρχουσαν ἐκτείνων κλιτικῶς παρατατικὸν ποιεῖ, δίδομαι ἐδιδόμην, ἵσταμαι ἱστάμην.

Δυϊκά. ἐτιθέμεθον. ἐτίθεσθον. ἐτιθέσθην.

Πληθ. ἐτιθέμεθα. ἐτίθεσθε. ἐτίθεντο.

Παρακειμένου.

Ἑνικά. τέθειμαι. τέθεισαι. τέθειται: ὁ ἐνεργητικὸς παρακείμενος τρέπων τὴν κα εἰς μαι καὶ τὴν παραλήγουσαν συστέλλων παθητικὸς γίνεται, δέδωκα δέδομαι, ἕστηκα ἕσταμαι, τέθεικα τέθεμαι· τὸ δὲ τέθειμαι ἐν πλεονασμῷ τοῦ ι.

Ἑνικά. τεθείμεθον. τέθεισθον. τέθεισθον.

Πληθ. τεθείμεθα. τέθεισθε. τέθεινται.

Ὑπερσυντελίκου.

Ἑνικά. ἐτεθείμην. ἐτέθεισο. ἐτέθειτο: πᾶς παρακείμενος παθητικὸς τρέπων τὴν μαι εἰς μην καὶ τὴν ἄρχουσαν κλιτικῶς ἐκτείνων ὑπερσυντέλικος γίνεται, δέδομαι ἐδεδόμην, ἕσταμαι ἑστάμην.

Δυϊκά. ἐτεθείμεθον. ἐτέθεισθον. ἐτεθείσθην.

Πληθ. ἐτεθείμεθα. ἐτέθεισθε. ἐτέθειντο.

Ἀορίστου πρώτου.

670, 9. μὲν τῶν ὢν V, μέν τοι ὢν H. 11. F. ἐπιστάσεις.

671, 18. Cf. Villois. Anecd. 2. p. 174. 26. τὸν τόπον, ὅπου βούλονται τὸ βέλος πέμπειν, εἶθ' οὕτως τοξευόντων. Theodos.

672, 2. F. δή. H αἴτια δὲ ταῦτα. 9. τῆς] H τοῦ. 14. τῷ ἄρθρῳ H. 28. πηρε Ven. app. 11, 4. Barocc. 116. 32. γὰρ οὕτως τὸ Barocc. 34. διονύσιος ὁ θρὰξ ὡς Barocc.

673, 21. τὸ πρότερον κριτικὴ ἐλέγετο (ἡ γραμματική), καὶ οἱ ταύτην μετιόντες κριτικοί. Ἀντόδωρος δέ τις Κυμαῖος συγγραψάμενος λέξιν ἐπέγραψεν Ἀντ. δώρου γραμματικοῦ λέξις, καὶ ἐκ τούτου ποτὲ ἡ κριτικὴ γραμματικὴ λέλεκται. Cod. Voss. 76.

674. Edidi ex Hamburg. (p. 4—6).

675, 29. Ge. Choerobosco haec dat Cod. Vat. 1751 f. 17, Porphyrio, qui incipiunt ab illis (p. 676, 3) Ἰστέον ὅτι ὡς, Vatican. 260 f. 127, Palat. 70 f. 224 *), Venet. append. class. 11, 4 **), Barocc. 116, hic quidem rec. m. Conf. Holsten. de

---

*) Cod. chart., f. max., fol. 272, recens: Πρόκλου διαδόχου Πλατωνικοῦ ὑποτύπωσις τῶν ἀστρονομικῶν ὑποθέσεων, f. 51 Γεμίνου εἰς τὰ φαινόμενα. f. 72 ἐξήγησις τῆς Ἰλιάδος καὶ Ὀδυσσείας Ὁμήρου (Init. πρὸ τοῦ ἄρξασθαι τῆς ἐξηγήσεως εἰδέναι δεῖ ὅτι ὁ ποιητὴς ἐλλειπτικὸς τῶν ἄρθρων ἐστὶ δι' ὅλης τῆς ποιήσεως. 77. μέχρι τοῦδε τοῦ τάφου τοῦ Ἕκτορος ὁ Ὅμηρος τῶν κδ γραμμάτων τὸ σπούδασμα συναπήρτισε. τὰ δὲ ἑξῆς ἐκ παλαιῶν διαφόρων πόνῳ πολλῷ συλλέξας Ἰσάκιος ὁ Πορφυρογέννητος διέθηκεν εἰς εἴδησιν τῶν καταλειφθέντων (leg. παραλ.) παρὰ τοῦ Ὁμήρου καὶ γεγονότων περὶ τῆς Τροίας). f. 92 παρεκβολαὶ ἐκ τῆς βίβλου τοῦ χρονικοῦ περὶ τῶν πατρίων τῆς Κωνσταντίνου πόλεως, καὶ πόθεν ἐκλήθη Βυζάντιον, συντεθεῖσα παρὰ κυρίου Γεωργίου τοῦ Κωδινοῦ. f. 180 Ἀππιανοῦ ἐμφυλίων τὸ γ. f. 224 Πορφυρίου περὶ προσῳδίας. f. 230 Θεοδοσίου περὶ ὅρου. f. 233 γένος Διονυσίου κ. τ. ἑ. f. 241 περὶ τόνου περισπωμένου. f. 247 περὶ πνευμάτων. f. 249 Γεωργίου γραμματικοῦ τοῦ Χοιροβοσκοῦ (illis quae leguntur p. 703, 24 minus integra).

**) Cod. membr., f. max., fol. 204: Κλήμεντος στρωματέως παιδαγωγὸς λόγοι γ. f. 106 Πορφυρίου περὶ προσῳδίας. f. 115

vita et scriptis Porphyrii c. 6. p. 46. et Villoison. Anecd. 2. p. 103. Ego Parisienses secutus sum 2542 et 2603.

676, 7. τὸν ἀλεξανδρέα αἰνίττεται Θεοδόσιον marg. 2542. ἄλλος δέ τις μεταγενέστερος, Θεοδόσιος τοὔνομα, τὸν Ἀλεξανδρέα φημί, τούς τε ὀνοματικοὺς κανόνας καὶ τοὺς ῥηματικοὺς ἐτεχνάσατο, ὃν δὴ καὶ τῶν (περὶ addit h) προσῳδιῶν τινὲς παριστῶσι συγγραφέα, διὰ τὸ ἀσαφῶς περὶ τόνων διδάσκειν τὸν Διονύσιον. ἄλλοι δὲ καὶ τοῦτο τοῦ Θεολογικωτάτου Γρηγορίου λέγουσιν εἶναι τὸ πόνημα, ὃς ἐὰν τούτῳ θέλων ἄρχεσθαι τοὺς εἰσηγουμένους εἰς τὴν γραφὴν ἀπ' αὐτοῦ θεοῦ τοὺς κατὰ στοιχεῖον ἰάμβους ἐπόδισε (ἐπόνησε h), τὴν καθ' ἕκαστον οἰκείαν ἔννοιαν ἀπαρτίζοντα. εἶτα καὶ περὶ προσῳδιῶν διέλαβεν, ἀπαριθμήσας ταύτας καὶ ἀριθμήσας καὶ κατὰ τὴν τῶν εἰσαγομένων δύναμιν συγγραψάμενος. ἀλλ' ἡμεῖς ὅσον ἐξ Ἡρωδιανοῦ τοῦ πολυμαθοῦς ἐκλεξάμενοι, εἰ καὶ δοκεῖ τῶν ἐρωτημάτων προτίθεσθαι, διατρανώσομεν καὶ σαφηνίσωμεν, καὶ οὕτως ἀπὸ τῶν προσῳδιῶν ἀρχὴν ποιησάμενοι καὶ περὶ τῶν ἄλλων ἐροῦμεν. ὁ δὲ Ἡρωδιανὸς οὗτος υἱὸς μὲν γέγονεν Ἀπολλωνίου τοὐπίκλην δυσκόλου, τοῦ καὶ εἰς τὰ ὀκτὼ μέρη συγγραψαμένου καὶ εἰς τὴν σύνταξιν ———*) οὕτω τὴν προσῳδίαν ὁρίζεται. προσῳδία ἐστὶ — h et 2542. 20. ἡ mg. Vat. 260.

21. λόγον. ἔστιν οὖν τὸ μὲν ποιὰ τάσις (24), om mediis, Vat. 260 et Barocc. 116. 31. τουτέστιν ἡ ὀξύτονος ἢ βαρύτονος ἢ περισπωμένη 2603.

678, 4. Πέτρος] ξένος 2542, qui mox deleto γάρ et illis οὐκ — γραμματικῶν haec habet in margine: σαφηνιστέον δὲ τὸ λεγόμενον. λέγομεν τοίνυν ὅτι τόνος χωρὶς πνεύματος ἐκφέρεται καὶ πνεῦμα αὐτὸ καθ' ἑαυτὸ χωρὶς τόνου, ἄνευ δὲ χρόνου οὔτε τόνος οὔτε πνεῦμά ἐστιν, ὥσπερ οὐδὲ χρόνος χωρὶς τόνου. οὐκ ἔστι δὲ (γὰρ h) συλλαβὴ μὴ ἐπιδεχομένη τόνον κατὰ τοὺς παλαιοὺς τῶν γραμματικῶν. Eadem habet h.

Γεωργίου γραμματικοῦ τοῦ Χοιροβοσκοῦ (ut supra). f. 153 περὶ βαρβαρισμοῦ καὶ περὶ σολοικισμοῦ. ἑτέρως περὶ βαρβαρισμοῦ (Valcken. Ammon. p. 191—204). f. 156 γένος Διονυσίου. f. 157 προλεγόμενα τῆς τέχνης τοῦ Διονυσίου. f. 164 τοῦ αὐτοῦ περὶ τόνου περισπωμένου. f. 167 περὶ ὀρθογραφίας. f. 174 Θεοδοσίου περὶ ὅρου. f. 177 περὶ διαλέκτων ἐκ τῶν Ἰωάννου τοῦ γραμματικοῦ τεχνικῶν. f. 187 Ἀμμωνίου περὶ ὁμοίων καὶ διαφόρων λέξεων (p. 1—101, 5. Valck.).

*) Omitto quae in vita Apollonii Dyscoli poni solent.

681, 22. *Οὐ δύναται — 683, 9. σημαινόμενα*] *ὡς ἐν τοῖς περὶ τῶν πέντε φωνῶν εἰρημένοις μεμαθήκαμεν καὶ ἐν τῇ διαιρέσει τῶν στάσεων. τούτων οὖν οὕτως ἐχόντων* — h cum 2603.

690, 29. *διαλάβωμεν διεξοδικώτερον*] Ea si unquam effectum habuerunt, nobis dudum perierunt. Quorum loco apposui, quae de inclinandis accentibus ab Aldo primum edita (Hort. Adon. f. 223. b. Dictionar. f. 93. a.) iam codicum (Paris. Reg. 1773. 2258. 2542. 2594. Coislin. 176.) ope emendatius legentur.

Ἡρωδιανοῦ
περὶ ἐγκλινομένων καὶ ἐγκλιτικῶν καὶ
συνεγκλιτικῶν μορίων.

Ἐγκλινόμενόν ἐστι μόριον λέξις κατὰ τὸ τέλος ὀξυνομένη, τρέπουσα δὲ εἰς βαρεῖαν κατὰ τὴν τοῦ λόγου σύνταξιν, καθάπερ ἔχει

εἰ μὴ μητρυιὴ περικαλλὴς Ἠερίβοια·

ἐγκλιτικὸν δέ ἐστι μόριον, ὃ τὴν ἰδίαν ὀξεῖαν κοιμίζον τὴν προκειμένην βαρεῖαν εἰς ὀξεῖαν μεθίστησιν, ᾧ ἢ δυνάμει ἢ φύσει ἑτέρα βαρεῖα ὑπέρκειται, δυνάμει μὲν ὡς τὸ

δώματά μοι,

φύσει δὲ καθάπερ

Ἀρκεσίλαός τε·

συνεγκλιτικὸν δέ ἐστι σύνταξις δυοῖν ἢ πλειόνων μορίων ἐγκλιτικῶν ἐπαλλήλων ὀξυνομένων, ὡς ἔχει τὰ τοιαῦτα

ἤ νύ σέ που δέος ἴσχει.

ὁ μὲν γὰρ ἤ ὀξύνεται διὰ τὸ νύ ἐγκλιτικόν, τὸ δὲ νύ διὰ τὴν ἀντωνυμίαν τὴν σέ, ἡ δὲ σέ ἀντωνυμία διὰ τὸν ποῦ παραπληρωματικὸν σύνδεσμον. εἴρηται δὲ συνεγκλιτικὸν διὰ τὸ σὺν ἐγκλιτικῷ παραλαμβανόμενον διεγείρειν τὴν ὑπερκειμένην ἐν τῷ τέλει τῆς λέξεως ὀξεῖαν.

Διαφέρει δὲ ἐγκλινόμενον ἐγκλιτικοῦ, ἢ τὸ μὲν ἐγκλινόμενον κοινὸν ὄνομα πάσης λέξεώς ἐστι κατὰ τὸ τέλος ὀξυνομένης τρεπούσης τε εἰς βαρεῖαν, τὸ δὲ ἐν ἰδίοις θέμασι καταλειπόμενον ἀριθμῷ ἰδίῳ· καὶ ὅτι τὸ μὲν αὐτὴν μόνην (Fort. *αὐτὸ μόνον*) *τὴν ἐπὶ τέλους ὀξεῖαν ἀμείβει εἰς βαρεῖαν, τὸ δὲ καὶ μετατίθησιν εἰς τὴν ὑπερκειμένην συλλαβήν,* [*εἰ*] *καὶ τὰ τοῦ λόγου ἐπιδέχοιτο.*

Πᾶν τοίνυν ἐγκλιτικὸν μόριον ἢ μονοσύλλαβόν ἐστιν ἢ δισύλλαβον. καὶ πᾶν ἐγκλιτικὸν ὑπὲρ μίαν συλλαβὴν τρίχρονόν ἐστιν. Ἀνα-

πέμπει δὲ τὴν ὀξεῖαν ἐπὶ τὴν ὑπερκειμένην βαρεῖαν ἐν τῇ συντάξει καθόλου ἐπὶ μόνων τῶν προπαροξυτόνων καὶ προπερισπωμένων, οἷον

Ἀρκεσίλαός τε,
Σχοῖνόν τε Σκῶλόν τε·

οὐδέποτε δὲ ἐπὶ τῶν περισπωμένων, διὰ τὸ τὴν περισπωμένην μηδὲν πάσχειν ἐν τῇ συντάξει. Ἐπὶ δὲ τῶν παροξυτόνων μόνων τῶν τροχαίων,

Λάμπέ τε,
φύλλά τε καὶ φλοιόν.

οὐδέποτε δὲ τοῦτο ἐν σπονδείῳ παρακολουθεῖ, ὡς δὴ ἐπὶ τοῦ

Ἀτρείδης τε ἄναξ ἀνδρῶν,
Φοίβῳ θ᾽ ἱερὴν ἑκατόμβην.

ἀλλ᾽ οὐδε ἐν ἰάμβῳ,

πύρος γε μὲν οὔτι θαμίζεις.

ἀλλ᾽ οὐδὲ ἐν τῷ πυῤῥιχίῳ,

ὅτι οἱ συμφράσσατο βουλάς.

ἐὰν δέ ποτε τροχαῖος γένηται διπλασιασθέντος τοῦ τ, ἔσονται ἐπάλληλοι ὀξεῖαι, οἷον

ὅττί μιν ὥς ὑπέδεκτο.

πλὴν εἰ μὴ τὸ ἐπιφερόμενον μόριον δισύλλαβον εἴη ἀπὸ τοῦ σφ ἀρχόμενον· ἀκολουθήσει γὰρ καὶ τοῖς παροξυνομένοις οὐκ ἐν μόνῳ τροχαίῳ, ἀλλὰ καὶ ἐν ἄλλοις ποσίν, οἷον

ἵνά σφιν δῶκ᾽ Ἐνοσίχθων,
ἔνθά σφεας ἐκίχανεν υἱὸς Δολίοιο Μελανθεύς,
τόξά σφεών τις ἄριστα Κυδωνίω.

Τάξει δὲ χρῆται τῇ ὑποτακτικῇ, τοῦ τοιούτου εὐλόγως πάνυ γινομένου· εἰ γὰρ διὰ τὸ ἀναπέμπειν τὴν ὀξεῖαν εἰς τὰ ὑπερκείμενα ἐγκλιτικὰ καλεῖται, σαφὲς ὅτι ἀποδέξεται τὸ ὑποτάσσεσθαι, ἵνα καὶ τὸ ἰδίωμα ἐνδείξηται.

Ἐκ μὲν ὀνομάτων ἐγείρει τὴν ὀξεῖαν τὸ τίς καὶ αἱ τούτου πτώσεις καὶ τὰ ἰσοδυναμοῦντα τούτῳ, ὅτε ἀοριστωδῶς ἐκφέρεται, οἷον ἦλθέ τις, ἐλάλησέ τις, ἐν οἷς καὶ πάντοτε ὑποτακτικόν ἐστι. τὸ μὲν οὖν τίς ἐγείρει ἐν τῷ

εἰ μέν τις τὸν ὄνειρον·

τινός, μή τινος· τινί,

οὔ τινι κοιμηθεῖσα·

τινά,

καί τινα Τρωϊάδων·

τινές, οἵ τινες ἀναίρεσιν· τινάς,

οὕς τινας μεθιέντας ἴδοι.

ἰσοδυναμεῖ δὲ τῷ μὲν τινός τὸ τεῦ,

ἀλλ' οὔ τευ οἶδα,

τῷ δὲ τινί τὸ τῷ, οἷον

οὔτε σοὶ οὔ τέ τῳ ἄλλῳ.

Ἐκ δὲ ῥημάτων τὸ εἰμί καὶ φημί μόνα ἐγκλιτικά εἰσιν, οἷον

ὅσον σέο φέρτερός εἰμι.

καὶ ἀπὸ τούτου ἐγκλιτικά εἰσιν εἷς, οἷον

αἵματός εἰς ἀγαθοῖο,

ἐσσί,

ἐπειὴ πολὺ φέρτερός ἐσσι,

ἐστόν,

οἵ μοι σκυζομένῳ περ Ἀχαιῶν φέρτεροί ἐστον,

ἐσμέν,

αὐτοὶ γάρ ἐσμεν,

εἰσίν,

οἵ με φέρτεροί εἰσι νοῆσαί τε κρῖναί τε.

καὶ τὸ φημί,

πεζὸς δ' ἔνδεκά φημι κατὰ Τροίην ἐρίβωλον.

Ἐκ δὲ μετοχῶν οὐχ οἷόν τέ ἐστιν ἐγκλιτικὸν μόριον· ἀεὶ γὰρ ταῦτα ἐκ θέματος ἀνάγεται, [εἴγε] μεταλήψεις ῥημάτων εἰσίν. Ἀλλ' οὐδὲ ἐξ ἄρθρου. τῇ γὰρ συντάξει ἡ παράθεσις τῶν ἄρθρων μάχεται· ἅπαντα γὰρ ταῦτα προτακτικά ἐστιν, ἀρκτικώτερα ὄντα τῶν καλουμένων προτακτικῶν, ἢ κατάρχει ὅλου λόγου,

ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν

καὶ

ὃς μάλα πολλὰ

πλάγχθη.

διὰ τοῦτο καὶ ἰδίῳ ῥήματι κατακλείεται, πρὸ αὐτοῦ τε πίπτουσιν αἱ στιγμαί. καὶ ἐξ ἁπάντων τῶν ὄντων [οὐ] πολλά ἐστι μόρια εὑρεῖν, ἃ εἰς τὴν προκειμένην σύνταξιν ὑπάγεται.

Ἐκ δὲ ἀντωνυμιῶν αἱ μὲν ἐγείρουσαι τὴν ὀξεῖαν τὴν πρὸ αὐτῶν ἐγκλιματικαὶ καλοῦνται, αἱ δὲ μὴ ἐγείρουσαι ὀρθοτονούμεναι. αἱ μὲν οὖν ἀεὶ ἐγείρουσαι τὴν πρὸ αὐτῶν ὀξεῖάν εἰσιν αἵδε, μεῦ

μοι, μοὶ τοί, μέ μίν, σφίν σφέ, σφωέ. τούτων παραδείγματα, τῆς μὲν μεῦ

κλῦθί μευ ἀργυρότοξε·

μοί,

οὐ γάρ μοι βωμός·

τοί,

καί τοι ἐγὼ συνέριθος·

μέ,

καί με φίλησεν, ὥς εἴτε πατήρ·

μίν,

καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·

σφίν,

καί σφιν ἅμα ἐστὶ Μέδων·

σφέ,

γίνωσκε γάρ σφε πάρος·

σφωέ,

τίς ταρ σφωε θεῶν.

αἱ δὲ ποτὲ μὲν ἐγείρουσαι τὴν πρὸ αὐτῶν ποτὲ δὲ μή, σεῦ σέο σοῦ σοί σέ, εὗ οἷ ἕθεν, σφί σφώ σφίσι σφέας. ὅτε μὲν οὖν ἀπολελυμένως λέγονται καὶ οὐχὶ πρὸς ἕτερον πρόσωπον ἀντιδιαστέλλονται, ἐγείρουσι τὴν πρὸ αὐτῶν ὀξεῖαν· ὅτε δὲ κατὰ τὴν πρός τι ἕτερον διαστολὴν ἐκφέρονται, ὀρθοτονοῦνται. οἷον ἀπολελυμένως, σεῦ,

ἀλλά σευ ἀκάματος,

ὀρθοτονουμένως δέ,

σεῦ δ' ἐπεὶ ἐξέλετο ψυχήν·

σέο, ἀπολελυμένως,

ὥς σεο νῦν ἔραμαι,

καί σε πρῶτον ἔθηκα·

ὀρθοτονουμένως δέ,

μήτε σέο ἐν ἀμφιάλῳ Ἰθάκῃ.

[ἡ] σφώ ὅτε μὲν ἐπὶ τοῦ τρίτου προσώπου λέγεται, ἐγείρει τὴν πρὸ αὐτοῦ (αὐτῆς?) ὀξεῖαν. αἱ δὲ τοῦ τρίτου προσώπου ἑνικαί τε καὶ πληθυντικαί, ὅτε μὲν τὸ ἐξ αὐτῶν μεταφραζόμενόν ἐστιν, ὃ καὶ ἐπίταγμα λέγεται, ἐγείρουσι τὴν πρὸ αὐτῶν ὀξεῖαν. ἡ μὲν ἕο

ἐπεί ἑο κήδετο λίην·

ἔστι γάρ, ἐπεὶ αὐτοῦ (τοῦ Ὀδυσσέως) ἐκήδετο λίαν ὁ Εὔμηλος. ὅτε

δὲ μεταφραζομένη μετὰ τοῦ ἓ λέγεται ἡ χώρα, τοῦ ἓ ἐκφερομένου δασυνομένου, οὐκ ἐγείρουσιν, οἷον

Δηΐφοβος δὲ
ἀσπίδα ταυρείην σχέθ' ἀπὸ ἕο·

ἔστι γὰρ ἀφ' ἑαυτοῦ. εἰσὶ δὲ ἕο εὗ ἕθεν οἷ ἓ σφέων σφίσι σφέας. αὗται δὲ καὶ σὺν τοῖς ἐπιτάγμασι λέγονται, ὅτε δὴ καὶ ὀρθοτονοῦνται πάντως, οἷον

πὰρ δὲ οἷ αὐτῷ.

ἐὰν δὲ ἐκ περισσοῦ τὸ ἐπίταγμα λαμβάνηται, ἐγκλίνονται,

ἀλλά οἱ αὐτῷ
Ζεὺς ὀλέσειε βίην·

ἔστι γὰρ ἀλλ' αὐτῷ ψιλῶς. ὑποδείγματα τῶν ἐγκλινομένων, ἕο,

ἐπεί ἑο κήδετο λίαν,

εὗ,

ἐπεί εὗ φημι βίῃ πολὺ φέρτερος,

ἕθεν,

ἐπεὶ οὔ ἑθέν ἐστι χερείων,

οἷ,

καί οἱ εὐχομένοι,

ἕ,

καί ἑ κακὴ βούβρωστις,

σφέων,

τῷ καί σφεων πολέες κακὸν οἶτον ἐπέσπον,

σφίσιν,

ἀπό τέ σφισιν ὕπνος ὀλώλει,

σφέας,

καί σφεας φωνήσας·

τῶν δὲ ὀρθοτονουμένων, ἕο,

Δηΐφοβος δὲ
ἀσπίδα ταυρείην σχέθ' ἀπὸ ἕο,

εὗ,

φρίξας δ' εὗ λοφίην,

ἕθεν,

Αἰνείας δὲ καὶ ὑπὸ ἕθεν ἀσπίδ' ἀνέσχεν,

οἷ,

ἐπεὶ οὔ τινά φησιν ὁμοῖον οἷ ἔμμεναι Δαναῶν,

ἕ,

κάλεόν τέ μιν εἰς ἓ ἕκαστος,

σφῶν,

σφῶν τε αὐτῶν καὶ κλισίαων,

σφίσι,

καὶ τὰ μὲν εὖ δάσαντο μετὰ σφίσι,

σφέας,

ἐρχομένων δὲ κατὰ ἄστυ διὰ σφέας.

Ἐξ ἐπιῤῥημάτων δὲ ἐγερτικά ἐστι τὰ ἐκ πεύσεως ἀοριστούμενα, ἔχοντα τὴν αὐτὴν ἀκολουθίαν τῶν τόνων τήν τε ποσότητα τῶν συλλαβῶν. τὸ μὲν γὰρ ποῦ ἐγκλιτικόν ἐστιν, ὡς ἐν τῷ

εἴ που ἐσαθρησείων,

τῶν πευστικῶν ἑκάστοτε ὀρθοτονουμένων. ἐκ πεύσεως δὲ ἀοριστούμενα, ποτέ,

καί ποτέ τοι τρὶς τόσσα,

ποθί,

αἴ κέ ποθι Ζεύς,

πῄ,

ἀλλά πῃ ἄλλῃ,

ποθέν,

καί ποθεν ἐλθών,

πώς,

ἀλλ' οὔ πως ἅμα πάντα,

καὶ χωρὶς τοῦ σ,

μηδέ πω ὑπ' ὄχεσφιν.

Ἐκ δὲ συνδέσμων ἐγείρουσι τὴν πρὸ αὐτῶν οἵδε, ἐκ μὲν συμπλεκτικῶν τέ,

καί τε θεοὶ ξείνοισι,

κέν,

καί κεν ἐλαφρότερος,

κε,

καί κε τὸ βουλοίμην,

ἐκ δὲ παραπληρωματικῶν γέ,

εἴ γε μὴν ᾔδεις,

τάρ,

εἴ ταρ ὅγ' εὐχωλῆς,

νύ,

μή νύ τοι οὐ χραίσμῃ σκῆπτρον καὶ στέμμα θεοῖο,

νύν,

δεῦρό νυν ἢ τρίποδος,

πού,

αἴ που παγκαλόωσι,

πέρ,

μηδ᾽ οὕτως ἀγαθός περ ἐών,

θήν,

οὔ θην Ἕκτορι πάντα,

ῥά,

ἄλλοι μέν ῥα θεοί τε.

ὁ δὲ ἄρα οἱ παραλαμβάνεται, ἐπεὶ ἀπὸ φωνήεντος ἄρχεται. ὥςπερ γὰρ αἱ ἀντωνυμίαι τὸ κατ᾽ ἀρχὰς ε̄ ἀποβάλλουσαι ἐγκλιτικαὶ ἐγίνοντο, ἐμοῦ - μοῦ, ἐμοί - μοί, ἐμέ - μέ, οὕτως τὸ ἄρα ἀπέβαλε τὸ ᾱ καὶ ἐγένετο ῥά καὶ ἐνεκλίθη. Καὶ ταῦτα μὲν οὕτως.

Περὶ τοῦ ἔστιν. *)

Τὸ ἔστιν ἡνίκα ἄρχει λόγου, ἢ ὅτε ὑποτάττεται τῇ οὐ ἀποφάσει ἢ τῷ καί ἢ εἴ ἢ ἄλλῳ συνδέσμῳ ἢ τῷ ὡς ἐπιῤῥήματι ἢ τῷ τοῦτο, τηνικαῦτα τὴν ὀξεῖαν ἔχει ἐπὶ τοῦ ε̄, οἷον

ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο,
οὐκ ἔστ᾽ οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι;

ὡς ἔστι κακὸν ἀμαθία, εἰ ἔστιν οὕτως, ἀλλ᾽ ἔστιν εἰπεῖν, τοῦτ᾽ ἔστιν ἁμάρτημα. ἐὰν δὲ ὑποτάττηται ὀξυτόνῳ λέξει ἢ περισπωμένῃ, ἐγκλίνεται, οἷον καλός ἐστιν, Ἑρμῆς ἐστιν, ἢ τροχαίῳ μὴ παροξυτόνῳ ἀλλὰ προπερισπωμένῳ, οἷον οἶκός ἐστι, δῆμός ἐστι. δεῖ προςθεῖναι, εἰ μὴ ἔχοι τὴν τελευταίαν συλλαβὴν ὁ τροχαῖος θέσει μακράν, ὡς ἔχει τὸ φοῖνιξ ἐστί, κῆρυξ ἐστί· διὰ γὰρ τὴν τοῦ ξ̄ ἐπιφορὰν οὐ γίνεται ἔγκλισις. μὴ παροξυτόνῳ δὲ εἶπον διὰ τὸ φύλλα ἐστίν· παροξύτονος γὰρ οὗτος ὁ τροχαῖος, οὐχὶ προπερισπώμενος, καὶ διὰ τοῦτο τὸ ἔστιν οὐκ ἐγκλίνεται, ἀλλ᾽ ἐπὶ τοῦ ῑ ἔχει τὴν ὀξεῖαν. Γίνεται οὖν ἡ ἔγκλισις ὀξυτόνῳ μὲν λέξει, κακός ἐστι, προπαροξυτόνῳ δέ, ἄκακός ἐστι, περισπωμένῃ δέ, Θωμᾶς ἐστι, προπερισπωμένῃ δέ, φαῦλός ἐστιν. καὶ γὰρ ἐπαναγωγὴν τῶν αὐτῶν πεποιήμεθα διὰ σαφεστέραν γνῶσιν. ἐὰν δὲ μὴ οὕτως ἔχῃ ἤγουν ὡς προτέτακται, τὴν ὀξεῖαν ἐπὶ τοῦ ῑ δέχεται, καὶ ἐὰν προκέηται αὐτοῦ ἢ τροχαῖος παροξύτονος, οἷον μάντις, πόρνος, ἢ προ-

*) Conf. Arcad. p. 147.

μενα τοῖς προειρημένοις, περὶ ὧν ἐν εὐκαίρῳ διδάξομεν. νῦν μέντοι διαλάβωμεν περὶ τοῦ ὀνόματος.

Καθόλου ἐν τοῖς ὀνόμασιν οὐδὲν ἐγκλίνεται, εἰ μὴ τὸ τὶς ἐν ὅλαις ταῖς πτώσεσι καὶ τοῖς ἀριθμοῖς καὶ τοῖς γένεσι. καὶ ἐν ταῖς εὐθείαις ἀντωνυμίας μὴ ἐγκλινομένης, τὸ οὔτις πανταχοῦ ἐγκλίνεται, καὶ τὸ τοῦ καὶ τὸ τῷ τὰ ἰσοδυναμοῦντα τῷ τινός καὶ τινί ἐν μόνῃ γενικῇ καὶ δοτικῇ. ταῦτα δὲ καὶ τὸ τὶς πρὸς διάφορον σημαινόμενον, καὶ τὰ κινήματα ταῦτα. πυσματικὰ γὰρ ὄντα βαρύνονται ὀρθοτονούμενα, τίνος τίνι τίνα, τίνε τίνοιν, τίνες τίνων τίσι τίνας. καὶ τὸ τὶς τῷ λόγῳ τῆς ἀρχούσης ἔχει τὴν ὀξεῖαν, ὅθεν οὐ κοιμίζεται ἐν τῇ συνεχείᾳ, τίς ἦλθε; καὶ τὸ τοῦ περισπᾶται καὶ τὸ τῷ. ὅτε γὰρ πυσματικὰ ὄντα ὀρθοτονοῦνται, ἀόριστα δὲ ἀποφαντικὰ ἐγκλίνονται, ἄνθρωπός τις, ἤκουσά τινος, δέδωκά τινι, ὕβρισά τινας, ἤκουσά του λέγοντος, δέδωκά τῳ, ὕβρισέ τινα, Αἴαντέ τινε, ἄνθρωποί τινες, ἤκουσά τινων, δέδωκά τισιν, ὕβρισέ τινας. Καὶ ταῦτα μὲν περὶ τοῦ ὀνόματος· ἔλθωμεν δὲ εἰς τὸ ῥῆμα.

Ἐν τοῖς ῥήμασιν οὐδὲν ἐγκλίνεται εἰ μὴ δύο μόνα, τὸ εἰμί καὶ φημί, καὶ δῆλον ὅτι προηγουμένων τῶν προῤῥηθεισῶν λέξεων, ἐπεὶ τὸ ἀνθρώπου εἰμί οὐκ ἐγκλίνεται καὶ τὸ οὖν εἰμί. τοῦ δὲ εἰμί ἐγκλίνεται καὶ τὸ δεύτερον πρόσωπον εἰς,

αἵματός εἰς ἀγαθοῖο.

καὶ ταῦτα οὐ πρὸς διάφορον σημαινόμενον ἐγκλίνεται, ἀλλὰ πρὸς εὐπρεπῆ φάσιν οὕτως ἀρέσαι τοῖς παλαιοῖς. τὸ δὲ εἴ οὐκ ἐγκλίνεται, εἴτε ἀπὸ τοῦ εἰμί ἐςι διὰ τὸ πάθος εἴτε ἑτέρωθεν, ἀλλ' ὀρθοτονεῖται καὶ ἐν τῷ ἄνθρωπος εἶ. Τὸ δὲ ἐστι τρίτον πρόσωπον καὶ αὐτὸ κατὰ τὸν λόγον ἐγκλίνεται, ἄνθρωπός ἐστιν. εἰς πολλὰ δὲ αὐτὸ παρέβη τὴν ἀκολουθίαν. ἐν ἀρχῇ μὲν γὰρ ἄλλης λέξεως μὴ ἐγκλινομένης ἐγκλίνεται τῇ ἰδίᾳ ἀρχῇ τὸν τόνον ἀναπέμπον, ἔστι πόλις Ἐφύρη, καὶ ἐπὶ πάντων ὁμοίως. κάτω δὲ ὑπάρχον, προηγουμένων αὐτοῦ τινῶν λέξεων ὀξυνομένων, παρέβη τὴν ἔγκλισιν. ἔδει γὰρ ἐπὶ πάντων ἀναβιβάζειν τὸν τόνον τῇ πρὸ αὐτοῦ λέξει ὀξυτόνῳ οὔσῃ, ὡς ἐν τῷ ἐμός ἐςι, καλός ἐςιν. εἰς τὴν ἰδίαν δὲ ἀρχὴν ἀναβιβάζει ἐπί τινων καὶ ἐπὶ τῆς οὐ,

οὐκ ἔςιν οὐδὲν δεινόν,

καὶ ἐπὶ τοῦ καί, καὶ ἔςι, καὶ ἐπὶ τοῦ ὡς, ὥς ἔςι ταυτάπερ τουτέςι.

Ἐγκλίνεται δὲ καὶ τὸ ἐστόν δυϊκόν, οἵ μοι φίλτατοί ἐςον. οὕτως

ἔχει καὶ ἡ ἀνάγνωσις, μὴ πεισθεῖσα τοῖς ἐναντιουμένοις, φημὶ δὲ Τηλέφῳ Περγαμηνῷ. Ἔτι καὶ τὰ πληθυντικὰ ὁμοίως κατὰ τὸν λόγον ἐγκλίνονται, ἄνθρωποί ἐσμεν, ἄνθρωποί εἰσιν. Ταῦτα μὲν περὶ τοῦ εἰμί. τὸ δὲ φημί κατὰ τὸ πρῶτον πρόσωπον ἀκολουθεῖ τῷ λόγῳ, ἄνθρωπόν φημι. τινὲς δὲ ἔλεγον αὐτὸ μὴ ἐγκλίνεσθαι, ὡς ὁ προειρημένος Τήλεφος, ᾧ οὐκ ἐπείσθη ἡ χρῆσις. τὸ δὲ φῄς δεύτερον οὐκ ἐγκλίνεται, μήποτε [διὰ] τὸ πλεόνασμα τοῦ ι. ἀλλ' οὐδὲ τὸ ἀπ' αὐτοῦ γεγονὸς κατὰ ἀποβολὴν ἠμί ἐγκλίνεται. τινὲς δὲ λέγουσι μηδὲ εἶναι αὐτὸ ἀπ' αὐτοῦ, διότι ἐνήλλαξε τὴν συζυγίαν (τὸ γὰρ φημί δευτέρας, τὸ δὲ ἠμί πρώτης), κακῶς λέγοντες· ἰδοὺ γὰρ τὸ καυχῶ καυχᾷς δευτέρας ὂν συζυγίας ἐν τῇ ἀποβολῇ τοῦ κάππα ἐγένετο αὐχῶ αὐχεῖς. τὸ δὲ φησί ἐγκλίνεται, ἄνθρωπόν φησι. ἔτι καὶ τὰ δυϊκά. τὰ δὲ πληθυντικὰ οὐκ ἐξωμάλισαι, ἀλλὰ παρὰ μὲν τοῖς πολλοῖς καὶ μάλιστα τοῖς ἀκριβέσιν ἐγκλίνεται, ἄνθρωπόν φαμεν, ἄνθρωπόν φατε, ἄνθρωπόν φασι, παρά τισι δ' οὔ, οἷς ἡ ἀκριβὴς ἀνάγνωσις οὐκ ἐπείσθη.

Αὕτη δὲ ἡ ἀντωνυμία πρὸς διάφορον σημαινόμενον καθὰ τὸ ὄνομα πῇ μὲν ὀρθοτονεῖται, πῇ δὲ ἐγκλίνεται. ἀλλ' οὔτε ἐκεῖ πάντα τὰ ὀνόματα, οὔτε ἐνταῦθα ὅλαι αἱ ἀντωνυμίαι. ἀλλ' οὐδὲ τὴν αὐτὴν διαφορὰν τοῦ σημαινομένου ἔχουσι τά τε ὀνόματα καὶ αἱ ἀντωνυμίαι ὀρθοτονούμεναι καὶ ἐγκλινόμεναι. ἀλλ' ἐν τοῖς ὀνόμασιν, ὡς ἔφημεν, πυσματικὰ τὰ ὀρθοτονούμενα, ἀορίστων δὲ σημασίαν ποιοῦσιν ἀποφαντικὸν ἐγκλινόμενα. ἐν δὲ ταῖς ἀντωνυμίαις αἱ ἐγκλινόμεναι ἀπόλυτον σημασίαν ποιοῦσιν, αἱ δὲ ἀντιδιαστολὴν ὀρθοτονοῦνται. οὐ πάντως γὰρ ὀρθοτονούμεναι ἀντιδιαστολὴν ποιοῦσιν· εἰσὶ γὰρ πολλαὶ αἱ ἀπόλυτον σημασίαν ἔχουσαι οὐ δύνανται ἐγκλιθῆναι. ἁπλῶς οὖν οὐδεμία κτητικὴ ἐγκλίνεται. καὶ εὐλόγως, ὅτι παράγονται καὶ προσλαμβάνουσι φωνήν τινα ἐν παραγωγῇ, ἐμῦ ἐμός· οὐδεμία δὲ παραγωγὴ ἐγκλίνεται. λοιπὸν περὶ πρωτοτύπων ὁ λόγος. αἱ πρωτότυποι δὲ ἐγκλίνονται οὕτως. οὐδεμία εὐθεῖα ἀντωνυμίας ἐγκλίνεται· τὰ γὰρ ῥήματα ἀναπληροῦσι τὴν χρείαν αὐτῶν, ὡς δείκνυται ἐν τῷ περὶ ἀντωνυμίας. ἀντωνυμία ἐν ἀρχῇ ἐγκλίνεται οὐδεμία. βαρύτονος φύσει οὐκ ἐγκλίνεται. εἴπομεν δὲ φύσει βαρύτονος, ὡς ὅτι εἰσί τινες κατὰ πάθος βαρυνόμεναι καὶ ἐγκλινόμεναι, ὡς τὸ ἡμέων κατὰ διαίρεσιν· καὶ γὰρ ἐβαρύνθη οὐ φύσει. καὶ τὸ σέο δὲ παρὰ τὸ σοῦ ἐνεκλίθη, ὡς ἐπὶ τοῦ Πάριδος

ὥς σεο νῦν ἔραμαι.

προπερισπώμενος μέν, ἔχων δὲ τὴν τελευταίαν θέσει μακράν, ὡς ἔχει τὸ φοῖνιξ, κῆρυξ, ἢ σπονδεῖος ὁμοίως παροξύτονος, ὥσπερ τὸ ἥρως, εἵλως, ἢ ἴαμβος πάλιν παροξύτονος, ὡς τὸ ἔρως, γέλως, ἢ πυῤῥίχιος, καθάπερ τὸ λόγος, πόνος. τηνικαῦτα τὸν τόνον ἐπὶ τοῦ ι δέχεται, οἷον μάντις ἐστί, φοῖνιξ ἐστί, ἥρως ἐστί, γέλως ἐστί, λόγος ἐστί.

Ἰωάννου γραμματικοῦ τοῦ Χάρακος περὶ ἐγκλινομένων.

Ἰστέον ὅτι τὰ ἐγκλιτικὰ οὐκ εἰσὶν ἐν τοῖς ὀκτὼ μέρεσι του λόγου, ἀλλ' ἐν πέντε, ὀνόμασι, ῥήμασιν, ἀντωνυμίαις, ἐπιῤῥήμασι καὶ συνδέσμοις. καὶ οὐ πᾶσα λέξις ἐν τούτοις ἐγκλίνεται, ἀλλ' εὐαρίθμητοι. εἰσὶ δέ τινες ἐν ταῖς ἐγκλινομέναις διάφορον σημαινόμενον ἀναφαίνουσαι ἐν τῷ ὀρθοτονεῖσθαι καὶ ἐγκλίνεσθαι.

Ὀρθοτονεῖσθαι μέν φαμεν, ὅτε τὸν ἀνάλογον καὶ κατὰ φύσιν τόνον φυλάττει, ἐγκλίνεσθαι δέ, ὅτε τὸν τόνον ἀναβιβάζει τῇ πρὸ αὐτοῦ λέξει, ὡς ἀπὸ μεταφορᾶς τῶν ἐγκλινόντων ἐπὶ τὰ ὀπίσω τὰ σώματα αὐτῶν. καὶ ἰστέον ὅτι τὰ ἕνεκα διαφόρου σημαινομένου ἐγκλιτικὰ καλοῦσιν, οἷον ἐμοῦ ἤκουσας· ἀντιδιαςολή· ἤκουσάς μου· ἀπόλυτος σημασία. τὰ δὲ τὴν αὐτὴν σημασίαν φυλάττοντα ἐγερτικὰ οἱ πολλοὶ καλοῦσι διὰ τὸ ἐγείρειν τὴν πρὸ αὐτῶν ὀξεῖαν καὶ μηδὲν ἄλλο δηλοῦν. ὅμως δὲ κοινῶς πάντα ἐγκλιτικὰ καλεῖται. Ἔχει δὲ τὰ τοιαῦτα ὀξεῖαν ἢ περισπωμένην· βαρύτονος γὰρ λέξις οὐκ ἐγκλίνεται, εἰ μὴ κατὰ πάθος εἴη ἡ βαρεῖα, ὡς τὸ σφᾶς καί τινα ἄλλα, περὶ ὧν διαληψόμεθα. Προηγεῖται δὲ τούτων τῶν ἐγκλινομένων, ὅτε ἐγκλίνονται, ἢ προπαροξύτονος λέξις, ὡς ἄνθρωπός μου, ἄνθρωπός τις, ἢ ὀξύτονος, ὡς μαθητής μου, σοφός τις, ἢ τροχαϊκὴ ἀπὸ τόνου, ὡς δοῦλός μου, ἄλλός μοι, ἔνθά μοι. ἄλλων δὲ προηγουμένων οὐκ ἐγκλίνονται, οἷον ἀνθρώπου τινός, ἄλλου τινός, ἄλλῳ τινί. Καὶ δεῖ εἰπεῖν τὴν αἰτίαν. ἐν μιᾷ λέξει κατὰ συνέχειαν δύο ὀξείας οἱ παλαιοὶ οὐκ ἐτίθουν· κακοφωνίαν γὰρ ποιοῦσι. τὸ οὖν ἄνθρωπός τις οὐκ ἔστι κατὰ συνέχειαν, ἀλλὰ μεσολαβεῖ βαρεῖα ἡ ἐν τῇ θρω συλλαβῇ. σοφός τις· μία ἐστὶν ὀξεῖα ἡ εἰς τὸ ος. ὅθεν μέμφονται οἱ ἀκριβεῖς τὸν θέσει τροχαϊκὸν ἔχοντα δύο ὀξείας ἐφεξῆς, ἄλλός τις· καὶ εὐλόγως εἰς τὴν ἀρχὴν τῆς Ὀδυσσείας ὁ Ἀρίσταρχος οὐκ ἐβουλήθη δοῦναι εἰς τὸ ἄνδρα μοι δύο ὀξείας, ἀλλὰ μίαν εἰς τὸ αν, φάσκων „ἐν ἀρχῇ ποιή-

"σεως παράλογον οὐ μὴ ποιήσω." ἁπλῶς οὖν προπαροξυτόνου τροχαϊκοῦ προηγουμένου αἱ ἐγκλίσεις γίνονται.

Καὶ πρὸς σαφήνειαν δὲ δεῖ εἰπεῖν ὅτι τὰ ἐγκλινόμενα ἢ μονοχρονοῦσιν, οἷον ὕβρισέ με, ἢ διχρονοῦσιν, ἤκουσά τινος, ἢ τριχρονοῦσιν, ἤκουσά τινων· καὶ τότε τῇ πρώτῃ λέξει ἀναβιβάζουσι τὸν τόνον, ὡς ἐλαφρὰ ὄντα. ὅτε δὲ τετραχρονοῦσι, τῇ πρώτῃ συλλαβῇ αὐτῶν, ἡμῶν ἧμων, ἡμῖν ἧμιν, ἡμᾶς ἧμας. ἰστέον δὲ ὡς ταῦτα τὰ τετράχρονα, καὶ εἰ συστέλλουσι τὸ τέλος καὶ γίνονται τρίχρονα, οὐκ ἀναβιβάζουσι τῇ πρώτῃ λέξει, ἀλλὰ φυλάττουσι τὸν αὐτὸν τόνον, ὡς ἦσαν ἀπ' ἀρχῆς ἐγκλινόμενα. οἷον δέδωκεν ἧμιν· συστεῖλαν τὸ ῑ παρὰ τοῖς Ἴωσιν οὕτως ἔμεινεν ἐγκλινόμενον. ὕβρισεν ἧμᾶς· οὐ συστεῖλαν τὸ ᾱ κατὰ διάλεκτον ἐφύλαξεν ἐν αὐτῇ τῇ συλλαβῇ τὸν αὐτὸν τόνον. Δεῖ δὲ νοῆσαι ὅτι αἱ δισύλλαβοι ἀναμφιβόλως καὶ ἀναβιβάζουσιν ἐγκλινόμεναι καὶ φυλάττουσιν ὀρθοτονούμεναι, οἷον ἤκουσά τινος, ἀφ' οὗ τινος. αἱ δὲ μονοσύλλαβοι ἀναβιβάζουσι μὲν ἐγκλινόμεναι τῶν προειρημένων λέξεων προηγουμένων· ἄλλων δὲ λέξεων προηγουμένων τῶν μὴ δεχομένων τὴν ἔγκλισιν τὴν ἐπιφερομένην ἄφατον σύγχυσιν ἐποίησαν. οἷον ἀνθρώπου μου· ἔδει εἶναι ἀνθρώπου ἐμοῦ. μέλει μοι· ἔδει ὀρθοτονεῖσθαι, μέλει ἐμοί. ὅμως μονοσυλλαβοῦντα οὔτε ἀνεβίβασαν οὔτε ἐφύλαξαν, ἀλλ' ὡς μιᾶς λέξεως οὔσης ὁ τόνος ἐτέθη, ἀνθρώπου μου. καὶ οὕτως ἡμεῖς δοξάζομεν. Ἄλλοι δε τινες συγχέουσιν, ὡς καὶ Ῥωμανὸς λέγων, εἰ περισπωμένη προηγεῖται, οὐ παρέχουσι τὸν τόνον αὐτῇ, οἷον καλοῦ μου· εἰ δὲ ἄλλος τόνος εἴη, παρέχουσι τὸν τόνον, οἷον πόθεν τις, ὅθεν με. ψευδὲς δὲ λίαν ἐστίν· εἷς γὰρ ὁ τόνος ἐςὶ καὶ τίθεται, καὶ οὐ παρέχουσι τὸν τόνον, ὡς εἴπομεν, ταῖς προηγουμέναις, εἰ μὴ εἴη προπαροξύτονος ἢ ὀξύτονος ἢ τροχαϊκή.

Ἰστέον δὲ ὅτι διαφέρει ἐγκλιτικὸν ἐγκλινομένου, οὐχ ὡς λέγει ὁ Φιλόπονος ἐν τῇ ἀντωνυμίᾳ, ὃν ἐλέγχομεν ἐκεῖ, ἀλλὰ τῷ καθόλου καὶ τῷ μερικῷ. πᾶν μὲν γὰρ ἐγκλιτικὸν καὶ ἐγκλινόμενόν ἐστιν, οὐ πᾶν δὲ ἐγκλινόμενον καὶ ἐγκλιτικόν ἐστιν. αἱ μὲν γὰρ λέξεις αἱ ὀξύτονοι ἐν τῇ συνεχείᾳ κοιμίζουσαι τοὺς τόνους ἐγκλινόμεναι καλοῦνται, οἷον

εἰ μὴ μητρυιὴ περικαλλὴς Ἠερίβοια.

ἰδοὺ αὗται κοιμίζουσαι ἐν τῇ συνεχείᾳ τὸν τόνον ἐγκλινόμεναι καλοῦνται καὶ οὐχὶ ἐγκλιτικαί. ἀλλὰ πᾶν ἐγκλιτικὸν ἐγκλινόμενον. Διαλαμβάνοντες δὲ περὶ ἑκάστου μέρους δείξομεν ὀλίγα ἐναντιού-

καὶ τὸ ποῦ ἀπῆλθεν; ἀπῆλθέ που,

αἴ κέ ποθι Ζεύς.

καὶ ἔτι τὸ πῶς, πῶς ἦλθες; ἦλθές πως. καὶ τὸ πῶ, οὔ πώ με γιγνώσκεις. καὶ τὸ πῇ ὁμοίως. ταῦτα δέ τινες τὰ μονοσύλλαβα καὶ τὸ πόθι ἔλεγον συνδέσμους κακῶς, καὶ Ἡρωδιανὸς μετὰ αὐτῶν· Ἀπολλώνιος δὲ ἐν πλάτει καλῶς ἀνατρέπει αὐτά. ταῦτ' οὖν ἐν ἐπιῤῥήμασιν.

Οἱ σύνδεσμοι ὁμοίως, ὁ τέ,

καί τε χαλιφρονέοντε·

ὁ γέ,

τοῦτό γέ μοι χάρισαι·

ὁ πέρ,

μηδ' οὕτως ἀγαθός περ ἐών·

ὁ τοί,

μή νύ τοι·

ὁ ῥά,

ὅς ῥα παρὰ Κρονίωνι·

ὁ νύ, οὔ νύ μοι· ὁ θῆν, καί θην· ὁ κέν,

ἦ κεν ἐλέγχιστος.

ὁ οὖν μετὰ μόνης τῆς οὔ παραπληρωματικὸς ὢν ἐγκλίνεται, οὔκουν, συλλογιστικὸς δὲ ὢν ὀρθοτονεῖται, οὐκοῦν αἰσχρὸν τόδε. καὶ τὸ νῦν ἐπίῤῥημα ὂν περισπᾶται, σύνδεσμος δὲ ὢν καὶ συστέλλεται καὶ ἐγκλίνεται,

πρῶτά νυν Ὀρφῆος μνησώμεθα.

καὶ οὗτοι μέν, ὅτε ἔχουσι τὰς προειρημένας λέξεις τὰς δεχομένας τοὺς τόνους τῶν ἐγκλινομένων, ἀναπέμπουσι τοὺς τόνους, τοῦτό γε, Ὅμηρόν τε, ἄνδρά τε. εἰ δὲ μή, ὡς εἴπομεν περὶ μονοσυλλάβων, οὔτε ἀναβιβάζουσιν οὔτε φυλάττουσιν, οἷον τούτου γε· οὔτε εἰς τὸ του ἡ ὀξεῖα, οὔτε εἰς τὸ γέ, ἀλλ' εἰς τὴν πρώτην συλλαβήν, τούτου γε. οὐ γὰρ πειστέον τοῖς λέγουσιν ὅτι ἑκάστῃ λέξει ἀναπέμπουσι τὸν τόνον. Ἀλλὰ ταῦτα μὲν περὶ τούτων.

Περὶ ἐγκλινομένων.

Ἐγκλίνονται ἤγουν ἀναβιβάζουσι τὸν τόνον ὅτε καλεῖ ἀπὸ τῶν τοῦ λόγου μερῶν πέντε, ὄνομα, ῥῆμα, ἀντωνυμία, ἐπίῤῥημα καὶ σύνδεσμος. Ὄνομα μὲν ὡς τὸ τίς καὶ αἱ τούτου πτώσεις καὶ οἱ ἀριθμοί, καὶ οὐδέτερον τί, οἷον οἶκός τις, ἔμαθόν τινος,

ἦλθόν τινες, ἤκουσά τινων, ἔμαθόν τι· καὶ τὰ ἰσοδυναμοῦντα τούτοις, τὸ τοῦ καὶ τὸ τῷ, ἤκουσά του, δέδωκά τῳ καὶ τὰ τοιαῦτα. Ῥήματα τὸ εἰμί φημί, ἁμαρτωλός εἰμι, ἐγώ φημι. τὸ δεύτερον φῄς ἀνέγκλιτον. τὸ τρίτον φησὶν ἐγκλίνεται, αὐτός φησι, καὶ τὰ πληθυντικά, αὐτοί φαμεν, τί φατε, τί φασιν. καὶ τὰ πληθυντικὰ τοῦ εἰμί, ἄνθρωποί ἐσμεν, ἄνθρωποί ἐστε, ἄνθρωποί εἰσιν. Καὶ τῶν ἀντωνυμιῶν ἐκεῖναι, ἔδωκάς μοι, ἔτυψάς με, ἤκουσά σου, παρεῖχόν σοι, καὶ οἱ ἐπευχόμενοι, καί μιν φωνήσας. μετὰ δὲ τοῦ ἕνεκα τὸν οἰκεῖον φυλάττουσι τόνον ταῦτα, ἕνεκα σοῦ, ἕνεκα ἐμοῦ. καὶ μετὰ προθέσεως, περὶ σοῦ, διὰ σέ καὶ τὰ τοιαῦτα. Ἐπίῤῥημα οἷον τὸ ποτέ, σύ ποτε, ἐγώ ποτε, καὶ τὸ ποθέν, οἷον ἦλθέ ποθεν, καὶ τὸ πῶς πῇ πρῦ τὰ ὡς ἐπιῤῥήματα, ἦλθέ πως, ἀπῆλθέ που, ἀνεχώρησέ πῃ. Σύνδεσμοι δὲ ἐγκλίνονται μέν δέ τέ γάρ, οἷον ἐγώ μεν, σύ δε, αὐτός τε, ἄλλοί γαρ καὶ τὰ τοιαῦτα. Ἐκεῖνο δὲ παραφυλακτέον, ὅτι ἐὰν σπονδειακὴ πρόκειται λέξις ἤγουν δισύλλαβος, τὸν ἴδιον φυλάττει τόνον, οἷον ἤδη φαμέν, οὕτως ἐστίν, οὕτω ποτέ καὶ τὰ ὅμοια. καὶ ἰαμβική, Σόλων εἰμί.

Καὶ ἄλλως περὶ ἐγκλινομένων. *)

Αἱ ἀντωνυμίαι τοῦ πρώτου προσώπου ἐγκλίνονται καὶ τὸ κατ' ἀρχὴν ε ἀποβάλλουσιν, ἤκουσάς μου, ἔδωκάς μοι, ὕβρισάς με. αἱ δὲ τοῦ δευτέρου καὶ τρίτου προσώπου οὐδεμίαν στοιχείου ποιοῦνται ἀποβολήν, ἤκουσά σου, ἔδωκά σοι, ἐδίδαξά σε, ὕβρισά σε, καί οἱ ἐπευχόμενοι, θωρῆξαί ἑ κέλευε, καί μιν φωνήσας. αἱ δυϊκαὶ τοῦ πρώτου καὶ δευτέρου προσώπου οὐκ ἐγκλίνονται διὰ τὴν βαρεῖαν τάσιν, νῶϊ νῶϊν, σφῶϊ σφῶϊν· προπερισπῶνται γάρ. αἱ δὲ τοῦ τρίτου ὀξυνάμεναι ἐγκλίνονται, τίς γάρ σφωε θεῶν, καί σφωϊν δὸς ἄγειν. καὶ τὰ πληθυντικὰ ἐπεὶ ἐγκλίνονται, τὴν πρώτην συλλαβὴν ὀξύνουσιν, ἤκουσας ἥμων λαλούντων, ἔδωκας ἥμιν. καὶ αἱ τοῦ τρίτου πληθυντικαὶ ὀξύνονται, σφῶν σφὶν σφᾶς, καί σφων, καί σφας, καί σφιν. καὶ εὔλογον οἶμαι λέγειν ὅτι μετὰ τὴν ἔγκλισιν τὸ πάθος ἐπηκολούθησεν.

Ἐν δὲ τοῖς ἐπιῤῥήμασιν ἐγκλίνεται τὰ ὑποκείμενα, πῶς ποτέ ποθέν ποθί. καὶ τὰ ὑποδείγματα δῆλα, πῶς ἦλθες; ἦλθές πως· πῇ ἦλθες; ἦλθές πῃ· πόθεν ἦλθες; ἦλθές ποθεν· πόθι ἦλθες; ἦλθές

---

*) Praemittuntur quae verbis leviter immutatis Arcadius habet p. 139.

ἐπὶ γὰρ τοῦ Διὸς ὀρθοτονεῖται· ἀντιδιαστολὴν γὰρ ἔχει πρὸς ἄλλας γενικάς, ἐπὶ δὲ τοῦ Πάριδος οὐκ ἔστι διαστολὴ πρὸς ἄλλην. Ἐν τοῖς δυϊκοῖς τοῦ πρώτου καὶ δευτέρου προσώπου ἀεὶ ὀρθοτονοῦνται, ὅτι ἀεὶ βαρύνονται, κἂν περισπῶσι, νῶϊν, σφῶϊν. ὥσπερ τοὐναντίον εἴπομεν ἐπὶ τοῦ ἡμέων, ὅτι ἐγκλίνεται· οὐ γὰρ φύσει βαρύνεται. ἐγκλίνονται δὲ ἀεὶ αἱ τοῦ τρίτου δυϊκαί,

ἀλλ᾽ εἴπ᾽ εἴ σφωϊν καταλύσομεν ὠκέας ἵππους

καὶ

τίς τάρ σφωε θεῶν ἔριδι.

Καὶ ἐν τοῖς πληθυντικοῖς τοῦ τρίτου προσώπου σφίσι σφέας ἀναβιβάζεται ὁ τόνος τῇ πρώτῃ λέξει,

ἐπεὶ οὔ σφισι,

καί σφεας φωνήσας,

ἐπεὶ οὐ φύσει ἐβαρύνοντο, ἀλλὰ κατὰ πάθος, σφῖν σφίσιν, σφᾶς σφέας. Ἔφαμεν δὲ ὅτι ἐν τῷ πρώτῳ καὶ δευτέρῳ προσώπῳ κἂν συσταλῶσι καὶ γένωνται τρίχρονοι, ἡμῖν ἥμιν, ὑμῖν ὕμιν, οὐκ ἀναβιβάζουσι τῇ πρώτῃ λέξει, ἀλλ᾽ ἐν τῇ ἰδίᾳ ἀρχῇ ἔχουσιν ἐγκλιτικήν, καὶ δέχεται ἢ ὑποστιγμὴν ἢ στιγμήν, εἰ μή που φιλοφρονητικὴ εἴη ἡ φράσις,

Πάτροκλέ μοι.

Φασὶ δὲ τὰς ἐχούσας χαρακτῆρα καταλήξεως μὴ ἐγκλίνεσθαι, ὡς ἡ ἐκεῖνος καὶ οὗτος, ἀλλὰ μόνον ἡ αὐτός κατὰ αἰτιατικὴν παρέβη,

κόψε γάρ αὖτον.

οὐ καλὸς δέ τοι ὁ λόγος· ὡς γὰρ βαρύτονοι οὖσαι οὐκ ἐγκλίνονται, ἐκεῖνος ἐκείνου, οὗτος τούτου. τὸ αὐτόν ὀξύνεται. Ἀλλὰ πρὸς τούτοις φασὶν ὅτι ἡ αὐτοῦ αὐτῷ οὐκ ἐγκλίνονται, ἀλλ᾽ ὡς τετράχρονοι εἰς τὴν ἰδίαν ἀρχὴν τὸν τόνον ἀναπέμπουσι. πρὸς οὓς φαμεν ὅτι διὰ τὸ μὴ συνεμπεσεῖν τοῖς Αἰολεῦσι βαρυτόνως λέγουσι αὖτου καὶ αὖτῳ. ἡ δὲ αἰτιατικὴ οὐ συνενέπεσεν· ἐγκλινομένη γὰρ εἰς τὴν πρὸ αὐτῆς λέξιν τὸν τόνον ἀναπέμπει, κόψε γάρ αὖτον ἔχοντα, τὸ δὲ Αἰολικὸν εἰς τὴν ἀρχήν, αὖτον. Πάλιν αἱ ἔχουσαι ἐπιφορὰν τὴν ἐπιταγματικὴν ὀρθοτονοῦνται, σὲ αὐτόν, σὲ δὲ αὐτὴν παντί, ἀλλὰ σε αὐτόν, εἰ μή που ποιητικῶς ἐγκλιθῶσιν,

ἀλλά οἱ αὐτῷ·

οὐκ ὤφειλεν ἡ οἱ ἐγκλιθῆναι· ἔχει γὰρ την ἐπιταγματικήν. τινὲς δέ φασι καὶ ἵνα μὴ νομισθῇ ἄρθρον. ὅπερ ψευδές· ἀντωνυμία γὰρ οὖσα περισπᾶται, ἄρθρον δὲ ὂν ὀξύνεται. ὥστε ποιητικῶς ἐνε-

κλίθη. Αἱ λοιπαί, ὥςπερ προείπομεν, πρὸς διάφορον σημαινόμενον πῇ μὲν ἐγκλίνονται, πῇ δὲ ὀρθοτονοῦνται. ἐγκλινόμεναι οὖν ἀπόλυτον σημασίαν σημαίνουσιν, ἀντιδιαστολὴν δὲ ὀρθοτονούμεναι, ἐάν, ὥςπερ προείπομεν, προηγῶνται αἱ παραφυλακαί. ὀλίγαι δὲ παρέβησαν τὸν λόγον, οἷον τὸ ἴσαν,

ἔνθ' ἴσάν οἱ πέπλοι.

καὶ πάλιν ἐνταῦθα, ἵνα μὴ νομισθῇ τὸ οἱ ἄρθρον, ὅπερ ἄκαιρον· ὡς εἴπομεν γάρ, ὁ τόνος διέστειλε. καὶ πάλιν

ἵνά σφίσιν ἀγορή τε θέμις τε.

καὶ πάλιν

ὅτέ σφεας εἰςαφίκηται,

ἦρχε δ' ἄρά σφιν.

αὗται παραλόγως ἐνεκλίθησαν, μὴ προηγουμένων ἢ ὀξυτόνων ἢ τροχαϊκῶν. καὶ παρὰ Καλλιμάχῳ τόξου σφεών τις ἄριστα Κυδωνίου· σπονδεῖος γὰρ βαρύτονος προηγεῖται. παραλόγως οὖν ἐπὶ τούτων ἐπεκράτησεν ἡ ἔγκλισις. Ταῦτα περὶ ἀντωνυμιῶν ἐν συντόμῳ· ἐν ἑτέροις γὰρ ἐν πλάτει.

Πολλοὶ δὲ τρόποι εἰσὶν ὀρθοτονοῦντες καὶ προηγουμένης τῆς ὀφειλούσης δέξασθαι τὴν ἔγκλισιν. οἷον αἱ προθέσεις ὀξύνονται, καὶ ὅμως αἱ μετὰ τούτων ἀντωνυμίαι ὀρθοτονοῦνται, περὶ ἐμοῦ, κατ' ἐμοῦ, σὺν ἐμοί, ὑπὲρ ἐμοῦ. ὅθεν παρὰ Μενάνδρῳ σημειοῦνται τὸ πρός με ἐγκλιθέν· οἱ δὲ ἐξηγηταὶ μετὰ τοῦ ε̄ προφέρονται αὐτό, πρὸς ἐμέ. αἱ μετὰ τῶν συμπλεκτικῶν καὶ διαζευκτικῶν ὀρθοτονοῦνται. τὸ γὰρ

ἤ μὲ ἀνάειρε

τὸ ε̄ συνεκεράσθη μετὰ τοῦ η̄, ἢ ἐμέ — ἤ μέ, καὶ τὴν ὀξεῖαν εἰς τὸ ε̄ φυλάττομεν. τὸ δὲ

καί μοι ὑποστήτω

ὑπέρβατόν ἐστι, καὶ ὑποστήτω μοι, ὡς δείκνυμεν ἐν τῇ ἀντωνυμίᾳ. καὶ εὐλόγως ὀρθοτονοῦνται, ἐπειδὴ ἀντιδιαστολὴν πάντως εἰςφέρουσιν αὗται αἱ συντάξεις. καὶ μετὰ τοῦ οὕνεκα καὶ ἕνεκα ὀρθοτονοῦνται, ἕνεκα σοῦ, οὕνεκα σοῦ, ἕνεκεν σοῦ· κακῶς γὰρ ἐγκλίνουσιν.

Ὀλίγα δὲ καὶ ἐν τῷ ἐπιῤῥήματι ἐγκλίνονται καὶ ὀρθοτονοῦνται, ὥςπερ ἐπὶ τοῦ τὶς εἴπομεν καὶ τοῦ τινός καὶ τῶν ἄλλων, ὅτι ὀρθοτονούμενα πυσματικά εἰσιν, ἐγκλινόμενα δὲ ἀποφαντικῶς ἀόριστα. οἷον πόθεν ἦλθε πύσμα, ἦλθέ ποθεν ἀόριστον· πότε ἔγραψας; ἔγραψάς ποτε. ὁμοίως καὶ τὸ πόθι,

ἐπεὶ οὔ ποθι.

714, 25. Pertinent huc quae *περὶ τόνου περισπωμένων ὀνομάτων* traduntur cod. Vatican. 1370 f. 132, Ottobon. 173 f. 155, Coislin. 176. f. 24, Hamburg. p. 15. Quorum exemplum apposui.

Κανὼν α. Πᾶν ὄνομα μονοσύλλαβον οὐδέτερον μακροκατάληκτον περισπᾶται, εἴτε ἀπαθὲς εἴη εἴτε πεπονθός. πρῶτον μὲν ὅλα τὰ μονοσύλλαβα ὀνόματα τῶν στοιχείων, οἷον μῦ ξῦ πῖ ῥῶ ταῦ ὖ φῖ χῖ ψῖ ὦ, ἔπειτα κῆρ φῆρ σῆς ςαῖς οὖς φῶς πῦρ σῶρ πᾶν κρῖ.

β. τὰ εἰς ας κύρια ἰσοσυλλάβως κλινόμενα καὶ ἐπὶ τέλους ἔχοντα τὸν τόνον περισπᾶναι, ὁ Γρᾶς τοῦ Γρᾶ, ὁ Λᾶς τοῦ Λᾶ, καὶ ὅτε τὸν ποταμὸν δηλοῖ καὶ ὅτε τὴν πόλιν. καὶ τὸ ἐπὶ τοῦ λίθου δέ· καὶ αὐτὸ γὰρ ἰσοσυλλάβως κλίνεται, εἰ καὶ μὴ ἔστι κύριον· δισυλλάβως δὲ λέγεται ὁ λάας. Μηνᾶς Μηνᾶ, Ζηνᾶς Ζηνᾶ, Κερκιδᾶς Κερκιδᾶ.

γ. τὰ εἰς ους ὀνόματα ἁπλᾶ περισπᾶται, βοῦς νοῦς χροῦς χοῦς πλοῦς φλοῦς θροῦς ῥοῦς χαλκοῦς ἀργυροῦς Σιμοῦς, σεσημειωμένου τοῦ ποὺς καὶ ὀδούς. ἁπλᾶ δὲ διὰ τὸ εὔνους εὔπλους.

δ. τὰ εἰς υς μονοσύλλαβα περισπᾶται, μῦς σῦς δρῦς. συναπηνέχθη δὲ αὐτοῖς τὸ ἰχθῦς ἀπφῦς Διονῦς ὀσφῦς ὀφρῦς.

ε. πᾶσα δίφθογγος τελικὴ εἰς ῡ λήγουσα καὶ ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον περισπᾶται, καλοῦ σοφοῦ Πηλεῦ Πρωτεῦ ναῦ γραῦ νοοῦ ποιοῦ ἐμοῦ ἐμεῦ σοῦ σεῦ εὖ αὖ ἀγχοῦ. σεσημείωται τρία, ἰδού ἰού οὔ· τὸ ἰδού δεικτικόν, τὸ ἰού σχετλιαστικὸν καὶ τὸ οὔ ἀπαγορευτικόν.

ς. πᾶσα συναίρεσις ἐξ ὀξείας καὶ βαρείας περισπωμένην ποιεῖ, οἷον Ἑρμέας Ἑρμῆς, Θαλέας Θαλῆς, τιμήεις τιμῆς, Σιμόεις Σιμοῦς, Ξενοφάων Ξενοφῶν, φάος φῶς, φθοῖς φθοῖς, ὄϊς οἶς, πάϊς παῖς, βρὰξ βῶξ, κρέας κρῆς. τὸ μέντοι Σαπφόα καὶ Λητόα, καίτοι συναιρεθέντα εἰς τὴν Σαπφὼ καὶ Λητώ, ὅμως οὐ περιεσπάσθη, ἐπειδὴ πᾶσα πτῶσις ὁμοφωνήσασα τῇ εὐθείᾳ καὶ τὸν τόνον αὐτῆς ἔχει, οἷον ἡ Μοῦσα ὦ Μοῦσα· ἐπ' ἀμφοτέρων μία φωνὴ καὶ εἷς ὁ τόνος· τὸ ξύλον ὦ ξύλον. ἅπαξ οὖν τῆς εὐθείας ὀξυνθείσης συνωξύνθη καὶ ἡ αἰτιατική· πάντα γὰρ τὰ εἰς ω θηλυκὰ ὀξύνεται. ὁμοφωνήσασα οὖν καὶ ἡ αἰτιατικὴ τὸν τόνον αὐτῆς ἀπηνέγκατο. ἀμέλει τὴν ἠόα συναιροῦντες εἰς τὴν ἠῶ καὶ τὴν αἰδόα εἰς τὴν αἰδῶ περισπῶμεν, ὅτι οὐχ ὡμοφώνησαν τῇ εὐθείᾳ· ἠώς γὰρ καὶ αἰδώς ἦσαν αἱ εὐθεῖαι. εἰ δέ τις λέγοι πῶς οὖν τὸ Δημοσθένεες

Δημοσθένεις συναιρεθὲν οὐ περισπᾶται, ἐροῦμεν ὅτι οὐκ ἦν ἡ συναίρεσις ἐξ ὀξείας καὶ βαρείας, ἀλλ' ἐκ δύο βαρειῶν πάλιν βαρύνεται· τὰ γὰρ συνῃρημένα ἐκ δύο βαρειῶν πάντα βαρύνονται, οἷον Πάνθοος Πάνθους, εὐγήραος εὐγήρως. εἰ δέ τις λέγοι πῶς οὖν τὸ χάλκεος συναιροῦν τὰς δύο βαρείας περιεσπάσθη ἐν τῷ χαλκοῦς καὶ χρύσεος χρυσοῦς, ἐροῦμεν ὅτι ταῦτα οὐ τῷ λόγῳ τῆς συναιρέσεως περιεσπάσθη ἀλλὰ τῷ λόγῳ τῶν εἰς ους ἁπλῶν, ὡς προείπομεν.

ζ. πᾶσα γενικὴ καὶ δοτικὴ μακροκατάληκτος ἐπὶ τοῦ τέλους ἔχουσα τὸν τόνον περισπᾶται ὁμοίως ἐπὶ ἑνικῶν καὶ δυϊκῶν καὶ πληθυντικῶν, τοῦ καλοῦ τοῖν καλοῖν τῶν καλῶν, τῆς καλῆς ταῖν καλαῖν τῶν καλῶν. αἱ μέντοι γενικαὶ τῶν Ἀττικῶν ὀνομάτων, τοῦ νεώ καὶ τοῦ λεώ καὶ τῶν ὁμοίων, ὠξύνθησαν ἑτέρῳ λόγῳ· τὸ γὰρ πτωτικὸν ω ἀπέστραπται τὴν περισπωμένην. πτωτικὸν δὲ λέγομεν τὸ ἐν τοῖς πτωτικοῖς ἐπὶ τέλους εὑρισκόμενον ἄνευ πάθους, οἷον πάντα τὰ εἰς ω λήγοντα δυϊκά, πᾶσαι αἱ εἰς ω λήγουσαι αἰτιατικαὶ ἑνικαί· τὸ γὰρ Ποσειδῶ κυκεῶ καὶ ἱδρῶ οὐ τελικὸν εἶχον τὸ ω, ἀλλ' ἐξ ἀποκοπῆς τοῦ Ποσειδῶνα καὶ κυκεῶνα καὶ ταῶνα καὶ ἱδρῶτα. τὸ ἠῶ καὶ αἰδῶ οὐκ ἀπαθὲς εἶχον τὸ ω, ἀλλ' ἐκ κράσεως. τὸ ῥῶ καὶ ὦ ὀνόματα τῶν στοιχείων οὐ πτωτικὸν εἶχον τὸ ω ἀλλ' ἄκλιτον. ὅθεν καὶ τὰς εἰς ω δοτικὰς λέγομεν εἰς ι καταλήγειν, ἐπεὶ εἰ εἶχον τελικὸν τὸ ω οὐκ ἂν περιεσπάσθησαν, φημὶ δὴ τῷ καλῷ τῷ σοφῷ. τὰ γοῦν εἰς ους ἐν πάσαις ταῖς πτώσεσι περισπώμενα ἐν τῇ εὐθείᾳ τῶν δυϊκῶν ὀξύνεται, διπλοῦς διπλοῦ διπλῷ διπλοῦν, διπλὼ δὲ στρατηγὼ ὀξυτόνως. εἰ δέ τις λέγοι πῶς οὖν τὸ Τυφῶς Τυφῶ καὶ ταῶς ταῶ περιεσπάσθη κατὰ τὴν γενικήν, ἐροῦμεν ὡς πᾶσα εὐθεῖα ἀποβολῇ τοῦ σ τὴν γενικὴν ποιοῦσα ὁμότονον αὐτὴν ἔχει, ὁ νοῦς τοῦ νοῦ, ὁ Μηνᾶς τοῦ Μηνᾶ.

η. πᾶν ῥῆμα μακροκατάληκτον ἐπὶ τῆς μακρᾶς ἔχον τὸν τόνον περισπᾶται, ποιῶ νοῶ χρυσῶ χρυσοῦ τυποῦ, σεσημειωμένου τοῦ χρή.

θ. πᾶν ἐπίῤῥημα μονοσύλλαβον ἔχον δίχρονον ἐκτεταμένον περισπᾶται, ἆ δειλὼ τί σφῶϊ, νῦν γρῦ μῦ· τὸ γὰρ ῥά ἐκ τοῦ ῥᾳδίως ἐστί, διὸ καὶ ὀξύνεται.

ι. πᾶν ἐπίῤῥημα μονοσύλλαβον πευστικὸν περισπᾶται, ποῦ ποῖ πῇ πῶς.

ια. τὰ εἰς ως ἐπιῤῥήματα τῶν γενικῶν ὀνομάτων ἔχουσι τοὺς τόνους, καλῶν καλῶς, φίλων φίλως. τὸ δὲ ὧς ὀξύνεται, ἐπειδὴ ἀπὸ τοῦ ὅς γέγονεν, ὡς καὶ τὸ οὕτως ἀπὸ τοῦ οὗτος.

ιβ. πᾶσα λέξις εἰς ουν λήγουσα ἢ βαρύνεται ἢ περισπᾶται, οὐδέ-

ποθι. ταῦτα πυσματικὰ ὄντα βαρύνεται, ἀόριστα δὲ ὀξύνονται, καὶ ἐν τῇ συντάξει ὑποτασσόμενα ἐγκλίνονται.

Ἐν δὲ συνδέσμοις ἐγκλινόμενοί εἰσιν οἵδε, τέ πέρ τοί θήν γέ, καὶ περ, καί τοι, καί γε, τοῦτό γε ἡμῖν, οὔ θην, αἴ κε, Σκῶλόν τε. διὸ σημειοῦνται τὸ ἔνθ' ἔσάν οἱ πέπλοι παμποίκιλοι· παραλόγως γὰρ ἐνεκλίθη ἡ οἳ ἀντωνυμία, πυῤῥιχίου προκειμένου. σημειοῦνται καὶ τὰς διὰ τοῦ σφ ἀντωνυμίας. καὶ αὗται πυῤῥιχίου ὄντος ἐγκλίνονται, ἵνά σφ' ἀγορή τε θέμις τε, ὅτί σφεας εἰςαφίκητε. εἰ μέντοι προπαροξύνοιτο ἡ προκειμένη λέξις τῶν ἐγκλιτικῶν μορίων, ἐγείρει τὴν ἐν τῷ τέλει αὐτῆς βαρεῖαν, ἄνθρωπός τις. κἂν παροξύνοιτο τροχαϊκὴ οὖσα, ἄλλός τις, ἐστί τις, ἔνθά ποτε. ἔτι ὀξυνόμεναι λέξεις, βαρυνόμεναι δὲ διὰ τὴν συνέπειαν, ἐγκλιτικοῦ ἐπιφερομένου τὴν βαρεῖαν ἐγείρουσιν, αὐτὸς αὐτός μοι. εἰ δὲ περισπᾶται ἡ λέξις, φυλάττεται πάλιν ἡ περισπωμένη, πῶς ποτε, πῆ με φέρεις, καλῶς με βεβλακεν. Ἐὰν οὖν πλείονα συμβῇ ἐφεξῆς ἐγκλιτικὰ εἶναι, πολλαὶ ἔσονται καὶ αἱ ὀξεῖαι, ἤ νύ σέ που δέος ἴσχει ἀκήριον· τρεῖς εἰσὶν ἐφεξῆς αἱ ὀξεῖαι. δυνατὸν δὲ καὶ πλείονας ἐπινοῆσαι, εἴ πέρ τίς σέ μοί φησί ποτε· τὸ μὲν γὰρ εἰ ὀξύνεται διὰ τὴν ἐπιφορὰν τοῦ ἐγκλιτικοῦ πέρ, τὸ δὲ πέρ διὰ τὸ τίς, τὸ δὲ τίς διὰ τὸ σέ, τὸ δὲ σέ διὰ τὸ μοί, τὸ δὲ μοί διὰ τὸ φησί, τὸ δὲ φησί διὰ τὸ ποτέ, ὥστε ἐφεξῆς ὀξεῖαι ἕξ, εἰ καὶ σπάνιον διὰ τὴν τοῦ πνεύματος συνέχειαν. Κἀκεῖνο δὲ παραφυλακτέον, ὅτι τῶν ἐγκλινομένων ἢ σπονδειακὴ προηγεῖται λέξις ἢ πυῤῥιχιακή. εἰ μὲν μὴ μονοσύλλαβον εἴη τὸ ἐπιφερόμενον μόριον, τότε τὸν ἴδιον δέχεται τόνον, οὔτε δυνάμει οὔτε ἐνεργείᾳ ἐγκλινόμενον, ἤδη φαμέν· ὀξύνομεν γὰρ τὸ φαμέν. φίλοι εἰσίν· ὁμοίως δὲ καὶ τὸ εἰσίν ὀξύνομεν.

Ἄλλου
περὶ ἐγκλινομένων λέξεων.

Πᾶν ἐγκλινόμενον ὑποτάσσεται πάντως ἐκείνῳ, ᾧ καὶ τὸν ἑαυτοῦ τόνον ἐγκλίνει, ἦλθέ τις. ἔδωκάς μοι, ἤκουσά σου.

Ὀκτὼ δὲ ὄντων τῶν τοῦ λόγου μερῶν τά, ἐν οἷς ἐστὶν ἐγκλινόμενα, εἰσὶ πέντε, ὀνόματα, ῥήματα, ἀντωνυμίαι, ἐπιῤῥήματα, σύνδεσμοι. τῶν δὲ λοιπῶν τριῶν οὐδὲν ἐγκλίνεται, οὔτε μετοχὴ οὔτε ἄρθρα οὔτε προθέσεις. Πάλιν τῶν ἐγκλινομένων τὰ μὲν κόσμου ἕνεκεν ἐγκλίνονται μόνον, ὡς τὰ ῥήματα καὶ οἱ σύνδεσμοι, τὰ δὲ σημασίας, ὡς τὰ λοιπά.

Ἐν μὲν οὖν ὀνόμασι τὸ τὶς μόνον ἐγκλίνεται καὶ αἱ τούτου πτώσεις καὶ ἀριθμοὶ καὶ τὸ οὐδέτερον αὐτοῦ τὸ τί, οἷον οἶκός τις, ἔμαθόν τινες, ἔδωκάν τινι, ἐδίδαξάν τινα, ἔλαβόν τι. ταῦτα δὲ πάντα ἐγκλινόμενα ἀόριστά ἐστι, τὸν κατὰ φύσιν δὲ τόνον ἔχοντα πευστικὰ γίνονται, τίς πόθεν εἰς ἀνδρῶν; τίνος ἡ πόλις; τίνος ἐστὶ τὸ δῶ; καὶ τὰ τούτων πληθυντικὰ ὁμοίως.

Ἐν δὲ ῥήμασιν ἐγκλίνεται τὸ φημί, πεζὸς δ' ἔνδεκά φημι, τόσσον ἐγώ φημι πλέας ἔμμεναι. τούτου τὸ δεύτερον ἀνέγκλιτόν ἐστι, λέγω δὲ τὸ φής. τὸ δὲ τρίτον φησὶν ἐγκλίνεται, τοῦτό φησιν. ἴσθ' ὅτι δὲ καὶ τὰ πληθυντικὰ ἐγκλίνονται, ἐκεῖνό φαμεν ἢ φατε ἢ φασιν. Ἔτι καὶ τὸ εἰμί, καλός εἰμι, αἵματός εἰς ἀγαθοῖο, ἄνθρωπός ἐστι. τοῦτο δὲ τὸ ἐστὶν ἐν ταῖς ἀρχαῖς τῶν λόγων βαρύνεται, ἔστι πόλις Ἐφύρη, καὶ μετὰ τῆς οὐκ ἀποφάσεως, οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ' εἰπεῖν ἔπος, καὶ μετὰ τοῦ καὶ συνδέσμου, καὶ μετὰ τοῦ ὡς ἐπιῤῥήματος πάλιν παροξύνεται, καὶ ἔστιν εἰπεῖν, ὡς ἔστιν εἰπεῖν. καὶ τὸ δυϊκὸν δὲ ἐστὸν ἐγκλίνεται, οἵ μοι σκυζομένῳ περ Ἀχαιῶν φίλτατοί ἐστον. καὶ τὰ πληθυντικά, ἄνθρωποί ἐσμεν, ἄνθρωποί ἐστε, οὗτοί εἰσι. καὶ ἐσσὶ δεύτερον ἐγκλίνεται, σχέτλιός ἐσσι γεραιέ. τὸ γὰρ εἶ, ἄνθρωπος εἶ, ἀγαθὸς εἶ, οὐκ ἐγκλίνεται, καθότι οὐ τῶν εἰς μι ἐστί. Reliqua v. apud Arcadium p. 142.

703, 6. τῶν δὲ διαστολῶν αἱ μέν εἰσι κατὰ γράμμα, αἱ δὲ κατὰ συλλαβήν, αἱ δὲ κατὰ λέξιν, αἱ δὲ κατὰ διάνοιαν. κατὰ μὲν οὖν γράμμα

καὶ Χλῶριν εἶδον ἐπικαλλέα, τήν ποτε Νέστωρ
γῆμενεον μετὰ κάλλος·

πότερον ἐὸν μετὰ κάλλος ἢ νέον; κατὰ συλλαβὴν δὲ

ἐπεικεκάμω πολεμίζων·

ἤτοι γάρ ἐστι κεκάμω, ἢ ὁ κέ σύνδεσμός ἐστι. κατὰ λέξιν ὡς Ὀνομάκλυτος ὑφ' ἓν καὶ ὄνομα κλυτὸς ἐν διαστολῇ. κατὰ δὲ διάνοιαν ὡς ἐν τῷ

ἐν λιμένι Ῥεῖθρῳ ΥΠΟΝΗΙΩΙ.

ὃ γὰρ Ἀπίων ὡς τοῦ ἐν Ἰθάκῃ λιμένος Ὑπονηΐου καλουμένου συνθέτως ἀνέγνω, ὁ δὲ Ἡλιόδωρος διαιρεῖ, ἵν' ᾖ ὑπὸ τῷ Νηΐῳ. Cod. Ottobon. 147. 21. Habet haec et Cod. Palat. 70 fol. 249. non integer. Item Ven. append. cl. 11, 4 et Barocc. 116.

704, 10. F. συγκλανόμενοι.

735, 5. ποιήματα. ἅ τινά ἐστιν ἐμμέτρων Ven. app. 11, 4.

736, 7. ἔχειν] om D: idem 8. ἄρξασθαι τὸν νέον ἀναγινώσκειν. 12. ἀναγνωστὴν D. 17. συνεργεῖν D. 19. καὶ τοῦ ἀναγν. καὶ τοῦ ἐξηγ. D. 25. ποιημάτων D, omissa altera ἤ. Conf. Valck. ad E. Hipp. 923. 26. Secundam ἢ om D.

738, 4. ἀλλὰ κατάγνωσις μᾶλλον D. 10. Ποιητικοὶ τρόποι εἰσὶν κζ΄. ζήτει αὐτοὺς ἐν τῷ περὶ τρόπων Χοιροβοσκοῦ. δεῖ δὲ τὸν γραμματικὸν καὶ κυριολογίας καὶ τροπολογίας γινώσκειν. h. 21. ὑπονοεῖ D: idem 22. ἐπιφέρει, 25. πολυπηδάκου, 29. ἀνακεφαλαιωσώμεθα. 30. δεύτερον] habet D. 31. τρόπους καὶ] τρόπους τοὺς D. 33. δευτέρῳ] δύο D.

739, 1. ὡς τῇ εἰρωνείᾳ] ὅς τις εἰρωνεία καλεῖται D. 7. ταύτῃ οὖν τῇ D. 8. μὴ ἄρα προτ. D. 16. ἱστορία δὲ ἡ τῶν παλαιῶν χρῆσις. πολλάκις δὲ αὕτη ἐναντιοῦται διαλέκτῳ. τοῦ γὰρ χίλιοι πληθυντικοῦ ὀνόματος ἀπαιτοῦντος τὴν ει δίφθογγον, καθὼς ἡ διάλεκτος, (χάνοι [an χέλλιοι?] γάρ φασιν οἱ Αἰολεῖς) ἡ ἱστορία ἐναντιουμένη διὰ μόνου τοῦ ι γράφει. Cod. Ottobon. 147 pag. 11. 29. ἢ καὶ πόλιν D. 30. κρίσις] ἀπόκρισις D.

740, 3. ἐτυμολογία ἐστὶν ἔτυμος ἑρμηνεία λέξεως, οἷον ὡς ὅταν ἐρωτηθῶμεν τί ἑρμηνεύεται πατήρ, ἐπὶ μὲν θεοῦ ἑτοίμως ἀποκριθῶμεν ὁ τὰ πάντα τηρῶν, ἐπὶ ἀνθρώπου δὲ ὁ τοὺς ἰδίους παῖδας τηρῶν. h. Proclus in Cratylum (cod. Paris. 1832 fol. 109 — 125.) §. πγ: Ὅτι τὸν ἐτυμολογήσειν μέλλοντα δεῖ τὰς τῶν διαλέκτων εἰδέναι διαφοράς· τοὺς γὰρ ὀδόντας ἔδοντας καλοῦσιν Αἰολεῖς. δεύτερον καὶ τὴν χρῆσιν τῶν ποιητῶν· λέγει γάρ τις αὐτῶν ἀχύνας τοὺς πένητας, παρὰ τὴν στέρησιν τοῦ ἔχειν ἰδίως οὕτως καλέσας. τρίτον καὶ τὰ ἁπλᾶ καὶ τὰ σύνθετα τῶν ὀνομάτων διακρίνειν, ἵνα μὴ τὸ μὲν δακρυόφιν σύνθετον εἴπῃ, τὸ δὲ φολκὸν ἁπλοῦν. τέταρτον δεῖ καὶ αὐτὸν οἰκείως τοῖς πράγμασι ποιεῖν τὰς ἀναπτύξεις τῶν ὀνομάτων, ἵνα μὴ τὸν Μελέαγρον, ὥσπερ Εὐριπίδης, κακῶς ἐτυμολογήσῃ διὰ τὴν μελέαν ἄγραν· οὐ γὰρ εἰκὸς τὸν πατέρα αὐτοῦ ἀπαίσιον ὄνομα θέσθαι τῷ παιδί· ἄμεινον οὖν ᾧ μέλει τὰ τῆς ἄγρας. τοιαῦτα δὲ καὶ τὰ τοῦ Διονυσίου, οἷον μένανδρος ἡ παρθένος. πέμπτον καὶ τὴν παρατήρησιν τῆς διαφόρου χρήσεως δεῖ ποιεῖσθαι, ὅτι νουμηνίαν μὲν Ἀττικοί φασι, νεομη-

νίαν δὲ Κρῆτες. ἕκτον δεῖ αὐτὸν εἰδέναι καὶ τὰ πάθη τῶν λέξεων, οἷον ἀποκοπάς, συγκοπάς, ἐλλείψεις, πλεονασμούς, συναλοιφάς, ἀφαιρέσεις, συνιζήσεις καὶ τὰ τοιαῦτα. ἕβδομον δεῖ αὐτὸν καὶ τὰς τῶν στοιχείων ἰδιότητας εἰδέναι· ἀπὸ γὰρ τούτων ἐσχάτων ἡ ὀρθότης δείκνυται τῶν ὀνομάτων καὶ ἡ πρὸς τὰ πράγματα συγγένεια. ὄγδοον δεῖ αὐτὸν καὶ τὰς ἀμφιβολίας καὶ τὰς ὁμωνυμίας διακρίνειν· καταχώννυται γὰρ διὰ τούτων ἡ τῶν ὀνομάτων ἀλήθεια· μαλερὸν γὰρ λέγεται καὶ τὸ μαραῖνον καὶ τὸ μαραινόμενον, ἐκμαγεῖον θ᾽ ὁ Πλάτων καὶ τὸ ἐκμάσσον καλεῖ καὶ τὸ ἐκμασσόμενον τὸν ἄλλον τύπον. δεῖ δ᾽ αὐτὸν καὶ τοὺς σχηματισμοὺς εἰδέναι οὐκ ἀεὶ πρὸς τὸν αὐτὸν λόγον γινομένους· ἄλλως γὰρ καὶ ὁ καλαμοθήρας λέγεται ὁ καλάμῳ θηρῶν, καὶ ἄλλως ὁ φυγαδοθήρας ὁ φυγάδας θηρῶν. ἔτι καὶ τὰ ἑτεροζύγως λεγόμενα δεῖ εἰδέναι, οἷον ἀπὸ τῆς ἀρετῆς οὐκ ἀρεταῖος ἀλλὰ σπουδαῖος, καὶ τὰ τοιαῦτα. καὶ τὰ βάρβαρα δ᾽ οὐ δεῖ ἀγνοεῖν, ἵνα μὴ βιαζώμεθα αὐτά, οἷον τὸν ἀκινάκην καὶ τὸν κάνδυν. τὸν μὲν οὖν ἐτυμολογήσοντα τοιαύτην δεῖ ἔχειν τὴν κριτικὴν φρόνησιν. αὐτῶν δὲ τῶν ἐτυμολογουμένων τὰ μὲν λέγεται κατὰ μίμησιν, οἷον σίζειν· τὰ δὲ κατ᾽ ἀναφορὰν τὴν πρὸς ἕτερον, οἷον θαλλός παρὰ τὸ θεῖν ἄνω καὶ ἀθῶος ὁ ἀζήμιος· τὰ δὲ καταχρηστικῶς, οἷον κακόφρων, καίτοι τὸ φρονεῖν ἀγαθόν· τὰ δὲ ψευδωνύμως, τῆς ὕλης μεταπεσούσης, οἷον πυξὶς ἡ ἀργυρᾶ· τὰ δὲ κατὰ ἱστορίαν, οἷον ὀβολός καὶ δραχμή — οἱ γὰρ παλαιοὶ σιδήροις ὀξέσιν ἐχρῶντο οὓς ἐκάλουν ὀβολούς· ἐν γοῦν τοῖς ὠνίοις οἱ ἓξ ὀβολοὶ τὴν δράκα πληροῦντες δραχμὴ ἐκαλοῦντο —· τὰ δ᾽ εἰσὶν ἐπιδιατετακότα, οἷον ζωγράφος ὁ καὶ τὰ φυτὰ γράφων· τὰ δὲ καθ᾽ ὑπερβολήν, ὡς ἄφωνος καὶ ἀκάρδιος· τὰ δὲ κατ᾽ εὐφημισμόν, ὡς ἡ χολὴ γλυκεῖα· τὰ δὲ κατ᾽ ἀναλογίαν, ὡς ὄρους κορυφή· τὰ δὲ καθ᾽ ὁμοιότητα, οἷον ὁ λέγων πικρὸν τὸ ἦθος καὶ ὠμόν· τὰ δὲ κατὰ παρέγκλησιν, ὡς ἡ κνημὶς καὶ τὸ κράνιον· τὰ δὲ κατ᾽ ἔλλειψιν, ὡς ἡ τράπεζα, τετράπεζα οὖσα· τὰ δ᾽ ἀπὸ τῶν εὑρόντων, ὡς ὁ οἶνος Διόνυσος· τὰ δ᾽ ἀπὸ τῶν εὑρημάτων, ὡς ὁ Ἥφαιστος πῦρ· τὰ δὲ καθ᾽ ὑπεροχήν, ὡς κέραμος ὁ πίθος καὶ χειρουργὸς ὁ ἰατρός· κέραμος γὰρ οὐδὲν ἧττον καὶ ἡ χύτρα καὶ ἡ κάλπις, καὶ χειρουργὸς οὐδὲν ἧττον καὶ ὁ ζωγράφος καὶ ὁ τέκτων. 10. ἐτυμολογία οὖν ὡς D.

13. εὑρίσκειν τὰς αἰτίας τίνος ἕνεκεν τόδε τοιῶσδε λέλεκται D omissis v. infer. illis τέτ. — ἐστιν. 18. καὶ βλέπε D.

ποτε δὲ ὀξύνεται. βαρύνεται μὲν εὔνουν εὔχρουν εὔπλουν, περισπᾶται δὲ κανοῦν ὀσοῦν. δικαίως οὖν καὶ ὁ οὖν σύνδεσμος περισπασθήσεται.

ιγ. πᾶσα φύσει μακρὰ πρὸ βραχείας ληκτικῆς ἐν ἑνὶ μέρει λόγου ἐφ᾽ ἑαυτῆς ἔχουσα τὸν τόνον περισπᾶται, μῆλον δῶρον οἶκος. κἂν εὑρεθῇ δὲ ἐπὶ τέλους ἡ αι δίφθογγος καὶ ἡ οι, ἀντὶ βραχειῶν λογίζονται, Μοῦσαι Αἰνεῖαι λῶροι πῶλοι κοῦραι. ἐν μὲν τοῖς εὐκτικοῖς ῥήμασιν ἢ ἐπιῤῥήμασι τέλειαι λογίζονται μακραὶ ἡ αι δίφθογγος καὶ ἡ οι. τὸ γὰρ νοῆσαι εἰ μὲν εἴη ἀπαρέμφατον, προπερισπᾶται, εἰ δὲ εὐκτικόν, παροξύνεται· τό τε οἴκοι εἰ μὲν εἴη ὄνομα, προπερισπᾶται, εἰ δὲ ἐπίῤῥημα, παροξύνεται. αἱ μέντοι τῶν ἀπιώτων ἐπεκτάσεις οὐ τρέπουσι τὴν ὀξεῖαν εἰς περισπωμένην, εἴ εἶθε, ναί ναίχι.

ιδ. πᾶσα αἰτιατικὴ μονοσύλλαβος εἰς ν λήγουσα περισπᾶται, κλεῖν λῖν μῦν. περὶ τῶν γενικῶν ἐν τῷ περὶ τῶν πτώσεων προείρηται.

τέλος τοῦ περὶ τόνου περισπωμένου.

723, 13. ὁ τὴν τ. συγγρ. τὴν γραμματικὴν Ven. app. 11, 4. Voss. 76. 17. Cod. Voss. 76 fol. 78:

ἄξιος αἰνεῖσθαι Διονύσιος, ὃς τάδ᾽ ἔγραψεν,
ἀνθρώποις ἐρατὴν δεικνύμενος σοφίην.

Conf. Peyron. p. 239.

724, 10. Vid. Bast. ep. crit. p. 148 et 281. 28. Cod. βούλομαι. Quare Meinek. (Cur. crit. in Com. fragm. p. 66.) δρᾶσαι.

725, 4. κατάρδουσα H cum Bastio. 28. εἶπας] om Ven. app. 11, 4, qui post χαῖρε inserit φαεινέ.

729, 22. Θεαγένους Cod. Ottobon. 147 p. 7. Idem mox Πραξιφάνους.

730, 22. Γραμματικὴ λέγεται παρὰ τὸ τήκειν καὶ καθαίρειν τὰ γράμματα. ὥσπερ γὰρ ὁ χρυσὸς τηκόμενος ὑπὸ τοῦ πυρός, τουτέστι χωνευόμενος, καθαρώτερος ἀναφαίνεται, οὕτω καὶ τὰ γράμματα, τηκόμενα καὶ χωνευόμενα ἤγουν καθαιρόμενα ὑπὸ τῆς γνώσεως (ἀναγνώσεως H) τῆς γραμματικῆς, λαμπρότερα καὶ φανερώτερα ἀναφαίνονται. H p. 298, Vat. 1356 *) et 1357 et

---

*) Cod. chart., f. quadr., foliorum 103. Initium: ἀρχὴ σὺν θεῷ τῶν ἐρωτημάτων Θεοδοσίου γραμματικοῦ ἀλεξανδρέως. fol. 34, post orthographica quaedam, ἀρχὴ σὺν θεῷ τῶν συνταξέων πῶς δεῖ ὀφείλειν συντάσσειν τὰς ῥηματικὰς λέξεις ἐν ταῖς τοῦ ὀνόματος

1729 *), Voss. 76, Barocc. 57, et qui Choeroboscus fertur cod. Paris. 2594 f. 105. Quem non esse Choeroboscum, vel ex illis patet quae adscribit §. 15 extr. *καὶ ἐνταῦθα μὲν ἐν συντόμῳ διέξιμεν, καθόλου δὲ ἐν τῷ ῥηματικῷ Γεωργίου καὶ Ἀπολλωνίου, εἰ θεῷ φίλον, εἰσόμεθα.* Et pleraque eadem habet Nephoni.

731, 32. *ἀποδοῦναι* Cod. Vat. 1766, chart., f. max., qui inde a f. 186 commentarios habet editis a me partim eosdem partim simillimos. Hunc posthac indicabit littera D.

732, 23. Porphyrio haec dantur Etym. Gud. p. 663.

733, 24. *διομήδους σχολιαστικοῦ εἰς τὴν διονυσίου τεχνην* h cum Ven. app. 11, 4. Vat. 1356 et 1751. Voss. 76: *Ποιηταὶ μὲν Ὅμηρος, Ἀριστοφάνης, Θεόκριτος, Ἀλκμαῖος* (sic), *Πίνδαρος, Ἡσίοδος, Ἰσοκράτης, Εὐριπίδης, Θουκυδίδης, Φωκυλίδης καὶ οἱ λοιποὶ πάντες ποιηταί· συγγραφεῖς δὲ οἱ τὰ τούτων ποιήματα συγγραψάμενοι. λέγωμεν δὲ τρανότερον περὶ ποιητῶν τε καὶ συγγραφέων. ποιητὴς μὲν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, συγγραφεῖς δὲ Ματθαῖος, Μάρκος, Λουκᾶς, Ἰωάννης.*

734, 14. Vid. Sturz. Empedocl. p. 26. n. 35. 19. Additum a me articulum habet D.

πτώσεσιν. ἀρχὴ στοιχείου τοῦ α. ἀγορανομῶ γενικῇ· ἀγορανομῶν ῥωμαίων ἐτελεύτησε δέκιος. ἀγωνίσονται γενικῇ· ἕως ἂν τῶν μαρ... ἀγωνίσονται. ἀγάλλομαι δοτικῇ· τῇ χαμευνίᾳ ἠγάλλετο ἀντὶ τοῦ ἐτέρπετο. ἀγαπῶ τὸ ἀρκῶ δοτικῇ· οὐκ ἀγαπῶν τοῖς ὑπάρχουσιν αὐτῷ. ἀγαπῶ τὸ φιλῶ αἰτιατικῇ· ἀγαπᾷς με πλέον τούτων. ἀγορεύω δοτικῇ· ὑπαγορεύων μυροφόροις. F. 55 *φράσις τρόπων ποιητικῶν.* F. 62 *ἕτεροι τρόποι ποιητικοὶ κζ, δηλωτικοὶ συνεσκευασμένης φράσεως, ῥητορικῆς καὶ λογικῆς παιδεύσεως.* F. 72 *διάλεκτοί εἰσι πέντε.* F. 80 *περὶ ῥαψῳδίας* (similia iis quae p. 765—8 leguntur). F. 88 *περὶ ἐγκλινομένων. ἰστέον δὲ ὅτι τὰ ἐγκλινόμενα ἐν ὀνόμασι καὶ ἐν ἀντωνυμίαις καὶ ἐν ῥήμασι καὶ ἐν ἐπιῤῥήμασι καὶ ἐν συνδέσμοις. καὶ ἐν ὀνόμασι μὲν τὸ τις καὶ ἓξ πτώσεις, ἄνθρωπός τις, ἄνθρωποί τινες — ὀξύνομεν γὰρ τὸ φαμὲν φίλοι εἰσίν· ὁμοίως καὶ τὸ φησὶν ὀξύνομεν.* F. 87 *περὶ βαρβαρισμοῦ καὶ σολοικισμοῦ.* F. 89 *τοῦ περιτίμου ἐν φιλοσόφοις κυροῦ μιχαὴλ τοῦ ψελλοῦ σύντομος ἐξήγησις περὶ τῶν ὀκτὼ μερῶν τοῦ λόγου τοῦ μὴ βαρβαρίζειν καὶ σολοικίζειν ἐν ταῖς τοῦ λόγου συντάξεσιν. χρὴ οὖν γινώσκειν, ὦ προσφιλτατε, ὅτι, ὡς οἶδας, πάντα τὰ μέρη τοῦ λόγου ὀκτώ εἰσιν κ. τ. λ.*

*) Cod. chart., f. quadr., qui ab initio habet orationes aliquot Gregorii Nysseni et Symeonis *τοῦ νέου θεολόγου*, deinde rhetorica quaedam Trophonii Sophistae, inde a folio 98 *θεοδοσίου γραμμ. ἀλεξ. π. προσῳδιῶν.*

22. φημὶ γνῶστα ὅτι γνωστὰ ἐν τοῖς ἀκούουσι ποιεῖ τὰ ἐν τῷ νῷ D. 28. νῦν] τοίνυν D.

741, δὲ] οὖν D. 22. ὡς προείρηται ἄνω, τμηθὲν εἰς τρία. ἔστι δὲ τρίτον — D. 24. Κρίσις ποιημάτων μὲν ἡ ἀκριβὴς γνῶσις τῶν ποιημάτων λέγεται. ταύτῃ τῇ ἠκριβωμένῃ γνώσει χρώμενος ὁ γραμματικὸς δεῖ γινώσκειν τὰ βιβλία τῆς ἐκκλησίας πάντα, τουτέστι τὴν παλαιὰν καὶ νέαν διαθήκην, ἵνα ὅταν ἀκούσῃ φωνὴν ξένην καὶ σύγγραμμα ἢ ποίημα ψευδές, μὴ δέξηται αὐτὸ ὡς ἀληθινόν, ἐπειδὴ ἔστιν εὐαγγέλιον κατὰ Θωμᾶν λεγόμενον. δεῖ δὲ διαγινώσκειν τὸν γραμματικὸν τὰ ὀνόματα καὶ τὰς φωνὰς τῶν εὐαγγελιστῶν, ἵνα μὴ ἀλλότριον καὶ ψευδὲς εὐαγγέλιον δέξηται. ἀλλὰ καὶ ὁμωνύμως ψευδῆ συγγράμματά εἰσιν, οἷον ἡ λεγομένη ἀποκάλυψις τοῦ ἁγίου Παύλου. οὐ γάρ ἐστι τοῦ ἁγίου Παύλου, ἀλλ' ἑτέρου, αἱρετικοῦ, τοῦ Σαμωσατέως, ὅθεν οἱ Παυλινιανοὶ κατάγονται. καὶ ἑτέρα ἀποκάλυψις ἡ λεγομένη τοῦ Θεολόγου. οὐ λέγομεν δὲ τὴν ἐν Πάτμῳ τῇ νήσῳ· μὴ γένοιτο· αὕτη γὰρ ἀληθεστάτη ἐστίν· ἀλλὰ τὴν ψευδώνυμον καὶ ἀλλότριον. δεῖ δὲ τὸν γραμματικὸν καὶ τὰ Ἑλληνικὰ βιβλία γινώσκειν. εἰσὶ γὰρ καὶ ἐν αὐτοῖς ὁμώνυμα βιβλία ψευδῆ, οἷον ἡ ἀσπὶς Ἡσιόδου καὶ τὰ Θηριακὰ Νικάνδρου· ἑτέρων γάρ εἰσι ποιητῶν, ἐχρήσαντο δὲ οἱ συγγραφεῖς τῇ ὁμωνυμίᾳ Ἡσιόδου καὶ Νικάνδρου, ἵνα ἄξια κριθῶσιν ἀναγνώσεως. Vat. 1356 f. 5. et h.

742, 3. ἰδέας] αἰτίας D. idem ἀποφαίνεσθαι, ὃ δὴ κάλλιστόν ἐστι πάντων τῶν ἐν τῇ τέχνῃ. εἰ γὰρ — Et 5. δύναται· διὸ καὶ Διονύσιος προετίμησε τοῦτο τὸ μέρος τῶν ἄλλων. τινὲς δέ φασιν ὅτι κριτὴς ὢν ὁ Διονύσιος τούτων ἕνεκεν τῶν ἄλλων μερῶν τοῦτό φησι κάλλιστον εἶναι.

743, 16. ἀναγνῶσαι Schaefer. ad Corinth. p. 504. 25. ἄπταιστος D. προφορὰν δὲ τὴν διὰ φωνῆς ἐκφορὰν τοῦ λόγου νόησον. ἔστι γὰρ λόγος προφορικὸς ὁ διὰ φωνῆς ἐκφερόμενος, καὶ ἔστι λόγος ἐνδιάθετος ὁ ἐν τῇ καρδίᾳ μελετώμενος. πρότερος δέ ἐστιν ὁ ἐνδιάθετος τοῦ προφορικοῦ· πρότερον γὰρ μελετῶμεν ὃ θέλομεν εἰπεῖν ἐν τῇ καρδίᾳ ἡμῶν ἐνδιαθέτως, καὶ οὕτω τότε προφορικῶς ἐκφέρομεν h.

744, 1. Rectius h: Ὑπόκρισίς ἐστι φωνῆς καὶ σχήματος πιθανὴ διάθεσις, πρέπουσα τῷ ὑποκειμένῳ προσώπῳ καὶ πράγματι.

13. τόνους] εἴρηνται δὲ ἐκ μεταφορᾶς τῶν ἐν τῇ κιθάρᾳ νευ-

ρῶν τεινομένων· οἱ γὰρ τόνοι ἀπηχήματα μουσικῆς εἰσὶν h.

26. Praepositionem om D.

745, 3. γραΐδας ἢ δεδοικότας ἢ ὀργιζ. ἄνδρας D, qui 4: εἰσαγομένοις.

746, 1. h: τραγῳδία καθ' Ὅμηρον ἔπαρμά ἐστι φωνῆς. τὴν γὰρ τῆς Ἰλίου πόλεως ἅλωσιν καὶ συμφορὰν ἐν ὑψηλῇ φωνῇ ἐτραγῴδησε, τοιάδε λέγων

ἄνδρες μὲν κτείνουσι, πόλιν δὲ πῦρ ἀμαλδύνει,
τέκνοι δ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας.

5. λογικοὶ D, et 6. παραλαμβάνοντες. 11. ἁμαρτήσαντες] ἁμαρτημάτων αὐτοῖς προϋπηργμένων D: idem 25. φευκτέον. 30. Articulum om D. 32. τρεφ.] στεφάνους D.

747, 29. Articulum om D. Idem ἀθήναις, et 30. περὶ, omissa quae v. 31. est, περί. Mox idem ἀγυιὰς ἔνθα ἔμενον οἱ βλάπτοντες αὐτοὺς ἔλεγον.

748, 5. ἐπονείδιστον ποιεῖν τὸν ἀδικοῦντα· τὸν δὲ ἐμφανῆ γενόμενον τοῖς τῆς πόλεως αἰδεῖσθαι D. 9. ὅθεν — 16. ἀνδράσιν] om D. Idem 18. ἐμψύχου et 20. μνήμης. 21. Vid. Pearson. Vindic. Ignat. 2. p. 11. Bentl. upon Phalaris (ed. Lond. a. 1699). p. 202 et 504. Valcken. ad Theocrit. 1, 65 et de Aristobulo p. 78. n (15). 22. λέξεως Ven. app. 11, 4. 22. τάδε λέγει Ven. app. 11, 4 et D.

23. φιλήνης μεγὰρ ὅθεν τρίποδος κίων D. γεγαρόθου τριποδίσκος Ven. app. 11, 4. 30. ἡ μὲν κωμῳδία τὸν βίον συνίστησιν, ἡ δὲ τραγῳδία διαλύει. Theodosius.

749, 24. h: κωμῳδίαν δὲ οἱ ἀρχαῖοι ψόγον καὶ περίσυρμα ἔλεγον εἶναι. ἐγὼ δὲ λέγω ὅτι καὶ ἐπὶ ἐπαίνου καὶ ἐπὶ ψόγου παραλαμβάνεται. βιωτικῶς γὰρ εἶπεν ὁ τεχνικός, τουτέστι κατὰ τὸν ἑκάστου βίον. βίος γὰρ δίκαιος καὶ βίος ἄδικος. οἷον ὁ βίος τοῦ ἁγίου Πέτρου καλός, ὁ δὲ τοῦ Ἰουλιανοῦ κακός. ὅταν οὖν ἑκατέρου μνημονεῦσαι θέλωμεν, ἐπὶ μὲν τοῦ ἀποστόλου πραεῖαν καὶ ἱλαρὰν τὴν φωνὴν ἀφίεμεν, πρέπουσαν τῷ βίῳ αὐτοῦ, ἤγουν „ὁ μακαριώτατος ἀπόστολος, τῶν προσκαίρων ἀγαθῶν καταφρονήσας, ἠκολούθησε τῷ Χριστῷ·" ἐπὶ δὲ τοῦ Ἰουλιανοῦ τραχεῖαν καὶ κατάπικρον φωνὴν ἀφίεμεν, πρέπουσαν τῷ βίῳ αὐτοῦ, οἷον „ὁ ἀθλιώτατος Ἰουλιανὸς διὰ πρόσκαιρον ἀπόλαυσιν ἀπέστη ἀπὸ τοῦ Χριστοῦ."

750, 6, τρόπῳ] μέτρῳ D: idem 15. ὀξύτερα τινὰ παρεισάγει.

751, 5. ἐκάλεσαν D. 7. ἱστορίας D. 19. h: λυρικὴ ποίησίς ἐστιν ἡ τὰ ᾀσματικά, τουτέστι τὰ ψαλτικά, ποιήματα περιέχουσα. δεῖ δὲ τὸν ποιητὴν ἔμπειρον εἶναι τῆς μουσικῆς, ἵνα μελίζῃ καλῶς τὰ ποιήματα· οἷον ἐάν τις θέλῃ ποιῆσαι κανόνα, πρῶτον δεῖ μελίσαι τὸν εἱρμόν, εἶτα ἐπαγαγεῖν τὰ τροπάρια ἰσοσυλλαβοῦντα καὶ ὁμοτονοῦντα τῷ εἱρμῷ, καὶ τὸν σκοπὸν ἀποσώζοντα. 21. ἔσκοπται D: idem διπλάσιον, et 22. τό τε μέτρον, 25. γεγόνασι δὲ λυρικοί, 27. αλαμὰν αλκαῖος βακχ.
30. Theodosii haec sunt.

752, 19. αὐτὸν τὸν τεθνεῶτα. διδάσκει D.

753, 24. τοῦτο ὅτι D. 26. ἐξευτελίζει, ἀφανίζει D.

754, 1. ὅθεν δεῖ ἐκ. — παραφυλάττειν D.

756, 23. πλεῖστον D, et 24. δύο· ποτὲ δὲ συνερχομένων εἰς μίαν, καί, et 27. συλλαβῶν συνενουμένων ἐξ.

758, 4. „In alio codice Στεφάνου περὶ στιγμῆς" margo H.
14. ὀκτὼ δέ εἰσι, καὶ οὐ πλείους, δι' ἣν αἰτίαν ἐροῦμεν. τὸ τῆς φωνῆς διανάπαυμα ἢ ἀποκαταστατικὸν ὅλης ἐννοίας, καὶ καλεῖται ὑπερτελεία, ὡς τὸ ὃ καὶ ἄλλῳ τινὶ τῶν πρὸ ἡμῶν πεφιλοσόφηται κάλλιστά τε καὶ ὑψηλότατα· ἢ ἀποκαταστατικὸν μερικῆς ἐννοίας ἐντελοῦς κατὰ λέξιν, καὶ ποιεῖ τελείαν, ὡς τὸ Χριστὸς γεννᾶται· ἢ ἀποκαταστατικὸν μὲν μερικῆς ἐννοίας, οὐκ ἐντελοῦς δὲ κατὰ λέξιν, καὶ καλεῖται ὑποτελεία, ὡς τὸ Χριστὸς ἐκ παρθένου (προσυπακούεται γὰρ ἄνωθεν τὸ γεννᾶται)· ἢ συμπληρωτικὸν μὲν μερικῆς ἐννοιας — —. Cod. Barocc. 72 f. 204.

759, 12. οὐκέτι D. 21. ὅταν ἔλθω D. 22. ἀναγκ. με ἐπαγ. D.

763, 11. διατύπωσιν τὴν περὶ D. 19. εἶπας D. 30. ἐν δὲ τούτῳ] ἔφη δὲ D.

764, 25. πλαγίου νυγμὴ νεύουσα D.

766, 7. ἕκαστον οὖν τούτων D. 22. ὑγιῆ τέλειον ποιοῦντας D.

767, 20. ἢ δεύτερον ηὕρισκε D.

768, 1. ὁμοφρόνως D. 13. πεισίσρ. ὡς σπουδ. D.
15. ἐξεκύλισσε D.

770, 22. ὁ Δημόκριτος καὶ ὁ Ἐπίκουρος καὶ οἱ Στωϊκοὶ σῶμα λέγουσι τὴν φωνήν, ὅτι πᾶν ὃ ἔχει ἐνέργειαν καὶ πάθος, ἤγουν δύναται δρᾶσαι καὶ παθεῖν, σῶμά ἐστι. Theodosius vel Theodorus Prodromus cod. Paris. 2555.

772, 29. Deleto καθώς haec reponenda e D: ὡς καὶ ἐν τοῖς προλαβοῦσιν. εἰπὼν γὰρ „περὶ γραμματικῆς" ἐπιφέρει γραμματική ἐστι καὶ „περὶ ἀναγνώσεως" ἀνάγνωσίς.

773, 1. ἐπειδὴ δὲ τοῖς D. 3. ζητεῖν, θέλει ἡμᾶς ἐπιστῆσαι ὅτι ἀναγκαῖόν ἐστι πρῶτον ἀναγνῶναι τὸ τοῦ ς. D

774, 5. τοῖς] δύο D. 22. στοιχεῖόν ἐστιν ἀλλὰ γράμματά ἐστιν D. 31. τὸ πνεῦμα om D. Idem lacunam explet: ἐξετάσωμεν ποῖαι αἱ ἐκφωνήσεις αὐτῶν εἰσίν. εὑρίσκομεν οὖν.

775, 33. ἡ ποτὲ μὲν ἐν δ. σ. ἐκφωνουμένη D.

776, 13. ἐπὶ δὲ τοῦ D. 20. ῡ οὐδέποτε ψιλοῦται D.

777, 4. διαφοράς. τὰ δ̄ ἀμετάβολα, φημὶ δὴ λ̄ μ̄ ν̄ ρ̄, ἔχει ὀκτὼ διαφοράς. ποτὲ μὲν μηκύνει — D. 11. τῶν συμφώνων] om D. 14. ὥςτε πάσας D. 19. ἐστὶν παρ᾽ αὐτοῖς ψιλὴν ἐκφώνησιν ἐχούσης ου διφθ D. 27. προστίθεται δὲ καὶ τὸ Γ παρ᾽ Αἰολεῦσι καὶ Ἴωσι καὶ Δωριεῦσι καὶ Λάκωσι καὶ Βοιωτοῖς, οἷον ἄναξ γουάναξ, ἕλενα γουέλενα. ἅπαξ δὲ παρ᾽ Ἀλκαίῳ τὸ ῥήξεις γούρηξεις εἴρηται. Πάθη τῶν λέξεων cod. Paris. 2594 f. 142. v.

780, 22. ἀντὶ] ἐπὶ D. 24. ἀντὶ] ἐπὶ D. 25. ἦν δὲ] habet D. 26. διὸ ὅτε D. 31. ὅτι ὲ ποιητικοῦ τινὸς ἀνδρὸς καὶ μουσικοῦ ἡ τῶν στοιχείων εὕρεσις ἦν, σημεῖον τὸ πάλαι τοὺς αὐτοὺς εἶναι διδασκάλους καὶ μουσικῆς καὶ γραμματικῆς, ὡς ὁ Εὔπολις εἰσάγει ἐν Αἰξὶ καὶ Ἰσοκράτης ὁμοίως ἐν τῷ περὶ τῆς ἀντιδόσεως. Theodos. Εὑρίσκει — ἐφευρίσκει τις τὸ ἐπινοεῖν πρός τι καὶ ἕτερόν τι, εἶτα τοῦτ᾽ ἐκείνῳ προστίθησι. καὶ ἔστι μὲν αὖθις καὶ μετ᾽ αὐτοῦ τοῦ προστεθέντος ἐκείνῳ ὃ καὶ πρότερον ἦν· ἀλλ᾽ οὖν τῇ ἐκείνου ἐφευρέσει τε καὶ προσθήκῃ χρησιμώτερον ἀποπέφανται. οἷον λέγεταί τίς Θρᾲξ Διονύσιος ἐξευρεῖν τινὰ τῶν γραμμάτων ἀπὸ τῆς τῶν Φοινίκων γλώττης, ᾧ προσεφεῦρέ τις τινα τῶν διπλῶν, ψαλίδα εἰπὼν τὴν σπαλίδα, ἀντιστρόφως τὰ σύμφωνα θείς. Cod. Vatic. 1410. Ἐρώτημα. Πόθεν

εὑρέθησαν τὰ γράμματα; Ἀπόκρισις. Κατὰ μὲν τὴν Ἑβραϊκὴν ἱςορίαν ἀπὸ τοῦ Σὴθ τῦ υἱῦ τῦ Ἀδάμ, κατὰ δὲ τοὺς Ἕλληνας ἄκουε. οἱ Ἕλληνες οὐ γράμματα εἶχον, ἀλλὰ διὰ φοινίκων γραμμάτων ἔγραφον τὰ ἑαυτῶν Ἑλληνικά· πάντα γὰρ κατὰ μίμησιν τῶν Ἑβραϊκῶν τοῖς Φοίνιξιν εὑρέθη. Παλαμήδης δὲ ὕστερον ἐλθὼν ὁ ῥήτωρ εὗρε τὰ δεκαὲξ γράμματα ταῦτα α – υ. ἕτερος δέ τις, Κάδμος ὀνόματι ὁ Μιλήσιος, προςέθηκεν αὐτοῖς τὰ τρία δασέα, καὶ πολλῷ χρόνῳ τὰ δεκαεννέα μόνα ταῦτα ἐχρῶντο οἱ Ἕλληνες, μὴ ἔχοντες δὲ τὸ ψ τὴν ψαλίδα σπαλίδα ἔλεγον. Σιμωνίδης δὲ ὁ ἀπὸ τῆς Χίου ἕτερα δύο ἐφεῦρε γράμματα, τὸ η καὶ τὸ ω. Ἐπίχαρμος δὲ ὁ Συῤῥακούσιος προσέθηκεν αὐτοῖς τὰ τρία διπλᾶ, καὶ οὕτως ἐπληρώθη τὰ κδ γράμματα. Cod. Vatican. 1751 f. 1 *).

781, 5. Τινὲς παραναγινώσκουσιν ἐν τῇ κωμῳδίᾳ· ἔσωσά σ' ἐκ τῶν σιγμάτων Εὐριπίδου. τὸ δὲ ἀληθέστερον κατὰ διάστασιν ἀναγινώσκεται, οἷον ἔσωσά σ' ἐκ τῶν σίγμα, καὶ ἐπιφέρεται τῶν

---

*) Cod. chart., f. quadr., fol. 318. ἀρχὴ σὺν θεῷ ἁγίῳ τῆς γραμματικῆς πρακτικῆς τε καὶ θεωρητικῆς, συντεθεῖσα ἐκ διαφόρων, τοῦ τε Ἡρωδιανοῦ καὶ Θεοδοσίου. f. 17 Γεωργίου γραμματικοῦ τοῦ Χοιροβοσκοῦ περὶ γραμματικῆς (p. 675, 31.) f. 54 Γρηγορίου μητροπολίτου Κορίνθου, τοῦ πρότερον Πάρδου ἀνομάζομένου, περὶ συντάξεως τοῦ λόγου. Ὀκτώ εἰσι πάντα τὰ μέρη τοῦ λόγου κ. τ. λ. f. 65 Μιχαὴλ πρεσβυτέρου καὶ συγκέλου τοῦ ἀποςολικοῦ θρόνου τῶν Ἱεροσολύμων μέθοδος περὶ τῆς τοῦ λόγου συντάξεως. f. 105 τοῦ μακαρίτου ὑπερτίμου καὶ προέδρου τῶν φιλοσόφων κυροῦ Μιχαήλου τοῦ Ψελλοῦ ςίχοι πολιτικοὶ πρὸς τὸν βασιλέα κύριον Κωνσταντῖνον τὸν Μονομάχον περὶ γραμματικῆς.

Μελέτω σοι γραμματικῆς καὶ τῆς ὀρθογραφίας·
πρῶτος αὕτη θεμέλιος καὶ βάσις μαθημάτων κ. τ. λ.

f. 110 μάθε καὶ χρῆσιν, δέσποτα (vid. Tittmann. Zonar. p. CXV). f. 115 περὶ πνευμάτων τοῦ σοφωτάτου Θεοδωρίτου. f. 130 περὶ τῶν τονιζομένων λέξεων κατὰ στοιχεῖον. ἐξεβλήθησαν ταῦτα ἐκ τῶν τοῦ Χοιροβοσκοῦ Φιλοπόνου Τρύφωνος καὶ ἑτέρων πολλῶν. f. 145 κανὼν ἄριστος περὶ αὐθυποτάκτων καὶ ἀνυποτάκτων. ὧν τὸ ῥῆμα βαρύνεται, ἡ μετοχὴ ὀξύνεται, τὸ ἀπαρέμφατον περισπᾶται, τούτων τὰ δεύτερα καὶ τρίτα πρόσωπα τῶν ἑνικῶν καὶ τὰ πρῶτα τῶν πληθυντικῶν αὐθυπότακτά εἰσιν, οἷον δάκω δακὼν δακεῖν δάκῃς δάκῃ δάκωμεν. f. 147 κωνσταντῖνος ὁ λάσκαρις ἰακώβῃ ξυμένῃ τῷ μουλιέρῳ μυστικῷ τοῦ ἀντιβασιλέως νήσου τῆς σικελίας εὖ πράττειν (mitto ei quae post Theodosium excerpsit ἐκ τῆς Ἡρωδιανοῦ μεγάλης προσῳδίας). f. 156 τοῦ σοφωτάτου ἀνδρὸς Μαξίμου τοῦ Πλανούδη περὶ τῆς συντάξεως τῶν ῥημάτων. τῶν ῥημάτων τὰ μὲν οὐδαμῇ μεταβαίνου-

Εὐριπίδου, ἵνα εὑρεθῇ τὸ ἄρθρον ἐπιφερόμενον, λέγω δὲ τὸ τῶν. Choerob. ad Theodos. f. 179. Conf. Porson. ad Eur. Med. 476 et Riemer. v. *σίγμα.*

785, 15—34. Theodosii haec sunt.

786, 18. Paullo aliter Cod. Ottobon. 173 f. 168 v: *Ἰστέον ὅτι τῶν ἀρχαίων οἱ μὲν βουστροφηδὸν ἔγραφον τὰ γράμματα, οἱ δὲ κιονηδὸν, οἱ δὲ πλινθηδὸν, οἱ δὲ σπειρηδόν. καὶ βουστροφηδὸν μὲν ὡς ἐπὶ τούτοις*

α	β	γ	δ	ε	ζ	η	θ
π	ο	ξ	ν	μ	λ	κ	ι
ρ	σ	τ	υ	φ	χ	ψ	ω·

κιονηδὸν δὲ ὡς ἐπὶ τούτοις

α	ε	ι	ν	ρ	φ
β	ζ	κ	ξ	σ	χ
γ	η	λ	ο	τ	ψ
δ	θ	μ	π	υ	ω·

σαν εἰς ἕτερον πρόσωπον ἐν τῷ λόγῳ τὴν σύνταξιν ἔχει, διὸ καὶ ἀμετάβατα προσηγόρευται, οἷόν ἐστι τὸ ζῶ πλουτῶ ὑγιαίνω καὶ τὰ τοιαῦτα κ. τ. λ. f. 174 *ἕτερον περὶ συντάξεως ῥημάτων κατὰ ἀλφάβητον. ἀκούω γενικῇ· τοιγαροῦν ἀκούσατε θείας φωνῆς. ἀντὶ δὲ τοῦ νοήσατε αἰτιατικῇ, ὡς τὸ ἀκούσατε πάντα τὰ ἔθνη καὶ τὰ περίχωρα τῆς οἰκουμένης.* in fine: *θεοῦ τὸ δῶρον καὶ μμανουὴλ πόνος.* f. 225 *περὶ τῶν ῥημάτων τῶν μέχρι παρατατικοῦ κλινομένων.* f. 227 *περὶ συνωνύμων ῥημάτων κατὰ ἀλφάβητον. Ἀγαπῶ φιλῶ ἀσπάζομαι στέργω ποθῶ ἐρῶ. ἀγρυπνῶ γρηγορῶ ἰαύω. ἀγοράζω ὠνοῦμαι πρίαμαι κ. τ. λ.* f. 235 *περὶ ἀνωμάλων ῥημάτων κατὰ ἀλφάβητον. Ἀπὸ τοῦ ἄζομαι τὸ ξηραίνω ἀάσθην ἀόριστος πρῶτος παθητικὸς ἀντὶ τοῦ ἐξηράνθην. Ἄγαμαι ὁ μέλλων ἀγάσομαι, ὁ ἀόριστος ἠγάσθην, ὁ μέσος ἀόριστος ἠγασάμην κ. τ. λ.* f. 242 *περὶ τῶν κανονισμάτων ῥημάτων ἐκ τῶν τοῦ Ὁμήρου. Ὀλέκοντο· ἀπὸ τοῦ ὀλώλεκα ἐνεστὼς ὀλέκω, ὡς ἀπὸ τοῦ δέδοικα δεδοίκω. δέχθαι ἀντὶ τοῦ δεδέχθαι· ἔστι δὲ τῶν Ἰώνων κ. τ. λ.* f. 265 *Γρηγορίου μητροπολίτου Κορίνθου περὶ διαλέκτων.* f. 285 *Ἀττικισμοί. Ἀντὶ τοῦ εἰπεῖν μνημονεύω τοῦ δεῖνος* (Villois Anecd. 2. p. 79) — *Ἀντὶ τοῦ εἰπεῖν ἀλαζονεύεται ἀνασπᾷ τὰς ὀφρῦς.* f. 288 nonnulla *πάθη λέξεων*, initio manca. f. 289 *ἕτερα πάθη λέξεων.* f. 291 *τοῦ αὐτοῦ περὶ τρόπων ποιητικῶν.* f. 295 *Γεωργίου τοῦ Χοιροβοσκοῦ περὶ τῶν ποιητικῶν τρόπων.* f. 299 *Ἡρωδιανοῦ περὶ ἐγκλινομένων καὶ ἐγκλιτικοῦ καὶ συνεγκλιτικοῦ.* f. 302 *Ἰωάννου γραμματικοῦ Χάρακος περὶ τῶν ἐγκλινομένων.* f. 307 *Ἡρωδιανοῦ περὶ διχρόνων.* f. 316 *τὰ κατ᾽ ἐπέκτασιν σεσημειωμένα.*

πλινθηδὸν οὕτως

α β γ δ ε ζ
η ω
θ ψ
ι χ
κ φ
λ υ
μ τ
ν ξ ο π ρ σ.

σπειρηδὸν οὕτως

α θ ι π ρ ω
β η κ ο σ ψ
γ ζ λ ξ τ χ
δ ε μ ν υ φ.

ἃ δὲ νῦν ἡμεῖς λέγομεν, λέγονται σχιδὸν παρὰ τὸ διεσχίσθαι τοὺς στίχους. εἰσὶν οὖν ταῦτα·

α β γ δ ε ζ η θ ι κ λ μ
ν ξ ο π ρ σ τ υ φ χ ψ ω.

788, 21. *Περὶ τοῦ α̅ πῶς προτέτακται. Διὰ τί ἀπὸ τοῦ α̅ ἄρχονται* τὰ στοιχεῖα; φαμὲν ὅτι ἐχρῆν τὰ στοιχεῖα οὐκ ἀπὸ συμφώνου ἀλλ' ἀπὸ φωνήεντος ποιήσασθαι τὴν ἀρχὴν ὡς τιμιωτέρου ὄντος. καὶ ἄλλως προτέτακται τῶν στοιχείων διὰ τὸ μόνον ἄρχεσθαί [τε ἀφ' ἑαυτοῦ] καὶ εἰς ἑαυτὸ καταλήγειν. καὶ ἄλλως ἐπειδὴ εὐθέως τικτόμενα τὰ παιδία ἐν τῷ κλαίειν τῇ ἐκφωνήσει τὸ α̅ λέγει. *Καὶ ἄλλως διὰ τί οὐκ ἤρξατο ἀπὸ τῶν βραχέων, ἀλλ' ἀπὸ τῶν διχρόνων;* λέγομεν, τὰ μὲν μακρὰ μεταγενέστερά εἰσι τοῦ α̅· ὕστερον γὰρ γεγόνασι· τὰ δὲ βραχέα μονόχρονά εἰσι. λοιπὸν ἐκ τῶν διχρόνων ἤρξατο· ταῦτα γὰρ καὶ τοῖς μακροῖς ἐκτεινόμενα ἰσοδυναμοῦσι καὶ τοῖς βραχέσι συστελλόμενα. *Διὰ τί μὴ ἀπὸ τοῦ ι̅ καὶ υ̅ ἤρξατο;* ἐπειδὴ ταῦτα ὑποτακτικὰ αὐτοῦ εἰσίν, οἷον α̅ι̅, α̅υ̅. *Περὶ τοῦ β̅. Διὰ τί τὸ β̅ προετάγη τοῦ γ̅;* λέγομεν ὅτι ἔδει τὸ γ̅ προταγῆναι, ἐπειδὴ πολλάκις τὸ β̅ πέφυκεν ὑποτάσσεσθαι τῷ γ̅ κατὰ σύλληψιν, βλάγβα· σημαίνει δὲ τὸν ἀπὸ τοῦ βλακτὶς καταβαινόμενον. *Περὶ τοῦ γ̅. Διὰ τί* et sic porro per totam litteraturam. Cod. Ottobon. 173 f. 166. r. 30. ἀποτελεῖ, καὶ μάλιστα D.

789, 26. ἐν ἐπιπλοκῇ] om D. habet autem id quod addidi hic et v. 27.

790, 6. προσθέσει τοῦ σ καὶ D. 9. ὅτι καὶ πάνυ. ὥσπερ γὰρ τὸ τεῖχος D.

797, 19. 21. ἐκφωνοῦντας D. 22. ἐπιμηκύνοντα τῶν φωνητικῶν ὀργάνων τὴν φυσικὴν ἐπιτηδειότητα D. 27. Articulum habet D.

798, 11. Δεῖ γινώσκειν ὅτι τινές, ὧν εἷς ἐστι καὶ ὁ Τρύφων, ἠθέλησαν φυσικῷ λόγῳ ἐξετάσαι καὶ εἰπεῖν ὅτι τὸ η καὶ τὸ ω ἐν τοῖς παρῳχημένοις μείζονά εἰσι τοῦ η καὶ τοῦ ω τῶν ἐν τῷ ἐνεστῶτι. ἀλλὰ πρὸς τοῦτο λέγει Ἀπολλώνιος ὁ τεχνικὸς ὅτι, ὥσπερ τὰ σώματα τὸ ἴδιον μέγεθος ἀπολαβόντα ἀνεπαύξητα καθεστήκασι, τὸν αὐτὸν τρόπον καὶ τὰ τέλεια μεγέθη τῶν μακρῶν οὐ δύνανται πλέον μεγεθύνεσθαι. Choerob. in Theodos. fol. 234. r. Conf. Jul. Caes. Scaliger. de causis L. L. 16. 25. λέγει εἶναι βραχύτερον D.

799, 5. ἐὰν δὲ ξένον ἴδῃ, εἰ καὶ συμπράττει καὶ ὑπερασπίζεται, ἀλλ᾽ οὐχ ὅλῃ τῇ ψυχῇ τοῦτο ποιεῖ, ὅθεν καὶ ὑδρανέστερον ἀμφοτέρων ἡ δύναμις ὀφθείη πρὸς τοὺς ἐξ ἐναντίας D. 9. δύναμιν ἐπὶ τοῦ ο ὡς D. 10. ἀνατρέψας D. 16. ὡς ἐπὶ τοῦ η καὶ ω, ξενοφῶν D. 18. μὲν] om D. 24. ὥσπερ οὖν καὶ D. 25. εἴς τι ε τρέπει αὐτὸ, δηλονότι τὸ ε βραχ. D. 30 — 34. Theodosii sunt.

801, 6. τρίχρονα, ὡς ποτὲ μὲν ἔχοντα δύο χρόνους, ὅτε μακρά ἐστι, ποτὲ δὲ ἕνα, ὅτε βραχέ᾽ ἐστίν. ἀλλ᾽ οὐ καλῶς οὗτοι ὠνόμασαν αὐτὰ τρίχρονα· οὐ D. 8. ποτὲ D. 11. καὶ κοινά] om D. 19. ὑποτακτικῶν τοῦ ι D.

802, 7. δὲ δεῖ] habet D. 13. ἐπαρκεῖν D 16. ὡς om D. βάτουλος καὶ] om D. 17. εἰ ἦν ἡ υ συλλαβὴ κατ᾽ ἰδίαν καὶ τὸ ι κατ᾽ ἰδίαν συλλαβὴ τόνον ἔχον διηρ. D. τοῦ υ καὶ τοῦ α D. 19. ὡς καὶ ἐν ἄλλαις λέξεσιν κατ᾽ ἰδίαν ἐν συλλαβῆς τόπῳ D. 21. βάλλομεν πρὸ τριῶν D. 23. τῆς ἄρπυια] τοῦ ἅρπυιά D. 24. φαμεν D. 26. ἐλεγχούσης D.

803, 5. ἐξ ἀλλὰ δυοκαίδεκα D. 9. ὡς] ἃς D. 30. αὕτη ἡ εἰς D. 31. μέν ἐστι τέσσαρα D. ἃ] ὡς D. 32. μένοντα D.

804, 28. Πάλιν τὸ οὐρῶ. οὔρουν] om Ven. append. 11, 4.

805, 9 ἐγένετο τῆς φωνῆς D. 10. καὶ αὐτὰ] καθ᾽ ἑαυτὰ D. 15. καὶ ἐπὶ τῶν D.

806, 14. Ἄξιόν ἐστι ζητῆσαι διὰ τί ἡμίφωνα λέγεται. καὶ ἔστιν εἰπεῖν ὅτι οὐχ ὥσπερ ἡμικύκλιον λέγομεν, οὕτω καὶ ἡμίφωνον λέγομεν. καὶ γὰρ τὸ ἡμικύκλιον τέλειον κύκλον ποιεῖ, τὰ δὲ ἡμίφωνα οὐχ οὕτως ἔχουσιν· οὐ γὰρ τὸ ἡμίφωνον λαμβάνον ἕτερον ἡμίφωνον φωνὴν ἀποτελεῖ τελείαν. ἀλλ' οὔτε ὥσπερ ἡμίονος λέγεται, οὕτω καὶ ἡμίφωνα λέγεται. καὶ γὰρ ἡμίονος ἐκ δύο διαφόρων συνίσταται, ὑπὸ ἵππου καὶ ὄνου, ὅπερ τοῖς ἡμιφώνοις οὐ παρέπεται. ἀλλ' ἔστιν εἰπεῖν ὅτι, ὥσπερ ἡμίξηρον χόρτον λέγομεν τὸν μὴ εἰς τέλειον ξηρασθέντα, τὸν αὐτὸν τρόπον καὶ ἡμίφωνα λέγομεν τὰ μὴ τελείαν φωνὴν ἔχοντα. Cod. Ottobon. 173.
17 . . .] τοσοῦτον D.

807, 19. εἰ γὰρ ἦν σύμφωνον, εἰς η̅ ὤφειλε ποιήσειν τὸ θηλυκὸν καὶ οὐκ εἰς α̅. ἰστέον δὲ ὅτι τὰ ἔχοντα τὸ ρ̅ θηλυκὰ τῷ α̅ χαίρουσιν, εἴτε μονογενῆ εἴτε μὴ μονογενῆ, οἷον φαρέτρα φαλάκρα ποδάγρα χαράδρα σαπρά μικρά μακρά πονηρά. καὶ σημειοῦταί τινα ὁ Ἡρωδιανὸς ἐν τῇ καθόλου μὴ ἐξενεχθέντα διὰ τοῦ α̅ ἀλλὰ διὰ τοῦ η̅· εἰσὶ δὲ ταῦτα, Ἄσκρη πόλις Βοιωτίας, κόρη, ἀθάρη (ἔστι δὲ σιτῶδές τι ἑψητόν, ὅπερ ἐν τῇ συνηθείᾳ ἄρσανα καλοῦσι), δέρη ὁ τράχηλος, Ἐφύρη ὄνομα πόλεως (ἡ νῦν λεγομένη Κόρινθος), Κύρη (ἔστι δὲ ὄνομα κρήνης, ἀφ' ἧς καὶ ἡ Κυρήνη πόλις), Τερψιχόρη (Ἀττικοὶ δὲ διὰ τοῦ α̅ φασὶ Τερψιχόρα), ἐπικόῤῥη (σημαίνει δὲ τὸ ἐπὶ κεφαλῆς· κόρση γὰρ ἡ κεφαλή, καὶ ἀπὸ τοῦ κόρση καὶ κόῤῥη, ὡς ἄρσην καὶ ἄῤῥην), Ὀθύκρη πόλις, Κάτρη καὶ αὐτὴ πόλις Κρητικὴ ἀπὸ Κάτρεως, Ἄγρη πόλις Λυδίας, Ἀντικάρη πόλις· τινὲς δε τισαρη φασί. καρή· σημαίνει δὲ τὴν κεφαλὴν καὶ ὀξύνεται· τὸ γὰρ κάρη τὸ βαρυτονούμενον οὐδέτερόν ἐστιν· ἀπὸ γὰρ τοῦ κάρηνον γενόμενον κατὰ ἀποκοπήν ἐστιν. Ἴρη· ἔστιν ὄνομα πόλεως. ταῦτα δὲ Ἰωνικά φησιν εἶναι. Choerob. in Theodos. fol. 234.

808, 12. Articulum om D. 17. . . .] ἄφωνός ἐστι, τουτέστι κακόφωνος· οὐ γάρ ἐστι τραγῳδὸς D. λέγεται ταῦτα τὰ ἐννέα γράμματα ὡς D. 19. εἰ μὴ] ἡμῖν D.

809, 15. μέσα. καὶ ψιλὰ D.

810, 11. τὸ π̅] habet D: idem 12. μηδ' ὅλλω πνεύματι, 22. αὐτὸν τόνον ἐκείνοις, 23. μὲν γὰρ κ̅, 24. 26. 29. ἐκφύσει.

811, 9. ὡς ἂν τις εἴποι, καὶ ἐφαπτομένης καὶ μὴ ἐφαπτομένης

οὕτως D. 11. τυχόντων] habet D: διακεκριμένα] κεκριμένως D. 29. ἐκφωνεῖται τὸ φ ἀλλ' D. 30. τὴν] om D. 31. ἐλάσσονος] ὁ ἐλάσσων D. 32. ὡσαύτως δὲ καὶ D.

812, 14. Ἄξιον δὲ ζητῆσαι διὰ τί πῇ μὲν τὰ ψιλὰ τῶν δασέων προτάττει, λέγων τὸ π τῷ φ, τὸ δὲ κ τῷ χ, πῇ δὲ τὰ δασέα τῶν ψιλῶν, λέγων τὸ δὲ θ τῷ τ. καὶ ἔστιν εἰπεῖν ἵνα δείξῃ ὅτι οὐ μόνον δασέα ἀντὶ ψιλῶν παραλαμβάνεται, ὡς ἐπὶ τοῦ κατὰ ἡμῶν — καθ' ἡμῶν, ἐπὶ ἡμᾶς — ἐφ' ἡμᾶς, αὐτίκα ὁ μὲν χλαῖναν — αὐτίχ' ὁ μὲν χλαῖναν, ἀλλὰ καὶ ψιλὰ ἀντὶ δασέων, οἷον ἐπὶ τοῦ φιλῶ φιλήσω πεφίληκα, χειροτονῶ χειροτονήσω κεχειροτόνηκα, θύω θύσω τέθυκα. Cod. Ottobon. 173 fol. 164. r.

813, 19. Pro insertis a me lege cum D: ἤρξατο τῆς δευτέρας ὑποδιαιρέσεως τῶν συμφώνων. Aliter Ven. app. 11, 4: δεῖγμα τοῦτο τῆς δευτέρας ὑποδιαιρέσεώς ἐστι τῶν συμφώνων. τὰ μέν ἐστι μακρὰ ὥς φησί, τῆς — 23. ἤγουν ὡς] ἅπερ D.

25. τὸ η δύναμιν ἔχει δύο βραχέων, τοῦ α καὶ ο, οὕτως καὶ τὸ ζ ξ ψ δύναμιν ἔχει τῶν δύο συμφώνων D: τὸ ν δύναμιν ἔχει δύο Ven. app. 11, 4. 29. διπλάσιονα D: mox 30. ἡμιχρονίου ἀεὶ ἔχει, τὰ δε τέσσαρα ἀμετάβολα ποτὲ μὲν ἀπὸ ἑνὸς χρόνου, ποτὲ δὲ ἀπὸ ἡμιχρονίου (διὸ καὶ δίχρονα αὐτὰ ἔφαμεν), ποτὲ δὲ οὔτε ἀπὸ ἡμιχρονιου, ὡς σὺν θεῷ εἰσόμεθα. 32. Articulum habet D.

814, 2. ὑπολάβοιμεν D: idem plenius αὐτῶν ἐκ δύο συμφώνων σύγκειται ἢ ὅτι εἰς. 8. λεχθείη δὲ] καὶ λεχθείη D. 9. τῇ] habet D. 13. ταῦτα] πάντα D. 14. οἱ μὲν] εἰδέναι D.

15. Articulum om D. qui mox ἐκεῖναι αὗται εισιν ἐοίκασιν.

815. Theodosii sunt, quae in ima pagina posui.

816, 11. τῆς] πάλιν τῆς D. 12. μέμνηται] παράπτεται D.

20. εὑρίσκεται D. 22. ἐν] τι D. 24. περὶ τῶν μεταβαλλόντων τὸ ρ εἰς τὸ τ κατὰ τὴν γενικήν φησιν Ἡρωδιανὸς ὅτι ὡς ἀπὸ τῆς σ καταλήξεως γέγονεν ἡ κλίσις, οἷον τὸ ἧπαρ τοῦ ἥπατος ὡς ἀπὸ τοῦ ἠπάς φησὶν εἶναι καὶ φρέαρ φρέατος ὡς ἀπὸ τοῦ φρέας. Cod. Ottobon. 173 fol. 164. v. καὶ τὸ μ D. τινὲς ἠθέλησαν τὸ λ τελικὸν λέγειν τῶν ἀρσενικῶν ὀνομάτων, ἐπειδὴ τὸ βάκαλ κλινόμενον εὑρέθη, ὡς παρὰ Καλλιμάχῳ· τέκνα σοὶ μὲν βάκαλέε. Choerobosc. ad Theodos. f. 35.

817, 20. τὸν] habet D: idem καὶ ἐπὶ τὸν τῆς. 27—33. Theodosii haec sunt.

818, 5. τετάρτης μὲν ἐν D. 12. ὑποτάσσονται ὡς ἐν D. 14. περιέλθῃ D. Ἄξιον δὲ ζητῆσαι διὰ τί τριῶν ὄντων διπλῶν, τῶν ζ̄ ξ̄ ψ̄ φημί, τὸ μὲν ξ̄ καὶ ψ̄ τελικὰ τῶν ἀρσενικῶν ὀνομάτων εἰσί, τὸ δὲ ζ̄ οὐδαμῶς. καὶ ἔστιν εἰπεῖν ὅτι διὰ τοῦτο τὸ ζ̄ οὐκ ἔστιν τελικὸν τῶν ἀρσενικῶν ὀνομάτων, διότι ἐκ τοῦ σ̄ καὶ δ̄ δοκεῖ συγκεῖσθαι, οὐδέποτε δὲ λέξις Ἑλληνικὴ εἰς ἄφωνον καταλήγει. Cod. Ottobon. 173 fol. 165. r.

819, 2.] ad p. 632, 17: τὸ γὰρ η̄ οὐκ εἶπεν, ἐπειδὴ ἀπὸ συναιρέσεώς ἐστιν, οἷον τῷ Δημοσθένεε τῷ Δημοσθένῃ. Cod. Ottobon. 173 fol. eodem. Idem ad p. 632, 18: ἀπαριθμεῖται τὸ η̄ κἂν ἀπὸ συναιρέσεως, οἷον τείχεα τείχη, ἐπειδὴ ὡς πρὸς εἰσαγομένους διαλέγεται, οἱ δὲ εἰσαγόμενοι ἐπιῤῥεπέστεροι μᾶλλόν εἰσι πρὸς τὰ συνῃρημένα ἤπερ πρὸς τὰ ἐντελῆ· τείχη γὰρ μᾶλλον λέγουσι καὶ οὐ τείχεα. 24. ἢ ὡς] om D. 25. οὖν τὸ ἐλλ. D. 26. λεγομένη D. 29. ἀλεγομένη D

820, 3. ἅτινα D. 9. τοιαύτην τινα πιθ. D. 17. ὅτι] εἰ D. ἢ καὶ τοῖς D. 18. ἀριθμοὺς D. 19. οὐ δυνατὸν ἐκείνους ἀριθμοὺς εἶναι D.

822, 18. ἀναδ. ἀφ' ἑαυτοῦ ἤδη προέχοντα τὸν D. 19. ὡς] εἴποι D. 21. τὰ φωνήεντα D. 22. ἀντιδίδοσθαι D. 23. ἐκφ. τὴν διὰ et μηκ. τὴν διὰ D.

823, 3. αὐτοκ. καὶ ὡς D. 4. αὐτὰ δὲ καθ'. D. 6. Alterum τοῦ om D.

826, 15 Παρὰ τοῖς ποιηταῖς πολλάκις ἡ ᾱῑ καὶ ἡ ο̄ῑ δίφθογγοι ἀντὶ κοινῆς παραλαμβάνονται, τῆς κοινῆς μὴ ἀπαρτιζούσης εἰς μέρος λόγου, ὡς παρὰ Θεοκρίτῳ (11, 18)

ὑψηλᾶς ἐς πόντον ὁρῶν ἄειδε τοιαῦτα

καὶ παρὰ Μενάνδρῳ

οἱ τηλικοῦτοι καὶ τοιοῦτοι τῷ γένει

καὶ παρὰ τῷ ποιητῇ

σοὶ ναίουσ' ὑποφῆται ἀνιπτόποδες χαμαιεῦναι.

Choerobosc. in Theodos. fol. 91. v.

828, 21. διὰ τί δὲ δύο σύμφωνα ἢ δύο ἀμετάβολα οὐ ποιοῦσι κοινὴν συλλαβήν, ἀλλὰ θέσει μακράν; Φαμὲν οὖν ὅτι πάντα τὰ ἴσα, ἐὰν ἐλάσσονα ᾖ, τῶν ἀνίσων λίαν εἰσὶν ἰσχυρότερα, ὡς ἐπὶ

τοῦ ζεύγους ἡμιόνων καὶ ζεύγους ἡμιόνου καὶ βοός. Πῶς οὖν τὸ μ̄ καὶ τὸ ν̄ κοινὴν ἐποίησαν συλλαβήν, ὡς ἐν τῷ

πῶς μὲν ὁ Μνησάρχειος ἔφυ ξένος.

Φαμὲν οὖν ὅτι ἄφωνον πρὸ ἀμεταβόλου εὑρίσκομεν κατὰ σύλληψιν, οὐδέποτε δὲ ἀμετάβολον πρὸ ἀμεταβόλου, εἰ μὴ μόνον τὸ μ̄ καὶ ν̄· ὅπερ τὸ μ̄, τάξιν ἀφώνου ἐπέχον, ἡγεῖται, ἤγουν ἐστὶ πρὸ τοῦ ν̄, καὶ ποιοῦσι κοινὴν συλλαβήν. Πῶς οὖν πάλιν τὸ π̄τ̄ κοινὴν συλλαβὴν ἐργάζονται, ὡς ἐν τῷ

Αἰγυπτίῃ τῇ πλεῖστα;

Φαμὲν οὖν ὅτι ἐπειδὴ ἄμφω εἰσὶν ἄγαν ἀσθενῆ, καὶ οὐ μόνον ἄφωνα τυγχάνουσιν ἀλλὰ καὶ ψιλά, ἅπερ πάντων τῶν στοιχείων ὑπάρχουσιν ἀσθενέστερα. εὑρίσκονται γὰρ ἐν συμφώνοις, ἅπερ ἧττονά εἰσι τῶν φωνηέντων· συναριθμοῦνται καὶ ἄφωνα, ἅπερ ἀσθενέστερά εἰσι τῶν ἡμιφώνων· ὁρῶνται καὶ ψιλά, ἅπερ ἰσχυρότερά εἰσι τῶν δασέων καὶ μέσων. Πῶς οὖν πάλιν τὸ σ̄ καὶ τὸ κ̄ κοινὴν εἰργάσαντο συλλαβήν, ὡς ἐν τῷ

οὐδὲ Σκάμανδρος ἔληγε;

Φαμὲν οὖν ὅτι ἀνάγκη ἦν τὰ ὀνόματα τῶν πραγμάτων καὶ τῶν τόπων καὶ τῶν ἄλλων πῶς ἐχόντων ἐντίθεσθαι τῇ ποιήσει, ἃ ἐντιθέμενα πάντως χωλὸν ποιοῦσι πολλάκις τὸν στίχον. καὶ διὰ τοῦτο ὁ ποιητὴς κατεφρόνησε τὸ χρειῶδες τοῦ μέτρου διὰ τὴν ἀνάγκην τῆς ἐννοίας. Theodos. Πολλάκις εὑρίσκεται καὶ ἐν μέτρῳ τὸ μ̄ν̄ ἀποτελοῦν κοινὴν συλλαβήν, οἷον ὡς παρὰ Καλλιμάχῳ·

καὶ μὴν ὁ Μνήσαρχος ἐφύλαξεν.

ὡς καὶ παρὰ Κρατίνῳ Ἀλλοτριογνώμοσιν·

ἐπιπλήσμουσιν (leg. ἐπιλήσμοσι) μνημονικοῖσιν.

Choerob. in Theodos. f. 247. r. Idem v.: πολλάκις εὑρίσκεται καὶ ἐν τοῖς μέτροις ἀποτελοῦντα τὴν κοινὴν συλλαβὴν τὸ κ̄τ̄ καὶ π̄τ̄, ὡς παρ' Ὁμήρῳ, οἷον

Αἰγυπτίῃ τῇ πλεῖστα δόμοις ἐν κτήματα κεῖται.

τὸ δὲ κ̄τ̄ ὡς παρὰ Ῥίνθωνι

Ἱππώνακτος τὸ μέτρον οὐδέν μοι μέλει.

Conf. Schaefer. ad Corinth. p. 873.

837, 7. ἐλλιπές] λείπει D. 12. συλλ. ἢ τὸ γράμμα εἰς λέξιν· οὐ D.

839, 29. . . . . .] τὴν λέξιν μέρος τοῦ λόγου φησίν, ἔτι ἀγνοούντων ἡμῶν τί ἐστι λόγος D.

840, 6. et 9. τελείαν ἔννοιαν D. 26. Δεῖ γινώσκειν ὅτι ὀκτὼ μέρη τοῦ λόγου εἰσί. πρὸ τούτου δὲ διάφοροι δόξαι γεγόνασιν· οἱ μὲν γὰρ δύο μόνα μέρη τοῦ λόγου εἶναι ἔλεγον, οἱ δὲ πέντε, οἱ δὲ ὀκτώ, οἱ δὲ ἐννέα, οἱ δὲ δέκα, οἱ δὲ ἕνδεκα. Choeroboscus Προλεγ. τῶν Θεοδοσίου ὀνοματικῶν κανόνων cod. Coisl. 176 f. 30. v. Idem mox: Διὰ τοῦτο ὀκτὼ μέρη τοῦ λόγου εἰσίν, ἐπειδὴ καὶ τέσσαρα μέρη τῆς γραμματικῆς ἐστὶ καὶ τέσσαρα ὄργανα, μέρη μὲν ἀναγνωστικόν, ἐξηγητικόν, διορθωτικὸν καὶ κριτικόν, ὄργανα δὲ γλωσσηματικόν, ἱστορικόν, μετρικὸν καὶ τεχνικόν. 31. λέξεων D.

841, 4. λόγον τὸν διὰ ῥήματος μόνου D. 9. γάρ ἐστιν ὄνομα D. 13. τις ὅτι καθότι D. 14. λέξεων D. 15. Alterum τὸ habet D. 20. καὶ τὰς μονογρ. D. 22. καὶ τὴν μονάδα D. 31. σχολὴ D.

844. §§. 14 — 23. om D.

845, 9. Τινές, ὧν ἐστὶν ὁ Φιλόπονος καὶ Ῥωμανὸς ὁ τούτου διδάσκαλος, ποιότητα λέγουσιν ἐν τῷ ὅρῳ ἀντὶ τοῦ οὐσίαν, οἷον „ὄνομά ἐστι μέρος λόγου πτωτικόν, ἑκάστου τῶν ὑποκειμένων σωμάτων ἢ πραγμάτων κοινὴν ἢ ἰδίαν ποιότητα ἀπονέμον." Choeroboscus Προλεγ. τῶν Θεοδοσίου ὀνοματ. καν. fol. 31. r.

11. h: σῶμά ἐστι πᾶν τὸ ἁφῇ κρατούμενον κατὰ γραμματικούς, πρᾶγμα δὲ τὸ μὴ τῇ ἁφῇ κρατούμενον ἀλλὰ τῷ νῷ.

846, 12. ὁ μὲν Διονύσιος τὰ γένη προέταξε τῶν εἰδῶν, οἱ δὲ περὶ Ἀπολλώνιον καὶ Ἡρωδιανὸν καὶ Ῥωμανὸν τὰ εἴδη προτάττουσι τῶν γενῶν, ἐπειδὴ ὅπου μὲν γένος ἐκεῖ καὶ εἶδός ἐστι παρὰ τοῖς γραμματικοῖς, ὅπου δὲ εἶδος οὐ πάντως καὶ γένος ἐστί. Choerobosc. f. 32.

860, 25. τινὲς τὴν κλητικὴν πρώτην ἠθέλησαν τάξαι, λέγοντες ὅτι ἡ μὲν κλητικὴ δευτέρου προσώπου ἐστὶ σημαντική, τὰ δὲ δεύτερα πρόσωπα προτερεύει τῶν τρίτων. Choerobosc. ad Theodos. f. 34.

862, 4. Vid. I. C. Scaliger. de causis L. L. 80. Sanct. Minerv. 1. 6.

868, 12. Οὐ μόνον δὲ ἐν τοῖς συγκριτικοῖς καὶ ὑπερθετικοῖς εὑρεῖν τὴν αὐτὴν ἔστιν ἔχοντα σημασίαν τὰ διαφόρῳ φωνῇ λεγόμενα, ἀλλὰ καὶ ἐπ' ἄλλων τινῶν, ὡς ἐπὶ τοῦ ἄορ ξίφος μάχαιρα φάσγανον σπάθη. ἰδοὺ γὰρ ἐπὶ τούτων διάφορος φωνὴ ὑπάρχει, ἐν δὲ τῷ σημαινομένῳ ἕν. ἐν τούτῳ γὰρ καὶ ἐπαινετή ἐστιν ἡ τῶν

Ἑλλήνων γλῶττα ὡς πλατεῖα οὖσα καὶ ἐπὶ ἑνὸς σημαινομένου πολλῶν φωνῶν εὐποροῦσα· ἡ γὰρ Ῥωμαϊκὴ κατὰ τοῦτο ψεκτὴ ὡς μὴ πλατεῖα ἀλλὰ στενὴ οὖσα. Choerobosc. in Theodos. fol. 266.

874, 20. . . . .] Insere haec: περιληπτικόν ἐστιν, quorum ultimae certe syllabae (κόν ἐστιν) supersunt cod. Barocc. 116 fol. 10. 22. . . .] ἀριθμῷ Barocc. 28. . . . .] Leg. καθ' ἕκαστον τομῆς: quorum una superest in Barocc. syllaba postrema.

875, 21. . . . .] του μενου Barocc. 25. Eadem in Barocc. lacuna, margine sinistro deleto. Item v. 27.
27. ὃ δηλοῖ ἕνα Barocc.

877, 31. . . . .] Lege καὶ ἀσπίδι: Barocc. certe καὶ ἀ. —

880, 3. . . . .] καὶ κριτὸς Barocc.

881, 4. προϊέναι τε καὶ Barocc.

884, 31. Οἱ φιλόσοφοι ἄλλας δύο ἐγκλίσεις μετὰ τὰς πέντε προστιθέασι, φημὶ δὲ τὴν ὑποθετικὴν καὶ τὴν ἐρωτηματικήν. καὶ τὴν μὲν ἐρωτηματικὴν οὐ δεχόμεθα, ἐπειδὴ πᾶσα λέξις ἐρώτησιν δέχεται, ἄτοπον δέ ἐστι τὴν ἐν παντὶ μέρει λόγου εὑρισκομένην εἰπεῖν ἔγκλισιν εἶναι ῥήματος. — τὴν ὑποθετικὴν οὐ δεχόμεθα, ἐπειδὴ πρῶτον μὲν ὑποθετικὰ σπάνιά εἰσι, δεύτερον δὲ ὅτι τὰ ὑποθετικὰ πρώτου μόνου προσώπου εἰσί, τρίτον δὲ ὅτι οὐκ ἔχουσιν ἰδίας φωνάς· αἱ γὰρ φωναὶ αὐτῶν ὑποτακτικαί εἰσιν. Choerobosc. in Theodos. Similia leguntur apud schol. Hermogen. cod. Paris. 1983 f. 30 et 35: τὸν δὲ λόγον διεῖλον οἱ μὲν Περιπατητικοὶ εἰς ε̄, εἰς εὐκτικόν,

αἲ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον

[πότνι' Ἀθηναίη, ἐρυσίπτολι, δῖα θεάων f. 35.]

προστακτικόν,

βάσκ' ἴθι Ἶρι ταχεῖα,

ἐρωτηματικόν,

πῶς δαὶ τῶν ἄλλων Τρώων φυλακαί τε

[οὐχ ὁ τρόφιμός σου πρὸς θεῶν ρνηρι με καὶ τὰ λοιπά f. 35.]

ἀποφαντικόν,

Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσε,

κλητικόν,

δεῦρο πάροιθ' ἐλθοῦσα φίλον τέκος ἵζευ ἐμεῖο.

οἱ δὲ Στωϊκοὶ προστιθέασι τούτοις [καὶ ἄλλους ἐξ f. 35.] πυσματικὸν καὶ ἐπαπορητικόν, πυσματικὸν μέν,

πῶς δεῦρ' ἦλθες Ὀδυσσεῦ;
τίς δέ σ' ἔχραε δαίμων;

καὶ λοιπὸν ἄρχεται διηγεῖσθαι τὰ συμβάντα· ἐπαπορητικὸν δέ,

δαυς ποτ' ἦλθε τι ποτ' ὑγγέλλων ἄρα.

εἶτα θαυμαστικόν,

ὡς ἀγαθαὶ φρένες ἐσθλῶν

[ὡς καλὸς ὁ παρθενών f. 35.]· ἐπομοτικόν,

ναὶ μὰ τόδε σκῆπτρον.

διασαφητικόν,

ἤομεν, ὡς ἐκέλευες, ἀνὰ δρυμὰ φαίδιμ' Ὀδυσσεῦ,

καὶ τελευταῖον ὑποθετικόν

εἴπερ γάρ κ' ἐθέλοιμεν Ἀχαιοί τε Τρῶές τε

[ὡς παρὰ τῷ Δημοσθένει· εἰ γὰρ ἡμᾶς δεήσει λ μόνον ἡμέρας κ. τ. λ. f. 35.]. τούτων δὲ οἱ Περιπατητικοὶ τὸν μὲν πυσματικὸν καὶ τὸν ἐπαπορητικὸν ἐπὶ τὸν ἐρωτηματικὸν ἀνάγουσιν (οὐδὲν γὰρ τὸ διάφορον πυσματικοῦ τε καὶ ἐπαπορητικοῦ πρὸς ἐρωτηματικόν, εἰ μὴ ὅσον ὁ μὲν ἐρωτηματικὸς συντομώτερος τοῦ πυσματικοῦ, ὁ δ' ἐπαπορητικὸς πρὸς αὐτὸν τὸν ἀποροῦντα, οὐ πρὸς ἕτερον ὡς ὁ ἐρωτηματικός), τοὺς δὲ λοιποὺς ὑπὸ τὸν ἀποφαντικὸν ἀνάγουσι, καθὸ ἐνδέχεται τούτων ἕκαστον καὶ ψευδῆ καὶ ἀληθῆ εἶναι, οὐδὲν δ' ἕτερόν ἐστιν ὁ ἀποφαντικὸς ἢ λόγος ἐνδεχόμενος καὶ ψευδὴς εἶναι καὶ ἀληθής.

890, 33. Cod. χωρησίαν· Apollonius de coniunct. p. ἂν τύπῳ ᾖ ὁ παραπληρωματικὸς κεχορηγημένος συνδεσμικῷ.

896, 18. Λέγει ὁ γραμματικὸς Ἰωάννης [ὁ Χάραξ] ὅτι, ὥσπερ ἀπὸ τοῦ ἀνθρώπου τίκτεται ἄνθρωπος καὶ ἀπὸ τοῦ λέοντος λέων καὶ ἀπὸ τοῦ ἵππου καὶ ὄνου ἕτερόν τί ποτε τίκτεται, λέγω δὲ ἡμίονος, τὸν αὐτὸν τρόπον καὶ ἡ μετοχὴ ἀπὸ τοῦ ὀνόματος τικτομένη ἕτερόν τί ποτέ ἐστι παρὰ τὸ ὄνομα καὶ τὸ ῥῆμα, καὶ δῆλον ὅτι ἰδίᾳ μέρος λόγου ἐστίν. Choerobosc. in Theodos.

899, 3. Nullum lacunae indicium in Ven. app. 11, 4.

912, 21. . . .] Nulla est in Barocc. lacuna.

919, 12. . . . .] χαρίζομαι καὶ et sex septemve praeterea litteras Barocc.

935, 10. λόγου εἶναι τὸ D. 16. αὐτὸ D. 17. γὰρ] habet D.

947, 7. ἀνάνευσιν ἤτοι μὴ συγκατάθεσιν D. Et mox συμβουλίας ἀποτροπὴν. 15. ἀπόστροφον δέχεται D. 16. καὶ ὅταν μὲν δασεῖα D.

957, 28. ἐμνήσθη. τόνον δὲ ἔχει τὸν πρέποντα λέξει μονοσυλλάβῳ βραχυκαταλήκτῳ, τουτέστιν ὀξὺν μὲν καθ' ἑαυτόν, ἐν δὲ τῇ συνεπείᾳ βαρύνεται D.

958, 8. ἀρχῇ ἀλλὰ μετὰ τὴν πρώτην λέξιν τοῦ δ. D. 11. ἐπακολουθ. D. 17. τόνον δὲ ἔχει τὸν ὅμοιον τοῦ μέν D.

31. τόνον δὲ ἔχει ὁμοίως τοῖς προειρημένοις συνδέσμοις. τέτακται γὰρ ἐν τοῖς ἐγκλιτικοῖς μορίοις τοῖς ἀπολύουσι τὸν τόνον προκειμένου ἑνὸς τῶν τριῶν παραφυλαγμάτων, ἢ ὀξυτόνου λέξεως ἢ προπερισπωμένης ἢ προπαροξυνομένης ἢ τροχαϊκῆς D.

32. δὲ τῷ τε κατὰ D.

959, 2. τόνον δὲ ἔχει ὅμοιον τοῦ μέν. περὶ δὲ τόνου τί σοι καθ' ἕνα φημί; κοινῇ γὰρ πάντων συμπλεκτικῶν συνδέσμων ὀξυνομένων, σεσημειωμένου τοῦ ἤτοι D. 6. λόγου, προκειμένου τοῦ μέν ἐν τῷ προτέρῳ λόγῳ ἢ μὴ προκειμένου. ἰσοδ — D.

7. προείπομεν. ἔχει δὲ πνεῦμα ψιλόν D. 14. ὡς] habet D. λέξεων. ψιλοῦται δέ. D.

960, 14. ἀλόγου] βραχείας εἶναι D. 24. δευτέροις λόγοις τίθ. D. 25. τῶν λέξεων. ὁ δὲ δεύτερος αὐτῶν οὐκ ἐν τοῖς ἐγκλιτικοῖς μορίοις D. 32. τόπον δὲ ἔχει καὶ τόνον ὅμοιον τῷ δέ D.

961, 25. ἐπιτεταμένον ἐμφαίνων D.

965, 9. ἢ τῷ χρόνῳ D. 12. μὴ] om D. Idem mox προεῖναι, et 13. ἐστι σύνδεσμος συναπτικὸς ὁ εἰ· τοὺς γὰρ ἄλλους ἐπεκτεινομένους ὑφίστησιν αὐτοῖς D. 20. περισπᾶται D.

THEODOSII CANONES sumpsi e Vatic. 1370 et Coislin. 176.

973. κανών ἐστι λόγος ἔντεχνος ἀπευθύνων ὁμοιότητα πρὸς τὸ καθόλου τὸ διεστραμμένον τῆς λέξεως, τουτέστι λόγος μετὰ τέχνης διὰ τῶν ὁμοίων ἐπ' εὐθείας ἄγων ἢ ἐλέγχων πρὸς τὰ πλείονα τὸ διεστραμμένον καὶ ἡμαρτημένον τῆς λέξεως· τὰ γὰρ πλείονα τῶν ἐλαττόνων κανόνες. Προλεγομ. τῶν Θεοδοσίου ὀνοματικῶν κανόνων ἀπὸ φωνῆς Γεωργίου Χοιροβοσκοῦ cod. Coislin. 176 f. 30.

975, 1. Ἰστέον δὲ ὅτι περὶ τῶν εἰς ᾱς μονοσυλλάβων οὐδὲν εἶπεν ὁ Θεοδόσιος ὡς πρὸς εἰσαγομένους τὸν λόγον ποιούμενος καὶ συντομίας φροντίζων. ἔστι δὲ εἰπεῖν περὶ αὐτῶν οὕτως. τὰ εἰς ᾱς μονοσύλλαβα εἰ μὲν περισπῶνται, ἀποβολῇ τοῦ σ̄ ποιοῦσι τὴν γενικὴν καὶ ἰσοσυλλάβως κλίνονται, εἰ δὲ ὀξύνονται, περιττοσυλλάβως κλίνονται. τῶν μὲν περισπωμένων εἰσὶ παραδείγματα τοιαῦτα, οἷον ὁ Γρᾶς τοῦ Γρᾶ (ὄνομα δὲ τοῦτο κύριον), ὁ Λᾶς τοῦ Λᾶ (τοῦτο δὲ καὶ ποταμὸν καὶ πόλιν καὶ λίθον σημαίνει). γέγονε δὲ τοῦτο τοῦτον τὸν τρόπον. ἔστι δὴ λάας λάαος, καὶ κράσει τῶν δύο ᾱᾱ εἰς ἓν ᾱ μακρὸν γίνεται λᾶος, οἷον

λᾶος ὑπὸ ῥιπῆς,

τουτέστιν ὑπὸ τῆς βολῆς τοῦ λίθου. αὕτη ἡ λᾶος γενικὴ μετάγεται εἰς εὐθεῖαν καὶ γίνεται ὁ λᾶος, ὥςπερ ὁ Τρώς τοῦ Τρωός καὶ ὁ Τρῶος, ὁ δμώς τοῦ δμωός καὶ ὁ δμῶος,

δμῶος ἔχων μακέλλην

ἀντὶ τοῦ δοῦλος. καὶ λοιπὸν κατὰ κρᾶσιν Δωρικὴν τοῦ ᾱο̄ εἰς α μακρὸν γίνεται ὁ λᾶς, ὥςπερ Μενέλαος Μενέλας, Πτερέλαος Πτερέλας. Ἀναδράμωμεν ἐπὶ τὰ λοιπὰ παραδείγματα τῶν εἰς ας περισπωμένων μονοσυλλάβων, οἷον ὁ Θᾶς τοῦ Θᾶ (ὄνομα δὲ τοῦτο κύριον), ὁ Χνᾶς τοῦ Χνᾶ (οὕτω δὲ ἐλέγετο ὁ Ἀγήνωρ, ὅθεν καὶ ἡ Φοινίκη ὀχνᾶ λέγεται), ὁ Δᾶς τοῦ Δᾶ (ὄνομα δὲ τοῦτο ποταμοῦ), ὁ Βᾶς τοῦ Βᾶ (ἱστορεῖται δὲ οὗτος βασιλεὺς Πόντου). τὸ δὲ πᾶς ὅτε μέν ἐστι προσηγορικὸν καὶ σημαίνει τὸν πατέρα, ἀποβολῇ τοῦ σ̄ ποιεῖ τὴν γενικήν, οἷον τοῦ πᾶ, ὅτε δὲ ἐπίθετόν ἐστι καὶ δηλοῖ τριγένειαν, οἷον ὁ πᾶς πᾶσα πᾶν, διὰ τοῦ ν̄τ̄ κλίνεται, οἷον πᾶς παντός· πρὸς γὰρ διάφορον σημαινόμενον εἰκότως καὶ ἡ κλίσις διάφορος γέγονεν. Ἐνταῦθα μὲν περὶ τῶν περισπωμένων. τῶν δὲ ὀξυνομένων εἰσὶ παραδείγματα ταῦτα, οἷον Ζάς Ζαντός (σημαίνει δὲ τὸν Δία), Πράς Πραντός (ἔστι δὲ ὄνομα πόλεως· τοῦτο δὲ κατὰ ἀκρίβειαν ὀξύνεται καὶ διὰ τοῦ ν̄τ̄ κλίνεται· ἰστέον ὅτι ὁ Ἡρωδιανὸς ἐν τῷ ὀνοματικῷ λέγει αὐτὸ περισπᾶσθαι καὶ διὰ τοῦ ν̄τ̄ κλίνεσθαι, ἐν δὲ τῇ καθόλου ὀξύνεσθαι, ὁμοίως δὲ καὶ διὰ τοῦ ν̄τ̄ κλίνεσθαι), Φθάς Φθάντος· ὄνομα δὲ τοῦτο κύριον. τοῦτο δὲ κατὰ τὴν γενικὴν βαρύνεται, τουτέστι παροξύνεται· μετοχικὸν γὰρ ὑπάρχει καὶ τὸν τόνον τῆς μετοχῆς ἀνεδέξατο, φημὶ δὴ τῆς φθάντος τῆς σημαινούσης τὸ προλαβόντος· ἡ δὲ μετοχὴ βαρύνεται κατὰ τὴν γενικὴν ὁμοίως τῇ στάς

στάντος καὶ βὰς βάντος, φθὰς φθάντος· βὰς δέ ἐστιν ὁ πορευθεὶς καὶ φθὰς ὁ προλαβών. τὸ δὲ κράς, ὃ σημαίνει τὴν κεφαλήν, διὰ τοῦ τ̄ ἐκλίθη, οἷον

κρατὸς ἀπ' ἀθανάτοιο,

καὶ ἔχει ἀπολογίαν τοιαύτην, ὅτι τὰ εἰς ᾱς μονοσύλλαβα ὀξύτονα ἅπαντα κύριά εἰσιν, οἷον Πράς, Ζάς, Φθάς, τοῦτο δὲ μόνον, φημὶ δὴ τὸ κράς, προσηγορικόν ἐστι· τὴν γὰρ κεφαλὴν σημαίνει. ἐπειδὴ οὖν διήλλαξε περὶ τὸ σημαινόμενον, διήλλαξε καὶ περὶ τὴν κλίσιν, καὶ οὐκ ἐκλίθη ὁμοίως ἐκείνοις τοῖς διὰ τοῦ ντ̄, ἀλλὰ διὰ μόνου τοῦ τ̄. ἔχομεν δὲ τὴ χρῆσιν τῆς εὐθείας παρὰ Σιμωνίδῃ τῷ Ῥοδίῳ οὕτως χρυσῶτυφαέθοντι πολύλιστος φαίνεται κράς. πολύλιστος δὲ οἱονεὶ πολυλιτάνευτος. ταῦτα μὲν ἔχομεν εἰπεῖν περὶ τῶν εἰς ᾱς μονοσυλλάβων. Choerob. schol. f. 36. r.

καθαρὸν] καθαρά Coisl. Sed Choerob. f. 69: σκόπει δὲ ὅτι καθαρόν εἶπε, καὶ οὐ καθαρά. τοῦτο γὰρ βούλεται σημαίνειν τὰ εἰς ᾱς καθαρόν, ἤγουν τὰ μὴ ἔχοντα πρὸ τοῦ ᾱ σύμφωνον. Idem mox: σεσημείωται τὸ Λάας. τοῦτο γὰρ ὅτε μέν ἐστι κύριον, ἀντίκειται τῷ κανόνι· εἰς ᾱς γάρ ἐστιν ὄνομα δισύλλαβον καθαρὸν βαρύτονον, μακρὸν ἔχον τὸ ᾱ, καὶ ὅμως οὐ κλίνεται διὰ τοῦ ντ̄, ἀλλ' ἰσοσυλλάβως· κατ' ἀποβολὴν γὰρ τοῦ σ̄ ποιεῖ τὴν γενικήν, οἷον ὁ Λάας τοῦ Λάα, Λάα περὶ λίθων γλυφῆς· οὗτος γὰρ λιθογλύφος ἦν. ὅτε δὲ προσηγορικὸν καὶ σημαίνει τὸν λίθον, οὐκ ἀντίκειται τῷ κανόνι· συνεσταλμένον γὰρ ἔχει τὸ ᾰ, οἷον

λᾶας ἀναιδής,

καὶ λοιπὸν ὡς συστέλλον τὸ ᾰ οὐκ ἠκολούθησε τῷ κανόνι τούτῳ.

ἰστέον δὲ ὅτι οὐ μόνον τὰ λᾶας τὸ προσηγορικὸν καὶ τὸ μέγας τὸ ἐπίθετον σημειούμεθα ἔχειν τὸ ᾰ συνεσταλμένον, ἀλλὰ καὶ τὸ Αἴας τὸ παρ' Ἀλκμᾶνι ἔχομεν σεσημειωμένον ὡς συστέλλον τὸ ᾰ. ἐκεῖνος γὰρ συνέστειλεν αὐτὸ εἰπὼν

δουρὶ δὲ ξυστῷ μέμηνεν Αἴας αἷμά τά τε μέμνων.

ἔστι δὲ τροχαϊκὸν τὸ μέτρον, καὶ μετρεῖται οὕτως δουρὶ | δὲ ξυσ| τῷ με | μηνεν | αἴας | αἷμα | τάτε | μέμνων. ἐν τῇ πέμπτῃ γὰρ χώρᾳ κεῖται, ἐν ᾗ οὐ τίθεται σπονδεῖος ἐν τροχαϊκῷ μέτρῳ. εἰσὶ δὲ καὶ ἄλλα τινὰ Δωρικὰ συστέλλοντα τὸ ᾰ. παρ' Ἡσιόδῳ

δήσας ἀλυκτοπέδῃσιν προμηθέα

καὶ παρὰ τῷ ἀριάνῳ λίθος μέγας (μέλας?) Id. f. 71. cf. Drac. p. XX.

2. ἰστέον ὅτι μοναστήριον ἐστι παρὰ τοῖς Ἀλεξανδρεῦσι καὶ

λέγεται τοῦ Παία ὡς ἀπὸ τοῦ Παίας· καὶ ἰδοὺ τοῦτο πάντα ἔχει τοῦ κανόνος καὶ οὐ κλίνεται διὰ τοῦ ντ. ἀλλ' οὐκ ἔστιν ἐν τῇ τῶν Ἑλλήνων χρήσει. Id. f. 42.

δέον προσθεῖναι ἐν τῷ κανόνι „μὴ ἀπὸ Δωρίδος διαλέκτου" διὰ τὸ Λάας τὸ κύριον καὶ τὸ Κλεύας καὶ τὸ Κέας· εἰσὶ δὲ ταῦτα ὀνόματα κύρια. ταῦτα γὰρ πάντα τοῦ κανόνος ἔχοντα οὐ κλίνονται διὰ τοῦ ντ ἀλλ' ἰσοσυλλάβως, οἷον ὁ Λάας τοῦ Λάα καὶ ὁ Κλεύας τοῦ Κλεύα. ἀλλὰ Δωρίδος εἰσὶ διαλέκτου. ὅτι γὰρ ταῦτα ἰσοσυλλάβως κλίνονται, δηλοῦσι τὰ πατρωνυμικὰ αὐτῶν τὸ Κλευάδης καὶ Καιάδης, ὄντα ὥςπερ Αἰνειάδης. Id. f. 71.

δέον προςθεῖναι ἐν τῷ κανόνι „μὴ κατὰ ποιητικὴν ἄδειαν ὄντα," ἐπειδὴ παρὰ τοῖς ποιηταῖς πολλὰ εὑρίσκομεν τοιαῦτα, πάντα ἔχοντα τοῦ κανόνος καὶ ἰσοσυλλάβως κλιθέντα, οἷον ὁ Αἴας τοῦ Αἴαντος, ὁ Δρύας τοῦ Δρύαντος καὶ ὁ Θόας τοῦ Θόαντος· καὶ λέγουσιν οἱ ποιηταὶ πολλάκις ὁ Αἴας τοῦ Αἴα καὶ ὁ Δρύας τοῦ Δρύα καὶ ὁ Θόας τοῦ Θόα, ὡς παρ' Ἡσιόδῳ· ἡ δὲ Θόαν τέκεν υἱόν, καὶ παρ' Ἀλκαίῳ· Αἴαν τὸν ἄριστον. οἱ γὰρ ποιηταὶ μέτρῳ δουλεύοντες πολλάκις διὰ τὴν ἀνάγκην τοῦ μέτρου παραβαίνουσι τὸν κανόνα. Id.

Δεῖ δὲ γινώσκειν ὅτι οἱ Αἰολεῖς τὸ τάλας τάλαις λέγουσι καὶ τὸ μέλας μέλαις καὶ τὸ Θόας Θόαις, προστιθέντες τὸ ι, τὸ δὲ Αἴας Αἴαις οὐ λέγουσι διὰ τὴν ἐπαλληλίαν τῆς αι διφθόγγου. ηὑρίσκετο γὰρ ἀλλεπάλληλος ἡ αι δίφθογγος, καὶ ἐκ τούτου κακόφωνος ἐγένετο ἡ λέξις. Id. f. 72. Cf. Etym. M. v. μέλας.

13. τῶν μετοχῶν] οἷον γράψας γράψαντος καὶ ὦ γράψας, ποιήσας ποιήσαντος καὶ ὦ ποιήσας, ὁμοφώνως τῇ εὐθείᾳ.

15. τῶν μετοχικῶν] ἱμὰς γὰρ ἱμάντος καὶ ὦ ἱμάς, ἀνδριάς ἀνδριάντος καὶ ὦ ἀνδριάς, ὁμοφώνως τῇ εὐθείᾳ.

δεῖ προσθεῖναι ἐν τῷ κανόνι „χωρὶς τῶν Ἀττικῶν·" οἱ γὰρ Ἀττικοὶ τὰς αὐτὰς εἰώθασι ποιεῖν ὀρθὰς καὶ κλητικάς, οἷον ὁ Θόας ὦ Θόας, ὁ Αἴας ὦ Αἴας, οὗτος ὦ οὗτος δεύτερόν σε προσκαλῶ.

ἔτι δεῖ προςθεῖναι „καὶ χωρὶς τῶν εἰς ας ὑπὲρ δύο συλλαβὰς βαρυτόνων παρὰ τὸ δάμνω συντεθειμένων, οἷον Πολυδάμας Πολυδάμαντος ὦ Πολυδάμα,

Πολυδάμα μὲν οὐκέτι ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις,

Λαοδάμας Λαοδάμαντος ὦ Λαοδάμα. ταῦτα δὲ λέγομεν ποιητικά. (Paulo post: ὦ Εὐρυδάμαν παρὰ Ἀλκαίῳ, καὶ παρὰ Πινδάρῳ

ὑπερμενὲς ἀκαμαντοχάρμαν Αἶαν. περὶ οὗ ἔστιν εἰπεῖν ὅτι ἡ κατὰ συνεκδρομὴν τοῦ Αἶαν ἐγένετο ἢ διὰ τὴν ἐπαλληλίαν τῶν φωνηέντων.)

Καὶ χωρὶς τῶν εἰς $\overline{\alpha\varsigma}$ μονοσυλλάβων ὀξυτόνων. ἔστι γὰρ Ζὰς Ζαντὸς καὶ Πρὰς Πραντός, καὶ ἰδοὺ ταῦτα οὐκ ἀποβολῇ τοῦ $\overline{\sigma}$ ποιοῦσι τὴν κλητικήν· οὐδὲ γὰρ λέγομεν ὦ Ζὰν καὶ ὦ Πράν, ἀλλ' ὦ Ζὰς ὦ Πρὰς ὁμοφώνως τῇ εὐθείᾳ.

17. δεῖ προσθεῖναι „χωρὶς τῶν ἀπὸ τῶν εἰς $\overline{\omega}$ καὶ εἰς $\overline{\omega\varsigma}$ θηλυκῶν (τῇ Λητοῖ τῇ αἰδόϊ — τὰ Λητώ, τὰ αἰδώ) καὶ τῶν πεπονθότων (μητρί πατρί — μητέρε πατέρε).

20. δεῖ προσθεῖναι „χωρὶς τῶν ἐπεκτεταμένων." ἔστι γὰρ τοιῶδε καὶ τοσῶδε· ἡ εὐθεῖα τῶν δυϊκῶν, καὶ γίνεται ἡ γενικὴ καὶ δοτικὴ τοιοῖνδε καὶ τοσοῖνδε.

21. ἔστι δὲ εἰπεῖν καὶ ἄλλην αἰτίαν, δι' ἣν ἐν τοῖς δυϊκοῖς συνημμέναι εἰσὶν αἱ πτώσεις. ἔχει δὲ οὕτως. τὰ δυϊκὰ ὑστερογενῆ εἰσίν· ὅθεν πολλάκις καὶ τοῖς πληθυντικοῖς κεχρήμεθα ἀντὶ τῶν δυϊκῶν ἐν τῇ κοινῇ διαλέκτῳ. ὅτι γὰρ ὑστερογενῆ εἰσὶ τὰ δυϊκά, δῆλον ἀφ' ὧν οὐ πᾶσαι αἱ διάλεκτοι ἔχουσι δυϊκά· ἰδοὺ γὰρ οἱ Αἰολεῖς οὐκ ἔχουσι δυϊκά, ὅθεν οὐδὲ οἱ Ῥωμαῖοι, ἄποικοι ὄντες τῶν Αἰολέων, κέχρηνται τῷ δυϊκῷ ἀριθμῷ. ἐπειδὴ οὖν τὰ δυϊκὰ ὑστερογενῆ εἰσὶ καὶ διὰ τῶν πληθυντικῶν, ὡς εἴρηται, πολλάκις ἀναπληροῦνται παρὰ τῇ κοινῇ διαλέκτῳ, εἰκότως οὐκ ἔχουσι πλατείας φωνάς. f. 77. κανονίζομεν τὰ δυϊκὰ ἐκ τῶν πληθυντικῶν, ὡς λέγει ὁ Φιλόξενος, ἐπειδὴ τὰ δυϊκὰ ὑστερογενῆ εἰσίν· ὕστερον γὰρ ἐπενοήθησαν τὰ δυϊκά. ὅθεν οὐδὲ πᾶσα διάλεκτος κέχρηται τῷ δυϊκῷ ἀριθμῷ. οἱ γὰρ Αἰολεῖς παντελῶς δυϊκὰ οὐκ ἔχουσιν, ὥσπερ οἱ Ῥωμαῖοι ἄποικοι ὄντες τῶν Αἰολέων. f. 231.

976, 7. κοινὴ] χωρὶς τῶν κατὰ διάλεκτον· Ἀτρειδᾶν γὰρ καὶ νυμφᾶν λέγουσιν οἱ Δωριεῖς ἀντὶ τοῦ Ἀτρειδῶν καὶ νυμφῶν.

11. δεῖ προσθεῖναι χωρὶς τῶν εἰς $\overline{\upsilon\varsigma}$ τῶν ἐχόντων τὸ $\overline{\upsilon}$ ἐκτεταμένον· ἐκεῖνα γὰρ προσλαμβάνουσι τὸ $\overline{\iota}$ καὶ οὐ φυλάττουσι τὸ $\overline{\upsilon}$ ἐκτεταμένον, οἷον

ἰχθῦς ὅς κε φάγῃσι Λυκάονος ἀργέτα δημόν

καὶ

ἰχθύσι τοῖς ὀλίγοισι.

καὶ πάλιν δρῦς δρυός δρυσὶν ὁμοίως διὰ συνεσταλμένου τοῦ $\overline{\upsilon}$,

παρὰ δρυσὶ καὶ παρὰ πεύκαις.

ταῦτα δὲ καθόλου συστέλλει τὸ ῡ ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν. καὶ λέγει ὁ Ἡρωδιανὸς χωρὶς τοῦ μῦς μυός μυσί· τοῦτο γὰρ φυλάττει τὸ ῡ, φησίν, ἐκτεταμένον ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν. λαμβάνονται δὲ αὐτοῦ τινές, ὧν ἔστι καὶ Ὧρος ὁ γραμματικός, λέγοντες μηδαμοῦ εὑρίσκεσθαι τὸ μυσίν ἔχον τὸ ῡ ἐκτεταμένον, ἀλλ' οὔτε δὲ φύσει συνεσταλμένον. εὑρίσκομεν δὲ αὐτό, φημὶ δὴ τὸ μυσίν, ἔχον τὸ ῡ ἐκτεταμένον καὶ συνεσταλμένον ἐν τῇ μυοβατραχομαχίᾳ.

ἔτι δεῖ προςθεῖναι χωρὶς τοῦ υἱέσι παρ' Ἀθηναίοις — καὶ τοῦ δρομέσι παρὰ Καλλιμάχῳ· ἐκεῖνα γὰρ οὕτως ἐπέγραψεν, ὀφείλων ἐπιγράψαι δρομεῦσι — καὶ τοῦ [τάλᾶσι καὶ μέλᾶσι] — καὶ τοῦ κτείς κτενός, οὐδείς οὐδενός.

21. „ἁπλᾶ" δὲ πρόςκειται διὰ τὸ λυκοθόας (infra λευκοθόας) σύνθετον· τοῦτο γὰρ τὴν τοῦ ἁπλοῦ κλίσιν ἐφύλαξε, φημὶ δὴ τὴν Θόας Θόαντος.

πρόςκειται „μὴ ὄντα ἐθνικὰ ἀπὸ τοῦ π̄ ἀρχόμενα" διὰ τὸ Πικίας Πικίαντος καὶ Πευκιτίας Πευκιτίαντος· ταῦτα γὰρ ἐθνικά εἰσιν ἀπὸ τοῦ π̄ ἀρχόμενα καὶ περιττοσυλλάβως κλίνονται ἤγουν διὰ τοῦ ν̄τ̄. τὸ γὰρ Παπίας Παπίου ἀπὸ τοῦ π̄ ἄρχεται, ἀλλ' οὐκ ἔστιν ἐθνικόν, τὸ δὲ Ὠπίας Ὠπίου ἐθνικὸν μέν ἐστιν, ἀλλ' οὐκ ἄρχεται ἀπὸ τοῦ π̄ ἀλλ' ἀπὸ τοῦ ω̄.

25. σημειοῦνται οἱ τεχνικοί τινα περιττοσυλλάβως κλινόμενα, ἤγουν διὰ τοῦ ν̄τ̄, καὶ ἔχοντα πάντα τὰ τοῦ κανόνος. εἰσὶ δὲ ταῦτα, οἷον Ἀφίας Ἀφίαντος παρ' Εὐφορίωνι (ἔστι δὲ ὄνομα κύριον), Φλεγύας Φλεγύαντος παρ' Εὐριπίδῃ (ἔστι δὲ ἐθνικόν), Ἐλέας Ἐλέαντος παρὰ Φιλοστεφάνῳ (ἔστι δὲ ὄνομα κύριον), Σατύας Σατύαντος παρ' Ἡγησίππῳ (ἔστι δὲ καὶ αὐτὸ ὄνομα κύριον). εὑρέθη δὲ καὶ τὸ Ἀρύας Ἀρύαντος περιττοσυλλάβως κλιθέν,

ἡ δὲ ὑπὲρ Ἀρύαντος ἐπὶ προχοαῖς ποταμίων,

παρ' Ἐρατοσθένει· ἔστι δὲ ὄνομα ποταμοῦ. καὶ τὸ Παρίας Παρίαντος· ἔστι δὲ ὄνομα κύριον καὶ διὰ τοῦ ῑ γράφεται. τὸ γὰρ σημαῖνον τὸν ὄφιν διὰ τῆς ε̄ῑ διφθόγγου, οἷον παρείας παρείου, καὶ ἔστιν ἡ χρῆσις παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ,

ὀδὰξ ἐλαβόμην ὡς παρείας ὢν ὄφις·

παρείας δέ ἐστιν εἶδος ὄφεως, ἔχον τὰς παρειὰς ἐπηρμένας. ταῦτα δὲ ὅλα περιττοσυλλάβως κλίνονται. εὕρηνται δὲ καὶ ἰσοσυλλάβως κλινόμενα, οἷον ὁ Φλεγύας τοῦ Φλεγύου καὶ οἱ Φλεγύαι τοὺς

Φλεγύας, ὡς παρὰ τῷ ποιητῇ

ἠδὲ μετὰ Φλεγύας μεγαλήτορας.

Τὰ εἰς ᾱς ἔχοντα πρὸ τοῦ ᾱ ἕν τι τῶν διπλῶν ἰσοσυλλάβως κλίνονται — οἷον Ἀρίζας Ἀρίζα, Ἐλίξας Ἐλίξα, Ἄψας Ἄψα. τὰ δὲ περιττοσυλλάβως κλίνονται, ἡνίκα εὑρεθῇ τὸ ῡ πρὸ τοῦ ζ, οἷον Βύζας Βύζαντος, Γύζας Γύζαντος, Πύζας Πύζαντος. ἰστέον ὅτι Ἡρωδιανὸς οὕτω κανονίζει ταῦτα.

Τὰ εἰς μας ὑπὲρ δύο συλλαβὰς, ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς φωνῆεν καταλήγουσαν, ἅπερ θέλουσι καὶ βραχείᾳ παραλήγεσθαι, περιττοσυλλάβως κλίνονται, οἷον ἀδάμας ἀδάμαντος, Ὀδόμας Ὀδόμαντος (ἔστι δὲ ὄνομα ἔθνους), Γαδάμας Γαδάμαντος, Πολυδάμας Πολυδάμαντος, Θειοδάμας Θειοδάμαντος, Ἀκάμας Ἀκάμαντος, Εὐρυδάμας Εὐρυδάμαντος, Ἀλκιδάμας Ἀλκιδάμαντος. δεῖ προσθεῖναι „χωρὶς τῶν Περσικῶν ὀνομάτων·" ἐκεῖνα γὰρ καὶ μακρᾷ παραλήγεται καὶ ἰσοσυλλάβως κλίνεται, οἷον Σαλάμας Σαλάμα, Σπιτάμας Σπιτάμα.

τὰ εἰς ᾱς περισπώμενα, εἰ μόνως κύρια ἢ ὑποκοριστικὰ ἢ ἐπισκώμματα ἢ ἀπὸ συμβεβηκότος, ἰσοσυλλάβως κλίνονται, κύρια μὲν οἷον Μηνᾶς Μηνᾶ, Ζηνᾶς Ζηνᾶ, Μητρᾶς Μητρᾶ, Κομητᾶς Κομητᾶ, Φιδιτᾶς Φιδιτᾶ, Θωμᾶς Θωμᾶ, Λουκᾶς Λουκᾶ καὶ τὰ ὅμοια, ὑποκοριστικὰ δὲ οἷον ὀστρακᾶς ὀστρακᾶ, πινακιδᾶς πινακιδᾶ, λαχανᾶς λαχανᾶ, ἐπισκώμματα δὲ οἷον καταφυγᾶς καταφυγᾶ, δακνᾶς δακνᾶ, ἀπὸ συμβεβηκότος δὲ οἷον τρέσας τρέσα ὁ δειλός. εἰ δὲ μὴ οὕτως ἔχοιεν, περιττοσυλλάβως κλίνονται, οἷον πελεκᾶς πελεκᾶντος, ἰλῦς ἰλᾶντος (σημαίνει δὲ τὸν εὐμενῆ), ἀλλᾶς ἀλλᾶντος, χωρὶς τοῦ ἀτταγᾶς ἀτταγᾶ· τοῦτο γὰρ ἰσοσυλλάβως κλίνεται· ἀτταγᾶς δέ ἐστι τὸ ἀτταγινάριον. σεσημείωται ἐν τοῖς κυρίοις τὸ Γλισᾶς Γλισᾶντος περιττοσυλλάβως κλιθέν· ἔστι δὲ ὄνομα πόλεως.

27. δεῖ δὲ γινώσκειν ὅτι οἱ μὲν γραμματικοὶ ὡς πρὸς τὴν ἐκφώνησιν ἀποβλέποντες λέγουσι τὸ ῑ ἀνεκφώνητον εἶναι, ἡνίκα εὑρεθῇ ἢ μετὰ τοῦ ᾱ μακροῦ ἢ μετὰ τοῦ η ἢ μετὰ τοῦ ω, οἷον τῷ Χρύσῃ, τῷ σοφῷ, τῷ Αἰνείᾳ, οἱ δὲ μουσικοὶ τῆς ἀκριβείας φροντίζοντες λέγουσιν ὅτι ἐκφωνεῖται μέν, οὐκ ἐξακούεται δὲ διὰ τὸ μέγεθος τῶν μακρῶν φωνηέντων· εἰ γὰρ φωνῆέν ἐστι, φασί, πῶς δύναται ἀνεκφώνητον εἶναι; ἀλλ' ὥσπερ αὐλοῦ, φασί, καὶ ὀργάνου ἠχούντων ὁ αὐλὸς οὐκ ἐξακούεται διὰ τὸ μείζονα ἦχον ἔχειν

τὸ ὄργανον καὶ καλύπτειν τὸν τοῦ αὐλοῦ ἦχον ἀσθενέστερον ὄντα, τὸν αὐτὸν τρόπον καὶ τὸ ῑ, ἀσθενέστερον ὑπάρχον πάντων τῶν φωνηέντων, ἡνίκα εὑρεθῇ μετὰ τοῦ ᾱ μακροῦ ἢ μετὰ τοῦ η̄ ἢ μετὰ τοῦ ω̄ ἐν μιᾷ συλλαβῇ, οὐκ ἐξακούεται διὰ τὸ μέγεθος τούτων. ὅτι δὲ τὸ ῑ ἀσθενέστερόν ἐστι πάντων τῶν φωνηέντων, δῆλον ἐντεῦθεν. τῶν φωνηέντων τὰ μέν εἰσι προτακτικά, τὰ δὲ ὑποτακτικά· καὶ προτακτικὰ μέν εἰσι ταῦτα, ᾱ ε̄ η̄ ο̄ ω̄, ὑποτακτικὰ δὲ δύο, ῑ καὶ ῡ. καὶ τὸ ῡ δὲ τὸ ὑποτακτικὸν πολλάκις εὑρίσκεται τοῦ ῑ προτακτικόν, ὡς ἐν τῷ μυῖα καὶ ἅρπυια καὶ υἱός καὶ ἐν τοῖς ὁμοίοις. εἰ ἄρα οὖν τὸ ῑ καὶ τοῦ ὑποτακτικοῦ ὑποτακτικόν ἐστι, δῆλον ὅτι ἀσθενέστερόν ἐστι πάντων τῶν φωνηέντων.

δεῖ προσθεῖναι „χωρὶς τῶν κατὰ διάλεκτον," ἐπειδὴ οἱ Αἰολεῖς ταῖς εἰς ω̄ ληγούσαις δοτικαῖς οὐ προσγράφουσι τὸ ῑ (τῶ Ὁμήρω γάρ φασι καὶ τῶ σοφῶ χωρὶς τοῦ ῑ), καὶ πάλιν οἱ Βοιωτοὶ ταῖς εἰς η̄ ληγούσαις δοτικαῖς οὐ προσγράφουσι τὸ ῑ (τῆ Ἑλένη γάρ φασι καὶ τῆ Πηνελόπη χωρὶς τοῦ ῑ). ἔτι δεῖ προσθεῖναι „καὶ χωρὶς τῶν διὰ τὸ μέτρον." ἔστι γὰρ ὁ ζελᾶς τοῦ ζελᾶ τῷ ζελᾷ (οὕτω δὲ λέγεται κατὰ Θρᾷκας ὁ οἶνος), καὶ τούτου ἡ δοτικὴ εὑρίσκεται παρ' Εὐριπίδῃ χωρὶς τοῦ ῑ· συστεῖλαι γὰρ βουλόμενος τὸ ᾱ οὐ προσέγραψε τὸ ῑ, οἷον

ταὐτὸν ποιεῖ τό τ' ἀττικὸν τῶ ζελά. σὺν γὰρ κεραννοῖς.

ἔτι δεῖ προσθεῖναι „καὶ χωρὶς τῶν πεπονθότων." ἔστι γὰρ τῷ κυανοχαίτου καὶ γίνεται κατὰ μεταπλασμὸν τῷ κυανοχαίτα καὶ οὐκ ἔχει προσγεγραμμένον τὸ ῑ, οἷον ὡς παρὰ Ἀντιμάχῳ

πατρί τε κυανοχαίτα Ποσειδάονι πεποιθώς.

(Conf. Lobeck ad Phrynich. p. 658.)

977, 24. Μετὰ τὰ εἰς ᾱς ὤφειλε διαλαβεῖν περὶ τῶν εἰς ε̄ς, ἐπειδὴ μετὰ τὸ ᾱ φωνῆεν τὸ ε̄ ἐστίν. — ἀλλ' ἐπειδὴ οὐδὲν ἔχομεν εἰς ε̄ς ἀρσενικὸν ἐπ' εὐθείας ἑνικῆς, χωρὶς εἰ μὴ εὑρεθῇ ἀπὸ Δωρίδος διαλέκτου κατὰ πάθος γινόμενον, τούτου χάριν διέλαβε περὶ τούτων. πρόσκειται „χωρὶς εἰ μὴ εὑρεθῇ ἀπὸ Δωρίδος διαλέκτου κατὰ πάθος γινόμενον," ἐπειδὴ πολλάκις οἱ Δωριεῖς τῶν εἰς εις τῶν διὰ τῆς ει διφθόγγου ἀποβάλλουσι τὸ ῑ, οἷον χαρίεις χαρίες, τιμήεις τιμῆες, Μαλόεις Μαλόες. τοιοῦτοι γάρ εἰσι καὶ παρὰ Καλλιμάχῳ

ὁ δὲ ἀείδων Μαλόες ἦλθε χορός

ἀντὶ τοῦ Μαλόεις. Μαλόεις ἐστὶν ὁ Λέσβιος.

25. τὰ εἰς ης μονοσύλλαβα, ἐὰν μὲν περισπῶνται, ἀποβολῇ τοῦ σ ποιοῦσι τὴν γενικήν, οἷον ὁ Δρῆς τοῦ Δρῆ, ὁ Τρῆς τοῦ Τρῆ. ταῦτα δὲ παραλόγως ἔχουσι τὴν γενικὴν εἰς η καταλήγουσαν· οὐδέποτε γὰρ εὑρίσκεται γενικὴ εἰς η καταλήγουσα, εἰ μὴ ἐπὶ τούτων τῶν δύο· εἰσὶ δὲ ταῦτα ὀνόματα κύρια. ἐὰν δὲ ὀξύνωνται, διὰ τοῦ τος κλίνονται, οἷον σής σητός (ἔστι δὲ εἶδος σκώληκος), Κρής Κρητός ὁ ἀπὸ Κρήτης, θής θητός (σημαίνει δὲ τὸν μίσθιον), γνής γνητός (γνῆτες δὲ λέγονται οἱ Ῥόδιοι καὶ ἔγνητες οἱ γνήσιοι Ῥόδιοι, ὥσπερ καὶ ἀπὸ τοῦ Κρής Κρητός Ἔγκρης Ἔγκρητος).

28. ἰστέον ὅτι τὸ κόμης τὸ ἐπὶ τῆς ἀξίας κατὰ τὴν ἀναλογίαν τὴν Ἑλληνικὴν οὐ δύναται γράφεσθαι διὰ τοῦ ι ἀλλὰ διὰ τοῦ η· οὐδέποτε γὰρ γενικὴ διὰ τοῦ τος κλινομένη ἀρσενικοῦ ἔχει ἐν τῇ παραληγούσῃ τὸ ι, οἷον Λάχητος, λέβητος, Δάρητος, πένητος, τάπητος. πρόσκειται „ἀρσενικοῦ" διὰ τὰ παρὰ τοῖς Δωριεῦσι θηλυκά· τὸ γὰρ Θέμις Θέμιδος Θέμιτος λέγουσιν οἱ Δωριεῖς — καὶ τὸ Ἄρτεμις Ἀρτέμιδος Ἀρτέμιτος καὶ χάρις χάριδος χάριτος· τοῦτο δὲ παρ᾽ ἡμῖν οὕτως ἐπεκράτησε λέγεσθαι. ὥστε οὖν τὸ κόμης κλινόμενον διὰ τοῦ τος, οἷον κόμητος, καὶ ἀρσενικὸν ὂν καὶ μὴ ἀπὸ Δωρίδος διαλέκτου δυνάμενον εἶναι ὥσπερ τὰ θηλυκά (οὐδὲ γάρ ἐστι θηλυκόν), οὐ δύναται γράφεσθαι διὰ τοῦ ι. τὸ δὲ κύριον ὄνομα τὸ Κόμης διχῶς εὑρέθη κλινόμενον παρὰ τοῖς ἀρχαίοις. εὑρίσκεται γὰρ Κόμου ἡ γενική, Ἰωνικῶς δὲ καὶ Κόμεω· εὑρίσκεται δὲ καὶ διὰ τοῦ τος κλινόμενον τῷ λόγῳ τῶν ἰαμβικῶν, οἷον Κόμητος, ὡς παρὰ τῷ Καλλιμάχῳ δημεχθέα χελλῶνα κακόκνημόν τε Κόμητα. μετρεῖται δὲ κατὰ συνίζησιν, τουτέστι τὸ ε καὶ α εἰς μίαν συλλαβήν, οἷον δημε. χθεα χελωνα. Conf. Etym. M. p. 527.

978, 9. πρόσκειται „βαρύτονα" διὰ τὰ περισπώμενα, διὰ τὸ Σωκλῆς Σωκλοῦς, Προκλῆς Προκλοῦς· ταῦτα γὰρ εἰς ους ἔχουσι τὴν γενικήν· καὶ διὰ τὸ τιμῆς τιμῆντος καὶ φθογγῆς φθογγῆντος. f. 49 et 50; f. 89 δαφνῆς δαφνῆντος, f. 92 ὦ τιμῆν, 116 φωνῆς ῆντος.

σεσημείωται ἐν τῷ κανόνι τούτῳ τὸ μάθης μάθητος διὰ τοῦ τος κλινόμενον (σημαίνει δὲ τὸν μεμαλαγμένον λῶρον) καὶ τὸ Μίλης Μίλητος (ἔστι δὲ ὄνομα ποταμοῦ. δύο δέ εἰσι ποταμοί· ὁ μὲν εἷς Μέλης ἀκούει, ὁ δὲ ἄλλος Μίλης), καὶ τὸ Μόργης Μόργητος

(ἔστι δὲ ὄνομα ἔθνους· τὸ δὲ ἐπὶ τοῦ τρυγὸς τῆς ἐλαίας ἐκεῖνο γὰρ ἀμόργης λέγεται), Ναίης Ναίητος (ἔστι δὲ ὄνομα κύριον), καὶ τὸ κούρης κούρητος (σημαίνει δὲ τὸν νεώτερον) καὶ τὰ Ὁπλής Ὀπλῆτος καὶ τὸ Πίγρης Πίγρητος (εἰσὶ δὲ ταῦτα ὀνόματα κύρια).

21. τὸ γὰρ κύριον ὄνομα τὸ Πέρσης εἰς $\overline{\eta}$ ἔχει τὴν κλητικήν, οἷον ὦ Πέρση, ὡς παρ' Ἡσιόδῳ

ὦ Πέρση σὺ δὲ ταῦτα τεῷ ἐγκάτθεο θυμῷ.

σημειούμεθα παρ' Ἡρακλείδῃ ἐν τοῖς περὶ χρησμῶν ὅτι περ καὶ λέγουσί τινες πεπλανημένα εἶναι τὸ ὦ Πέρση ποικιλόδιφρε, ἵν' ἀπὸ χεῖρας ἔχεσθαι. ἔστι γὰρ ἐνταῦθα ἐθνικὸν καὶ εἰς $\overline{\eta}$ καταλήγει ἡ κλητική.

σημειούμεθα τὸ λάγνης λάγνου ὦ λάγνα παρ' Εὐβούλῳ ἐν Κορυβάλλῳ· ἔχει δὲ οὕτως ἴθι δεῦρο ἀφελοῦ λάγνου ταχυπάκιλα. (Pervertit haec Sturz. ad E. M. p. 607, 19.) καὶ τὸ πυραίχμης πυραίχμου ὦ πυραῖχμα καὶ τὸ μενέγμης μενεγμου ὦ μενέγμα.

παρὰ τῷ ποιητῇ ὦ φιλοθερσίτη φιλοκέρτομε, καίτοιγε τοῦ ἁπλοῦ διὰ τοῦ $\overline{\alpha}$ ἐξενεχθέντος παρ' αὐτῷ, οἷον Θερσῖτ' ἀκριτόμυθε.

30. δεῖ νοεῖν ἵνα κατὰ τὸ τέλος ἔχωσι τὸ οὐδέτερον. τοῦτο δὲ εἴρηται διὰ τὸ Κλεοφόντης Κλεοφόντου· τοῦτο γὰρ παρ' οὐδέτερον, φημὶ δὴ τὸ κλέος, ἐστὶ συντεθειμένον, καὶ ὅμως οὐκ ἔχει εἰς $\overline{ους}$ τὴν γενικήν.

31. δεῖ προσθεῖναι ἐν τῷ κανόνι „χωρὶς εἰ μὴ χαρακτὴρ κωλύσῃ," διὰ τὸ Ἀμέλης Ἀμέλητος καὶ ἀμένης ἀμένητος· ταῦτα γὰρ παρ' οὐδέτερόν εἰσι συντεθειμένα, φημὶ δὴ τὸ μέλος καὶ μένος (cod. τέλος), καὶ ὅμως οὐκ ἔχουσιν εἰς $\overline{ους}$ τὴν γενικήν, ἀλλὰ διὰ τοῦ $\overline{τος}$ κλίνεται. καὶ ἔστιν εἰπεῖν ὅτι ἐπέπεσον χαρακτῆρι τοιούτῳ. εἰσί τινα εἰς $\overline{ης}$ ἔχοντα πρὸ τοῦ $\overline{\eta}$ ἀμετάβολον καὶ πρὸ τοῦ ἀμεταβόλου φωνῆεν, μὴ τὸ $\overline{\iota}$ μήτε τὸ $\overline{o}$ μήτε τὸ $\overline{\omega}$ μήτε τὸ $\overline{\varphi}$, ἅ τινα διὰ τοῦ $\overline{τος}$ κλίνεται, οἷον Ἐπιάλης Ἐπιάλητος, Ὑπέρης Ὑπέρητος (εἰσὶ δὲ ὀνόματα κύρια), Ἀκέλης Ἀκέλητος (ἔστι δὲ ὄνομα ποταμοῦ), ὑψικέρης ὑψικέρητος (σημαίνει δὲ τὸν ἐν ὕψει κεκτημένον τὰ κέρατα), Καβάρης Καβάρητος (ἔστι δὲ ὄνομα ποταμοῦ), Κεφάλης Κεφάλητος (ἔστι δὲ ὄνομα κύριον). οὕτως οὖν καὶ Ἀμέλης Ἀμέλητος (ἔστι δὲ ὄνομα ποταμοῦ) καὶ ἀμένης ἀμένητος (σημαίνει δὲ τὸ παιδίον διὰ τὸ μὴ ἔχειν μένος).

32. οὐ καλῶς ἐσημειώσατο αὐτό· τὸ γὰρ ἀγκυλοχείλης οὐκ

ἐστι σύνθετον ἀλλὰ παρασύνθεταν. ὡς γὰρ παρὰ τὸ ῥῖγος γίνεται δύςριγος καὶ παρὰ τὸ θάρσος, ὅπερ ἐστὶν Αἰολικῶς θέρσος, ἐξ οὗ ἐστὶ καὶ Θερσίτης, Ἀλίθερσος, καὶ παρὰ τὸ ξίφος ἄξιφος σύνθετον, οὕτω καὶ παρὰ τὸ χεῖλος ἀγκυλόχειλος σύνθετον, καὶ λοιπὸν ἀπὸ τοῦ ἀγκυλόχειλος συνθέτου γίνεται παρασύνθετον ἀγκυλοχείλης ἀγκυλοχείλου, καὶ ἔτρεψε τὸ ο̅ εἰς τὸ η̅, φυλάξαν τὴν αὐτὴν κλίσιν. τούτου χάριν οὐκ ὀξύνομεν αὐτὸ ἀλλὰ βαρύνομεν.

979. 6. ἰστέον δὲ ὅτι οἱ Ἀθηναῖοι ἐπὶ τῶν κυρίων τῶν εἰς η̅ς̅, εἰς ο̅υ̅ς̅ ἐχόντων τὴν γενικήν, εἰς ν̅ ποιοῦσι τὴν αἰτιατικὴν καὶ εἰς η̅ τὴν κλητικήν, οἷον ὁ Δημοσθένης τοῦ Δημοσθένους τὸν Δημοσθένην ὦ Δημοσθένη, ὁ Διομήδης τοῦ Διομήδους τὸν Διομήδην ὦ Διομήδη, ὁ Ἀριστοφάνης τοῦ Ἀριστοφάνους τὸν Ἀριστοφάνην ὦ Ἀριστοφάνη.

δεῖ παραφυλάξασθαι τοῦτο ὅτι οἱ ἔθος ἔχοντες Ἀττικοὶ ποιεῖν τὰς αὐτὰς ὀρθὰς καὶ κλητικάς, οἷον ὁ Αἴας καὶ ὦ Αἴας, ὁ Θόας ὦ Θόας, ὁ κοχλίας ὦ κοχλίας, ἐπὶ τῶν εἰς ης, εἰς ους ἐχόντων τὴν γενικήν, κυρίων οὐχ εὑρίσκονται ποιοῦντες ὁμόφωνον τὴν γενικὴν τῇ εὐθείᾳ· οὐδὲ γὰρ λέγουσιν ὦ Ἀριστοφάνης καὶ ὦ Δημοσθένης, ἀλλ᾽ ὦ Ἀριστοφάνη καὶ ὦ Διομήδη καὶ ὦ Δημοσθένη. δεῖ δὲ προσθεῖναι ὅτι ἐν τοῖς εἰς ης, εἰς ους ἔχουσι τὴν γενικήν, οὖσι παρὰ τὸ κλέος, ποιοῦσιν οἱ Ἀθηναῖοι τὴν αὐτὴν ὀρθὴν καὶ κλητικήν, οἷον ὁ Νικοκλῆς ὦ Νικοκλῆς, ὁ Περικλῆς ὦ Περικλῆς, ὁ Σοφοκλῆς ὦ Σοφοκλῆς, ὁ Ἡρακλῆς ὦ Ἡρακλῆς. πρόσκειται ἀνωτέρω „ἐπὶ τῶν κυρίων," ἐπειδὴ ἐπὶ τῶν ἐπιθέτων παρ᾽ αὐτοῖς ὁμόφωνός ἐστιν ἡ κλητικὴ τῇ εὐθείᾳ, οἷον ὁ δυστυχής ὦ δυστυχής, ὡς παρὰ Μενάνδρῳ

ὦ δυστυχής, τί οὐ καθεύδεις;

8. δεῖ γινώσκειν ὅτι ἐν μὲν τοῖς δυϊκοῖς τὰ δύο ε̅ε̅ εἰς η̅ κιρνᾶται, οἷον Δημοσθένεε Δημοσθένη, Διομήδεε Διομήδη, ἐν δὲ τοῖς πληθυντικοῖς εἰς τὴν ε̅ι̅ δίφθογγον, οἷον Δημοσθένεες Δημοσθένεις, Διομήδεες Διομήδεις. σπανίως δὲ καὶ ἐν τοῖς δυϊκοῖς εὑρίσκονται τὰ δύο ε̅ε̅ εἰς τὴν ε̅ι̅ δίφθογγον κιρνάμενα, ὡς παρ᾽ Αἰσχίνῃ τῷ Σωκρατικῷ τούτω τὼ πόλει (λέγει δὲ περὶ Ἀθηνῶν καὶ Λακεδαιμονίων), καὶ ἐν τοῖς πληθυντικοῖς εἰς η̅, οἷον ἱππέες ἱππῆς καὶ βασιλέες βασιλῆς· ταῦτα δὲ Ἀττικά εἰσι, καὶ ἐπὶ μόνων τῶν εἰς ευς τοῦτο ποιοῦσιν οἱ Ἀττικοί.

18. μηδεὶς οἰέσθω ὅτι τὸ Δημοσθένεις ἀπὸ τοῦ Δημοσθέ-

τεις ἀπὸ τοῦ Δημοσθένεας γέγονε κατὰ κρᾶσιν τοῦ $\overline{ε}$ καὶ $\overline{α}$ εἰς τὴν $\overline{ει}$ δίφθογγον· τὸ γὰρ $\overline{ε}$ καὶ $\overline{α}$ εἰς $\overline{η}$ κιρνᾶται, οἷον τείχεα τείχη, βέλεα βέλη. ἀλλὰ δεῖ λέγειν ὅτι ὁμοφωνία ἐστὶ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν πρὸς τὴν εὐθεῖαν τῶν πληθυντικῶν. πᾶσα εὐθεῖα πληθυντικῶν εἰς $\overline{σ}$ λήγουσα, καὶ συναιρουμένη κατὰ τὴν τελευταίαν συλλαβήν, τὴν αἰτιατικὴν ἔχει ὁμόφωνον, αὐτῇ δηλονότι, καὶ τὴν κλητικήν, οἷον οἱ βότρυς τοὺς βότρυς ὦ βότρυς, οἱ βοῦς τοὺς βοῦς ὦ βοῦς, οἱ ἰχθῦς τοὺς ἰχθῦς ὦ ἰχθῦς, οἱ ἡδεῖς τοὺς ἡδεῖς ὦ ἡδεῖς, οἱ εὐγενεῖς τοὺς εὐγενεῖς ὦ εὐγενεῖς, οἱ εὐφυεῖς τοὺς εὐφυεῖς ὦ εὐφυεῖς. οὕτως οὖν καὶ οἱ Δημοσθένεις τοὺς Δημοσθένεις ὦ Δημοσθένεις. — — δεῖ δὲ γινώσκειν ὅτι οἱ Ἀττικοὶ τούτῳ τῷ λόγῳ οὐκ ἀκολουθοῦσιν. ἐκεῖνοι γὰρ ἐπὶ τῶν εἰς $\overline{ευς}$ συναιροῦντες τὰ δύο $\overline{εε}$ εἰς τὸ $\overline{η}$ ἐν τῇ εὐθείᾳ τῶν πληθυντικῶν, οἷον ἱππέες ἱππῆς καὶ βασιλέες βασιλῆς, οὐ ποιοῦσιν ὁμόφωνον τὴν αἰτιατικὴν τῇ εὐθείᾳ· οὐδὲ γὰρ ποιοῦσι τὴν αἰτιατικὴν τῶν πληθυντικῶν διὰ τοῦ $\overline{η}$.

δεῖ δὲ καὶ τοῦτο γινώσκειν ὅτι οἱ Ἀττικοὶ ἐπὶ τῶν εἰς $\overline{ης}$, εἰς $\overline{ους}$ ἐχόντων τὴν γενικήν, καὶ ἐπὶ τῶν παρὰ τὸ ἔτος διὰ τοῦ $\overline{α}$ ποιοῦσι τὴν αἰτιατικὴν τῶν πληθυντικῶν, οἷον ὁ Δημοσθένης τοῦ Δημοσθένους τοὺς Δημοσθένας, ὁ Ἀριστοφάνης τοῦ Ἀριστοφάνους τοὺς Ἀριστοφάνας, ὁ δωδεκαέτης τοῦ δωδεκαέτους τοὺς δωδεκαέτας, ὁ ἑπταέτης τοῦ ἑπταέτους τοὺς ἑπταέτας. τὴν δὲ εὐθεῖαν τῶν πληθυντικῶν διὰ τῆς $\overline{αι}$ διφθόγγου ποιοῦσιν ἐπὶ τούτων, οἷον οἱ Δημοσθέναι, οἱ Ἀριστοφάναι, οἱ δωδεκαέται, οἱ ἑπταέται.

24. ὅμοια αὐτῷ] δηλονότι κύρια. — τὰ γὰρ ἐπίθετα μίαν ἔχουσιν εὐθεῖαν τὴν ἐντελῆ μόνην· συνῃρημένην γὰρ οὐκ ἔχουσιν, οἷον ἀκλεής, δυσκλεής, ἀγακλεής.

πᾶν ὄνομα μονοσύλλαβον ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον, οἷον χθών αὐτόχθων, παῖς εὔπαις, Θρᾷξ Σαμόθρᾳξ, δαίς ὁμόδαις, κλείς κατάκλεις, πούς δίπους, χωρὶς τοῦ πτώξ πολυπτώξ, πολυπτῶκές τε Μέλαιναι. τὸ δὲ Μέλαιναι τόπος ἐπὶ τῆς Ἀττικῆς. Conf. Etym. M. 639, 19.

980, 1. Ἡρακλέους] καὶ Ἡρακλῆος ποιητικῶς, οἷον

τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο.

2. Ἡρακλέει καὶ Ἡρακλῆϊ ποιητικῶς. Ἡρακλέα καὶ Ἡρακλέη, καὶ Ἀττικῶς Ἡρακλέην, καὶ Ἡρακλῆα ποιητικῶς.

3. Ἥρακλες καὶ Ἀττικῶς ὦ Ἡρακλέη. 6. Ἡρακλέοιν καὶ Ἡρακλήοιν. 8. Ἡρακλέεις καὶ Ἡρακλῆες. 9. Ἡρακλεῶν καὶ Ἡρακλήων. 10. Ἡρακλέας] Ἡρακλᾶς κατὰ κρᾶσιν τοῦ ε̄ καὶ ᾱ εἰς ᾱ μακρόν. 11. Ἡρακλέεις καὶ Ἡρακλῆες. 14. Ἡρακλῆς] καὶ Ἀττικῶς ὦ Ἡρακλῆ, ὥσπερ καὶ Δημοσθένη. 18. Ἡρακλεῖς καὶ Ἀττικῶς Ἡρακλαῖ.

19. Ἡρακλεῖς καὶ Ἀττικῶς Ἡρακλᾶς.

22. τὰ εἰς ις ὀνόματα Αἰγύπτια ὡς ἐπὶ τὸ πλεῖστον διὰ καθαροῦ τοῦ ος κλίνονται, οἷον Ξόϊς Ξόεως, Ἀθλίβις Ἀθλίβεως, Σόϊς Σόεως, Θμόϊς Θμόεως, Ταμίαθις Ταμιάθεως [Ξόϊος, Σόϊος, Θμόϊος, Ταμιάθιος f. 109.]· ἔστι δὲ ταῦτα ὀνόματα πόλεων Αἰγυπτίων. πρόσκειται ὡς ἐπὶ τὸ πλεῖστον διὰ τὸ Μέμφις· ὅτε μέν ἐστι Μέμφιος σεσημείωται, ὅτε δὲ ἐν τῇ χρήσει Μέμφιδος. ἔστι γὰρ Αἰγύπτιον ὄνομα. σεσημείωται τὸ Βούσιρις Βουσίριδος καὶ Ὄσιρις Ὀσίριδος· καὶ ταῦτα γὰρ Αἰγυπτίων εἰσὶ καὶ ὅμως διὰ τοῦ δος κλίνονται. Id. f. 54.

Τὰ παρὰ τὸ πόλις σύνθετα ἂν μὲν θηλυκοῦ μόνου γένους γένωνται, τὴν τοῦ ἁπλοῦ φυλάττουσι κλίσιν, τουτέστι διὰ καθαροῦ τοῦ ως κλίνονται, οἷον πόλις πόλεως ἀκροπόλεως, Καλλίπολις Καλλιπόλεως, Ἀμφίπολις Ἀμφιπόλεως· ἂν δὲ ἀρσενικοῦ μόνου γένους γένωνται ἢ ἀρσενικοῦ καὶ θηλυκοῦ, διὰ τοῦ δος κλίνονται, ἀρσενικοῦ μὲν μόνου γένους, οἷον ὁ Σώπολις τοῦ Σωπόλιδος (ἔστι δὲ ὄνομα κύριον κωμικοῦ), ὁ Ἀγησίπολις τοῦ Ἀγησιπόλιδος (ἔστι δὲ ὄνομα στρατηγοῦ τῶν Ἀθηναίων· τοῦτο δὲ καὶ Ἀγησιπόλιος εὕρηται παραλόγως), ἀρσενικοῦ δὲ καὶ θηλυκοῦ οἷον ὁ φιλόπολις καὶ ἡ φιλόπολις—τοῦ φιλοπόλιδος τῆς φιλοπόλιδος, ὁ ἄπολις καὶ ἡ ἄπολις—τοῦ ἀπόλιδος καὶ τῆς ἀπόλιδος. Id. f. 55.

24. μενδῖς μενδῖδος μενδῖδι μενδῖν μολῖς μολῖδος μολῖδι μολῖν, ἀταρτῖδος ἀταρτῖδι ἀταρτῖν. ταῦτα δέ εἰσιν ὀνόματα δαιμόνων τιμωμένων παρὰ Θρᾳξίν.

25. τὰ ἐν τοῖς θηλυκοῖς σεσημειωμένα] εἰσὶ δὲ ταῦτα, Χάρυβδις Χαρύβδιος, Σάρδις Σάρδιος. ταῦτα γὰρ οὐκ ἐκλίθησαν διὰ τοῦ δος διὰ τὴν κακοφωνίαν· εὑρίσκετο γὰρ ἀλλεπάλληλον τὸ δ̄, ὅπερ ἐστὶ κακόφωνον. τούτοις ἠκολούθησε κατὰ τὴν κλίσιν καὶ τὸ Τράλλις Τράλλιος· ἔστι δὲ ὄνομα πόλεως Ἰωνικῆς. ἔτι σεσημείωται καὶ τὸ Σκῆψις Σκήψιος καὶ τὸ Ἐπίσκηψις Ἐπισκήψιος·

ὀνόματα δέ εἰσι ταῦτα πόλεων Τρωϊκῶν. καὶ τὸ Λάχεσις Λαχέσιος καὶ τὸ Νέμεσις Νεμέσιος καὶ τὸ Ἐπίκτησις Ἐπικτήσιος· εἰσὶ δὲ ταῦτα ὀνόματα κύρια.

σημειοῦται ὁ Ὦρος καὶ ὁ Ἀρκάδιός τινα εἰς ῑς κύρια ὀνόματα διὰ καθαροῦ τοῦ ος κλινόμενα· εἰσὶ δὲ ταῦτα Ζῆνις Ζήνιος, Ὄφις Ὄφιος, Σέντις Σέντιος, Πόλις Πόλιος, Ἀνάχαρσις Ἀναχάρσιος, Σύβαρις Συβάριος, Τράλλις Τράλλιος, Τάξις Τάξιος, Ἆγις Ἄγιος καὶ Ἄγιδος, Θάμυρις Θαμύριος καὶ Θαμύριδος, Ἀγησίπολις Ἀγησιπόλιος καὶ Ἀγησιπόλιδος, Γάοζις Γαόζιος. εὑρέθη δὲ καὶ τοῦ Βούσιρις ἡ δοτικὴ τῷ Βουσίρι ὡς ἀπὸ τοῦ Βουσίριος Βουσίρϊι καὶ κατὰ κρᾶσιν τῶν δύο ῐ εἰς ἓν ῑ, δηλονότι μακρόν, Βουσίρι, — καὶ τοῦ Κλέοβις Κλεόβιος Κλεόβϊι Κλεόβι.

981, 8. δεῖ προςθεῖναι ἐν τῷ κανόνι τοῦ τεχνικοῦ τέσσαρά τινα, ἵνα εὑρεθῇ ὑγιὴς ὁ κανών, „ὑπὲρ μίαν συλλαβήν" διὰ τὸ τίς τινός, „μὴ ὄντα δικατάληκτα" διὰ τὸ δελφίς δελφῖνος, „ἀρσενικόν" διὰ τὸ ἀσπίς ἀσπίδος, μῆνις μήνιδος, „ἁπλᾶ" διὰ τὸ λεύκασπις λευκάσπιδος.

τὸ πόληος διὰ τοῦ η̄ καὶ ο̄, οἷον ἀγροῦ νόσφι πόληος, οὐκ ἔστιν Ἰωνικόν, ἀλλ' ἀπὸ τοῦ πόλιος διὰ τοῦ ῐ γέγονε κατ' Αἰολικὴν τροπὴν τοῦ ῐ εἰς τὸ η̄, ὡς ἐπὶ τοῦ ψιμμύθιον ψημμύθιον καὶ ἀκτῖνες ἀκτῆνες.

9. πρόςκειται „μὴ ὄντα παρώνυμα μακροπαράληκτα" διὰ τὸ γύννις γύννιδος καὶ λάτρις λάτριδος καὶ εὖνις εὔνιδος.

τὰ παρὰ τὸ μάντις σύνθετα διὰ τοῦ δος κλίνονται, οἷον κοσκινόμαντις κοσκινομάντιδος, ἀλευρόμαντις ἀλευρομάντιδος, πρόμαντις προμάντιδος.

20. ὄφιε καὶ ὄφεε καὶ κατὰ κρᾶσιν ὄφη. ὀφίοιν καὶ ὀφέοιν καὶ ὄφεων. ὄφιε καὶ ὦ ὄφεε καὶ ὦ ὄφη. 21. ὄφιες καὶ ὄφεες καὶ κατὰ κρᾶσιν ὄφεις. ὀφίων καὶ ὄφεων.

27. οὐ μόνον διχῶς λέγεται, ἀλλὰ καὶ τριχῶς· λέγεται γὰρ καὶ ὦ χαρίεις ὁμοφώνως τῇ εὐθείᾳ Ἀττικῶς.

28. δεῖ προςθεῖναι „κοινολεκτούμενα" διὰ τὰ Αἰολικά. οἱ γὰρ Αἰολεῖς τὸ τάλας τάλαις λέγουσι καὶ τὸ Θόας Θόαις —, καὶ ὅμως — οὐ λέγουσιν ὦ τάλαι καὶ ὦ Θόαι, ἀλλ' ὦ τάλαν καὶ ὦ Θόαν.

982, 7. ποῖον δὲ ἀναλογώτερόν ἐστιν, εἴτε τὸ χαρίεισιν εἴτε τὸ χαρίεσσιν, ἐν τῷ ὀνοματικῷ τοῦ Ἡρωδιανοῦ, εἰ θεῷ φίλον, μαθησόμεθα. ἰστέον δὲ ὅτι λέγει ὁ Ἡρωδιανὸς ἐν τῷ περὶ τοῦ

ἡδὺ ὕδωρ μονοβίβλῳ, ὡς οὐ δεῖ διὰ τῶν δύο σσ τὰς τοιαύτας δοτικὰς προφέρεσθαι ἀλλὰ δι᾽ ἑνός, οἷον χαρίεσι τιμήεσι ὥςπερ Πλάτωνι Πάρεσι Δημοσθένεσι.

12. τὰ εἰς ευς πέντε κλίσεις ἐπιδέχονται. κλίνονται γὰρ διὰ τοῦ ε καὶ ο κοινῶς, οἷον Ἀχιλλέος, βασιλέος· καὶ διὰ τοῦ ε καὶ ω Ἀττικῶς, οἷον Ἀχιλλέως, βασιλέως· καὶ διὰ τοῦ η καὶ ο παρὰ τοῖς ἀρχαίοις Ἴωσιν, οἷον Ἀχιλλῆος, βασιλῆος· ὁμοίως δὲ καὶ παρὰ τοῖς ἀρχαίοις Αἰολεῦσιν, ἀλλ᾽ οἱ Αἰολεῖς προπαροξύνουσιν, Ἀχίλληος καὶ βασίληος· παρὰ δὲ τοῖς νεωτέροις Ἴωσι διὰ τῆς ει διφθόγγου καὶ ο, οἷον Ἀχιλλεῖος καὶ βασιλεῖος· ὁμοίως δὲ καὶ παρὰ τοῖς νεωτέροις Αἰολεῦσιν, ἀλλὰ πάλιν οἱ Αἰολεῖς προπαροξύνουσιν, Ἀχίλλειος καὶ βασίλειος λέγοντες· παρὰ δὲ τοῖς Βοιωτοῖς διὰ τοῦ ι καὶ ο, οἷον Ἀχιλλίος, βασιλίος. τοιοῦτόν ἐστι καὶ τὸ Ζεύς Βοιωτικῶς γινόμενον κατὰ τὴν γενικὴν Διός διὰ τοῦ ι καὶ ο. τὸ γὰρ ζ εἰς τὸ δ τρέπεται Βοιωτικῶς, οἷον Ζῆθος Δῆθος (ἔστι δὲ ὄνομα κύριον) καὶ τὸ ζυγός δυγός. οὕτω καὶ τὸ Ζεύς Δεύς. καὶ λοιπὸν ἀπὸ τοῦ Δεύς ἐγένετο ἡ γενικὴ ἀκολούθως διὰ τοῦ ι Βοιωτικῶς Διός. Infra f. 107: τινὲς δὲ καὶ τὴν Διός γενικὴν ἀπὸ τῆς Δίς εὐθείας θέλουσι λέγειν, τῆς εὑρημένης παρὰ τῷ Ῥίνθωνι. — εἰ δ᾽ ἦν ἀπὸ τῆς Δίς εὐθείας, ὤφειλε μακρὸν ἔχειν τὸ ι, ὥςπερ κίς κιός λίς λιός· εἰ γὰρ καὶ εὕρηται τὸ λίς συνεσταλμένον ἔχον τὸ ι, ὡς ἐπὶ τοῦ ὥςτε λὶς ἠϋγένειος ποιητικῶς ὡς παρ᾽ Ἐμφορίωνι ἐν μομψοπίᾳ ὡς ἐπὶ τοῦ οἱ ἐπιθύουσι βῶν λίες, καὶ πάλιν κάπροι τε λίες τε, ἀλλ᾽ οὖν καὶ ἐκτεταμένον ἔχει αὐτό, ὡς ἐπὶ τοῦ λῖες μέντοι λίεσσιν. ἡ δὲ Διός γενικὴ οὐδέποτε ἔχει αὐτὸ ἐκτεταμένον. Et f. 119: ἐκεῖνος γὰρ ἐπλάσατο τὴν Δίς εὐθεῖαν πρὸς τὴν Διός γενικήν, ἵνα νομισθῇ ἀκόλουθος εἶναι ἡ γενική.

16. ἐπὶ τῶν Ἀττικῶν τῶν γινομένων κατὰ συναλοιφὴν ἐν τῇ γενικῇ τοῦ ε καὶ ω εἰς τὸ ω, οἷον τοῦ Ἐρετριέως τοῦ Ἐρετριῶς, τοῦ Στειριέως τοῦ Στειριῶς, οἱ Ἀθηναῖοι τὰς αἰτιατικὰς συναλείφοντες εἰς α μόνον ποιοῦσιν αὐτάς, οἷον τὸν Ἐρετριέα τὸν Ἐρετριᾶ, τὸν Στειριέα τὸν Στειριᾶ, καὶ οὐκέτι καὶ εἰς η.

19. τὼ Πηλέε τὼ Πηλῆ. ἡ γενικὴ τῶν δυϊκῶν οὐ συναιρεῖται ἐνταῦθα, ἐπειδὴ οὔτε ἡ γενικὴ τῶν ἑνικῶν συναιρεῖται.

ὦ Πηλέε ὦ Πηλῆ. εἴρηται.

20. οἱ Πηλέες καὶ οἱ Πηλεῖς. ἰστέον ὅτι ἐπὶ τῶν εἰς ευς κυ-

ρίων ἡ εὐθεῖα τῶν πληθυντικῶν τὰ δύο ε͞ε εἰς τὴν ε͞ι δίφθογγον συναλείφει μόνως, ἐπὶ δὲ τῶν μὴ ὄντων κυρίων εἰς τὴν ε͞ι δίφθογγον συναλείφει τὰ δύο ε͞ε καὶ εἰς τὸ η͞ Ἀττικῶς, βασιλέες βασιλεῖς διὰ τῆς ε͞ι διφθόγγου, καὶ βασιλῆς Ἀττικῶς διὰ τοῦ η͞. ἡ δὲ τούτων αἰτιατικὴ διὰ τῆς ε͞ι διφθόγγου μόνως λέγεται, οὐκέτι δὲ καὶ διὰ τοῦ η͞. — σημειοῦται δὲ ὁ Ἡρωδιανὸς παρὰ τῷ Σοφοκλεῖ τοὺς βασιλῆς διὰ τοῦ η͞ γραφομένους κατὰ τὴν αἰτιατικήν, οἷον

τούς τε διστάρχας ὤλεσας βασιλῆς.

ἔστι δὲ καὶ παρὰ τῷ Ξενοφῶντι τοὺς νομῆς διὰ τοῦ η͞.

23. δεῖ παραφυλάξασθαι τὸ υἱέσι παρὰ τοῖς Ἀθηναίοις· ὤφειλε γὰρ εἶναι υἱεῦσιν· υἱεύς γάρ ἐστιν ἡ εὐθεῖα. ἔχει δὲ ἀπολογίαν τοιαύτην. ἐπειδὴ πάντων τῶν εἰς ε͞υς κατὰ τὴν γενικὴν διὰ τοῦ ε͞ καὶ ω͞ γινομένων παρὰ τοῖς Ἀθηναίοις τοῦτο μόνον οὐκ ἐγένετο διὰ τοῦ ε͞ καὶ ω͞ κατὰ τὴν γενικὴν παρ' αὐτοῖς, εἰκότως παρήλλαξε καὶ κατὰ τὴν δοτικὴν τῶν πληθυντικῶν.

24. τοὺς Πηλέας καὶ Πηλεῖς.

33. ἰστέον ὅτι οὐ συναιρεῖται ἐνταῦθα ἡ εὐθεῖα τῶν δυϊκῶν· οὐδὲ γὰρ λέγομεν τὼ ἠδέε τὼ ἠδῆ, ὥσπερ τὼ Δημοσθένεε τὼ Δημοσθένη. — δεῖ δὲ γινώσκειν ὅτι τὸ τραχύς μόνον εὑρίσκεται συναιρούμενον κατὰ τὴν εὐθεῖαν τῶν δυϊκῶν εἰς τὴν ε͞ι δίφθογγον παρὰ Ἴωνι τῷ τραγικῷ, οἷον τὼ τραχέε τὼ τραχεῖ.

983, 5. τὰ εἰς ͞υς ὑπὲρ μίαν συλλαβὴν περισπώμενα, εἰ μὲν ὦσιν ὑποκοριστικά, ἀποβολῇ τοῦ σ͞ ποιοῦσι τὴν γενικήν, οἷον ὁ Καμῦς τοῦ Καμύ, ὁ Λαρδῦς τοῦ Λαρδύ, ὁ Κλαυσῦς τοῦ Κλαυσύ, ὁ Καρδῦς τοῦ Καρδύ, ὁ Διονῦς τοῦ Διονύ.

ἰστέον ὅτι πάντα τὰ εἰς ͞υς περισπώμενα ὑπὲρ μίαν συλλαβὴν ὄντα ὑποκοριστικά εἰσιν, οἷον ὁ Καμμῦς, ὁ Κλαυσῦς, ὁ Διονῦς, ὁ Λαρδῦς, χωρὶς τῶν τριῶν τούτων, φημὶ δὴ τοῦ ὀσφῦς ὀφρῦς ἰχθῦς. τὸ γὰρ ἰξύς, εἰ καὶ παρατέθειται ὁ Ἡρωδιανὸς ἐν τῷ ὀνοματικῷ ὡς περισπώμενον, ἀλλ' οὖν οὐ περισπᾶται ἀλλ' ὀξύνεται, ὥς φησιν ἐν τῇ καθόλου.

ταῦτα δὲ τὰ εἰς ͞υς ὑποκοριστικὰ εἰς τὰ ἑνικὰ κλίνεται μόνον.

ταῦτα δὲ τὰ ὑποκοριστικὰ οὐκ ἔχουσι τὸ ι͞ ἐν τῇ δοτικῇ τῶν ἑνικῶν· τῷ Καμμῦ γὰρ καὶ τῷ Κλαυσῦ καὶ τῷ Διονῦ καὶ τῷ Λαρδῦ χωρὶς τοῦ ι͞, ἐπειδὴ οὐδέποτε ἐν τέλει λέξεως ἡ υ͞ι δίφθογγος εὑρίσκεται.

16. ἰστέον δὲ ὅτι εὑρέθη τοῦ βοῦς ἡ γενικὴ οὐ μόνον βοός ἀλλὰ καὶ τοῦ βοῦ παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ καὶ παρὰ τῷ Αἰσχύλῳ.

17. ἰστέον ὅτι πάντα τὰ εἰς ους ἁπλᾶ περισπῶνται χωρὶς τῶν δύο τούτων, τοῦ πούς καὶ ὀδούς· ταῦτα γὰρ ὀξύνονται. ὅθεν διὰ τὸ ὀξύνεσθαι αὐτὰ καὶ τὴν κλίσιν ἤλλαξαν — ὅπου γὰρ εἰς ἓν ἡμάρτηταί τι, ὁμοίως ἡμάρτηται καὶ εἰς ἄλλο.

19. σπανιωτέρα ἐστὶν ἡ εἰς ᾱ, οἷον τὸν βόα· εὑρέθη δὲ σπανίως παρὰ Φερεκύδει τῷ Ἀθηναίῳ. — ἐπὶ δὲ τοῦ χροῦς καὶ χοῦς τὸ ἐναντίον ἡ μὲν εἰς ᾱ ἐστὶν ἐν πλάτει, οἷον χρόα καὶ χόα,

μήτις χρόα χαλκῷ ἐπαύρῃ,

ἡ δὲ εἰς ν̄ σπανιωτέρα, οἷον χροῦν καὶ χοῦν.

21. σπανία ἐστὶν ἡ χρῆσις τῆς βοῦς εὐθείας τῶν πληθυντικῶν, μᾶλλον δὲ οἱ βόες εὕρηται. ἐπὶ δὲ τῆς ὁμοφωνούσης αὐτῇ αἰτιατικῆς, λέγω δὲ τῆς τὰς βοῦς, πλατειά ἐστιν ἡ χρῆσις, ὡς ἐν Κόλαξιν Εὐπόλιδος

θὲς νῦν ἀγροὺς καὶ πρόβατα καὶ βοῦς

καὶ παρὰ τῷ Ἡρακλείδῃ ἐν τῇ ἀρχῇ τῆς λέσχης.

22. ὦ βόες καὶ ὦ βοῦς ὁμοφώνως τῇ εὐθείᾳ.

24. ὁ νόος τοῦ νόου κλίνεται κατὰ τὸν λόγον συναιρέσεως; οἷον ὁ νόος τοῦ νόου ὁ νοῦς τοῦ νοῦ. εὑρίσκεται δὲ ἐν τοῖς χρησμοῖς τῷ νοΐ ἡ δοτική, ὡς ἀπὸ τῆς νοός γενικῆς. καὶ τὸ εὔνους τὸ σύνθετον ἰσοσυλλάβως κλίνεται ὁμοίως, οἷον ὁ εὔνους τοῦ εὔνου. ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ εὖνοί ἐστιν· οἱ γὰρ χρησάμενοι καὶ εἰπόντες οἱ εὔνους κακῶς ἐχρήσαντο.

κακῶς καὶ παρὰ τὴν ἀναλογίαν οἱ φιλόσοφοι χρῶνται λέγοντες τὸν νόα τὴν αἰτιατικὴν τῶν ἑνικῶν, καὶ οἱ νόες τὴν εὐθεῖαν τῶν πληθυντικῶν, καὶ τοὺς νόας τὴν αἰτιατικὴν τῶν πληθυντικῶν. σεσημείωται παρὰ Φιλήμονι τῷ κωμικῷ οἱ εὔνοες. τοῦτο γὰρ ὡς ἀπὸ τοῦ παρὰ φιλοσόφοις· εὔνοες γὰρ γέγονε κατὰ κρᾶσιν.

28. ἀρσενικὰ] ἀρσενικὰ ἢ θηλυκά.

984, 10. Τὰ εἰς ω̄ς̄ μονοσύλλαβα, εἰ μὲν περισπῶνται, ἀποβολῇ τοῦ σ̄ ποιοῦσι τὴν γενικήν, οἷον ὁ σῶς τοῦ σῶ (ἀντὶ τοῦ ὁ ὑγιής), ὁ Κρῶς τοῦ Κρῶ, ὁ Γνῶς τοῦ Γνῶ, ὁ Κῶς τοῦ Κῶ (ταῦτα δὲ ὀνόματά εἰσιν ἡρώων ἀρσενικὰ κύρια, ὁμοφωνοῦντα ταῖς πόλεσιν) — εἰ δὲ ὀξύνονται, — περιττοσυλλάβως κλίνονται χωρὶς τοῦ ζώς· τοῦτο γὰρ ἀποβολῇ τοῦ σ̄ ποιεῖ τὴν γενικήν, οἷον ὁ ζώς τοῦ ζῶ (σημαίνει δὲ τὸν ζῶντα).

12.

12. ἰστέον ὅτι εὑρίσκεται ἡ δοτικὴ τοῦ ἱδρώς κατὰ ἀποκοπὴν τοῦ ι ἱδρῶ, ὡς παρὰ τῷ ποιητῇ

καμάτῳ δὲ καὶ ἱδρῷ πωλεμες αἰεί,

καὶ ἡ αἰτιατικὴ ὁμοίως τὴν ἱδρῶ κατὰ ἀποκοπὴν τοῦ τα, οἷον

ἱδρῶ ἀπεψύχοντο.

18. Ἀθηναῖοι ἐπὶ τούτων πάντων ἰσοσύλλαβον ποιοῦνται κλίσιν· τοῦ γέλω γὰρ καὶ τοῦ Μίνω καὶ τοῦ ἥρω λέγουσιν.

24. φησὶν Ἡρωδιανὸς ἐν τῇ καθόλου, ἐν τῇ περὶ τῆς εὐθείας τῶν πληθυντικῶν διδασκαλίᾳ, ὡς ἡ οἱ ἥρωες εὐθεῖα τῶν πληθυντικῶν εὕρηται κατὰ κρᾶσιν παρὰ Ἀριστοφάνει ἐν Ὄρνισιν, οἷον

οἱ γὰρ ἥρως ἐγγύς εἰσιν

ἀντὶ τοῦ οἱ ἥρωες.

τὰ εἰς ως σύνθετα, εἰ μὲν κοινά εἰσι, τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν, οἷον ἱδρώς λυσίδρως λυσίδρωτος, ἔρως χρυσέρως χρυσέρωτος, γέλως φιλόγελως φιλογέλωτος· εἰ δὲ Ἀττικά εἰσιν, ἀποβολῇ τοῦ σ ποιοῦσι τὴν γενικήν, οἷον ὁ δυσέρως τοῦ δύσερω.

27. σεσημείωται τὸ ὀρφῶς καὶ λαγῶς περισπώμενα. ταῦτα γὰρ οὐκ ἐφύλαξαν τὸν τόνον τῶν κοινῶν. τοῦ μὲν γὰρ ὀρφῶς τὸ κοινὸν ὄρφος βαρυτόνως, τοῦ δὲ λαγῶς λαγωός ὀξυτόνως.

τὰ πολλὰ εὑρίσκονται παρὰ Ἀθηναίοις εἰς ως μὴ ἔχοντα προϋποκείμενον κοινόν, οἷον κορώνεως, φιβάλεως, δαμερίππεως, χελιδώνεως, ἱέρεως. ἔστι δὲ τὸ μὲν κορώνεως καὶ φιβάλεως καὶ δαμαρίππεως καὶ χελιδώνεως εἴδη φυτῶν, τὸ δὲ ἱέρεως τὰν ἱερέα σημαίνει· ἱέρεως γὰρ παρ' αὐτοῖς ὁ ἱερεύς. εἰσὶ δὲ καὶ Περσικὰ ὀνόματα καὶ Αἰγύπτια εἰς ως λήγοντα, ἅτινα τὴν αὐτὴν κλίσιν ἐπιδέχονται τοῖς εἰς ως Ἀττικοῖς· εἰ μέντοι προπαροξύνονται κατὰ τὴν εὐθεῖαν, ὥσπερ οὐδὲ ἐν ταῖς ἄλλαις πτώσεσιν. ἔστι γὰρ Ἰναρῶς ὄνομα βασιλέως, Σπαραμιζῶς ὄνομα εὐνούχου, Σαβακῶς, Κανεῶς. ταῦτα δὲ ὀνόματά εἰσι κύρια. καὶ ἰστέον ὅτι τινὲς μὲν ὀξύνουσιν αὐτά, τινὲς δὲ περισπῶσιν. τὸ δὲ Σαβακῶς Ῥωμανὸς βαρύνει, Σαβάκως λέγων.

985, 30. δασύνεται μὲν ἡ εὐθεῖα κανόνι τοιούτῳ. τὸ ᾱ τὸ ἀθροιστικόν (ἤγουν ὃ σημαίνει τὴν ἄθροισιν) δασύνεσθαι θέλει, οἷον ἅμαξα, ἁθρόον, ἅμα, ἅπας. οὕτως οὖν ἅλς, εἴτε ἐπὶ τῆς θαλάσσης, ὅπου πάντα τὰ ὕδατα ἁλίζονται καὶ ἀθροίζονται, εἴτε ἐπὶ τούτου τοῦ ἁλμυροῦ, εἴτε ὃ ἡ συνήθεια λέγει ἅλς οὐδετέρως, σπανίως εἰρημένον παρὰ τοῖς ἀρχαίοις· καὶ αὐτὸ γὰρ ἄθροισιν

τινα σημαίνει. εἰ δὲ ἐγένετο ἡ γενικὴ ἄλτός, ἔμελλε ψιλοῦσθαι, ἐπειδὴ τὸ α λῆγον εἰς λ ἐπιφερομένου συμφώνου τῆς τρίτης συζυγίας τῶν βαρυτόνων, τουτέστι τοῦ δ ἢ τοῦ θ ἢ τοῦ τ, ψιλοῦσθαι θέλει, οἷον ἀλθαίω, Ἄλτης (ὄνομα δὲ τοῦτο κύριον), ἀλδισκάνειν (σημαίνει δὲ τὸ ἄλλεσθαι).

986, 11. τὰ εἰς αν λήγοντα εἰ μὲν ὦσιν ἁπλᾶ, ὀξύνονται, οἷον Ἀλκμάν, Παιάν, Τιτάν, εἰ δὲ ὦσι σύνθετα, βαρύνονται (τουτέστι παροξύνονται), οἷον Ἑρμόπαν, Ἀντίπαν, Τιτανόπαν. μόνον δὲ τὸ καρβάν (σημαίνει δὲ τὸν βάρβαρον) οὔτε ἁπλοῦν ἐστὶν οὔτε σύνθετον, ἀλλὰ παρασύνθετον, καὶ ὀξύνεται. ἔστι γὰρ παρὰ τοῦ Κάρ Καρός Καρί καὶ τοῦ βοή καριβοῦς σύνθετον, καὶ παρασύνθετον Καριβοᾶν, καὶ ἐν συγκοπῇ καρβάν, οἷον ὁ ἔχων φωνὴν Καρός τουτέστι βάρβαρον. Conf. Etym. M. p. 490, 57.

23. τὰ εἰς ην λήγοντα μονοσύλλαβα, μὴ ὄντα μόνως θηλυκά, ἀλλ' ἢ μόνως ἀρσενικὰ ἢ καὶ ἀρσενικὰ καὶ θηλυκά, προσθέσει τοῦ ος ποιοῦσι τὴν γενικὴν καὶ τὸ η φυλάττουσι, δηλονότι ἐν τῇ γενικῇ, οἷον σπλήν σπληνός, σφήν σφηνός, μήν μηνός, Ζήν Ζηνός, ῥήν ῥηνός (σημαίνει δὲ τὸ πρόβατον, οἷον ὡς παρὰ Νικάνδρῳ

αὐτὰρ ὅτου καὶ ῥῆνα καὶ ἠνεμόεντα λαγωόν),

χήν χηνός. τοῦτο δὲ καὶ ἀρσενικῶς καὶ θηλυκῶς λέγεται· ὁ χήν γὰρ καὶ ἡ χήν. ὅτι δὲ καὶ θηλυκῶς λέγεται, ἐδήλωσεν ὁ ποιητὴς εἰπὼν

αἰετὸς ἀργὴν χῆνα φέρων ὀνύχεσσι πέλωρον.

27. αὐχμήν] ὁ γὰρ τραχηλὸς αὐχμηρὸς καὶ κατάξηρός ἐστι. περὶ τοῦ γὰρ εἰπεῖν τὸν ποιητὴν

ἁπαλὴν ὑπὸ δειρήν

λέγομεν ὅτι κατὰ ἀντίφρασιν εἶπε, τουτέστι μὴ οὖσαν ἁπαλήν.

987, 3. τῷ πρώτῳ κανόνι ἀντίκειται τὸ εἴρην· τοῦτο γὰρ ὁ Καλλίμαχος διὰ τοῦ ε ἔκλινεν, εἴρενος, εἰπὼν ἀλλ' ἀντὶ βρεφέων πολλῶν εἴρενα μέσσων, καὶ ταῦτα μὴ ἔχοντος αὐτοῦ οὐδετέρου παρασχηματισμόν. καὶ ἴσως διὰ τὸ μέτρον τοῦτο ἐποίησεν.

16. οὐ καταλήγουσι φύσει εἰς σ ἀλλ' εἰς ν, τροπὴ δὲ ἐγένετο τοῦ ν εἰς σ κατὰ Δωρικὴν διάλεκτον, ὥσπερ ἦν ἦς, ἤρπομεν ἤρπομες, ὡς παρὰ Θεοκρίτῳ ἦς χρόνος ἀντὶ τοῦ ἦν χρόνος, καὶ παρὰ Εὐκρίτῳ ἤρπομες ἐκ πόλιος ἀντὶ τοῦ ἤρπομεν ἐκ πόλεως.

27. πάντα τὰ εἰς υν βαρύτονα, ἐπειδὴ τὰ πολλὰ παρὰ τοῖς Αἰολεῦσιν εὑρίσκονται.

οἱ τεχνικοὶ διαφόρου δόξης ἔχονται περὶ τούτων. ποτὲ μὲν γὰρ δοξάζουσιν ὅτι τὰ εἰς υν λήγοντα ἐν μὲν τῇ εὐθείᾳ συστέλλουσι τὸ ῡ, ἐν δὲ τῇ γενικῇ ἐκτείνουσιν αὐτό, οἷον Φόρκυν Φόρκυνος, Γόρτυν Γόρτυνος (ἔστι δὲ ὄνομα πόλεως Κρήτης)· ποτὲ δὲ δοξάζουσιν ὅτι καὶ ἐν τῇ εὐθείᾳ ἐκτείνουσι τὸ ῡ καὶ ἐν τῇ γενικῇ.

29. ἡ αἰτιατικὴ ἡ Φόρκυν θ' Ἱπποθόαν τε ἀπὸ ἄλλης εὐθείας ἐστίν, ὡς ἀπὸ τοῦ ὁ Φόρκυς τοῦ Φόρκυος, ὥσπερ βότρυς βότρυος.

988, 6. Δεῖ προσθεῖναι „χωρὶς τοῦ αἴθων αἴθωνος" (σημαίνει δὲ τὸν διάπυρον) καὶ „χωρὶς τοῦ εἴρων εἴρωνος."

8. Καὶ ἐπὶ τοῦ κυρίου δὲ ὀνόματος παρ' ἡμῖν ἐφύλαξαν τὴν αὐτὴν κλίσιν, οἷον Δράκοντος τοῦ Στρατονικέως. πρόςκειται „παρ' ἡμῖν," ἐπειδὴ οἱ Αἰολεῖς Δράκονος εἰρήκασι τὴν γενικὴν ἐπὶ τοῦ κυρίου ὀνόματος.

9. Δεῖ προςθεῖναι „χωρὶς τοῦ Λάκων Λάκωνος·" ἔστι δὲ ἐθνικόν. τοῦτο γὰρ ἔχον θηλυκὸν διὰ τοῦ αινα, οἷον Λάκαινα, οὐ κλίνεται διὰ τοῦ ντ. τὸ γὰρ τέκτων τέκτονος καὶ γείτων γείτονος, μὴ ἔχοντα θηλυκὰ διὰ τοῦ αινα καὶ μὴ κλινόμενα διὰ τοῦ ντ, οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ ταῦτα κοινά εἰσι τῷ γένει, οἷον ὁ τέκτων καὶ ἡ τέκτων, ὁ γείτων καὶ ἡ γείτων. ἀλλ' οἱ ποιηταὶ παρωνύμως ποιοῦσι ταῦτα διὰ τοῦ αινα, οἷον γείταινα καὶ τέκταινα, ὥσπερ καὶ θεός λέγουσι καὶ θέαινα· γίναιό μοι τέκταινα βίου δαμάτειρά τε λιμοῖο.

10. σεσημείωται τὸ Ἄπολλον καὶ Ποσείδαον, ὡς παρὰ τῷ ποιητῇ

πρόφρων νῦν Δαναοῖσι Ποσείδαον ἐπάμυνον.

ταῦτα γὰρ φυλάξαντα τὸ ω ἐν τῇ γενικῇ οὐκ ἐφύλαξαν καὶ ἐν τῇ κλητικῇ αὐτό.

990, 2. πρόςκειται „ἁπλᾶ" διὰ τὰ σύνθετα, οἷον διὰ τὸ ἀπόσφαξ ἀπόσφαγος, νεκροβάσταξ νεκροβάσταγος. σύνθετα δὲ δεῖ νοεῖν οὐχὶ τὰ ἀπὸ τῶν εἰς αξ ἁπλῶν σύνθετα, ἀλλὰ τὰ ἀπ' ἄλλων τινῶν συντεθέντα. τὰ γὰρ ἀπὸ τῶν εἰς αξ ἁπλῶν σύνθετα τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν, οἷον φύλαξ φύλακος χαρτοφύλαξ χαρτοφύλακος, θώραξ θώρακος λινοθώραξ λινοθώρακος, Φαίαξ Φαίακος φιλοφαίαξ φιλοφαίακος, ἅρπαξ ἅρπαγος φιλάρπαξ φιλάρπαγος.

991, 17. τὸ βαῖτυξ βαίτυγος (σημαίνει δὲ τὴν βδέλλαν, ὡς Ὦρος ἐν τῇ ὀρθογραφίᾳ φησί) καὶ τὸ ἥλυξ ἥλυγος (σημαίνει δὲ τὴν σκιάν)

διὰ τοῦ $\bar{\gamma}$ κλιθέντα οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ μόνως θηλυκά εἰσι.

24. βῶξ βωκός· ἔστι δὲ εἶδος ἰχθύος, ὅς τις ἱστορεῖται ἔχων βοήν. γέγονε δὲ τοῦτο παρὰ τὸ βοή, βόαξ, καὶ κατὰ κρᾶσιν τοῦ $\bar{o}$ καὶ $\bar{\alpha}$ εἰς $\bar{\omega}$. βῶξ.

26. εὑρίσκομεν δὲ καὶ ἐπὶ τῆς σταφυλῆς διὰ τοῦ $\bar{\omega}$ λεγόμενον ῥώξ ῥωγός παρὰ Ἀρχιλόχῳ.

992, 14. τοῦ ἁπλοῦ] λέγω δὴ τοῦ θήρ θηρός.

ἰστέον ὅτι τὰ εἰς $\overline{\epsilon\iota\rho}$ λέγοντα μονοσύλλαβα τρία μόνα εἰσίν, ἓν μὲν θηλυκόν, τὸ χείρ, δύο δὲ ἀρσενικά, τὸ Εἴρ καὶ τὸ φθείρ. ἔστι δὲ Εἴρ ὄνομα ποταμοῦ. τὸ γὰρ Φθίρ τὸ κύριον ὄνομα, λέγω δὴ τὸ ἐπὶ τοῦ υἱοῦ τοῦ Ἐνδυμίωνος, διὰ τοῦ $\bar{\iota}$ λέγεται.

ἰστέον ὅτι τὸ χείρ κατὰ τὰς ἄλλας πτώσεις καὶ χωρὶς τοῦ $\bar{\iota}$ λέγεται καὶ μετὰ τοῦ $\bar{\iota}$, οἷον χειρός καὶ χερός, χειρί καὶ χερί, χεῖρα καὶ χέρα, χεῖρες καὶ χέρες· ἡ δοτικὴ τῶν πληθυντικῶν χωρὶς τοῦ $\bar{\iota}$ χερσί μόνως λέγεται.

21. Δεῖ προσθεῖναι „χωρὶς εἰ μὴ κατὰ ποιητικὴν ἐξουσίαν φυλάξωσι τὸ $\bar{\omega}$ ἐν τῇ γενικῇ, οἷον ὡς ἐπὶ τοῦ μήστωρ." τοῦτο γὰρ παρὰ τῷ Ὁμήρῳ ἐπὶ μὲν τοῦ κυρίου τρέπει τὸ $\bar{\omega}$ εἰς τὸ $\bar{o}$ ἐν τῇ γενικῇ, οἷον

Μήστορά τ' ἀντίθεον,

ἐπὶ δὲ τοῦ ἐπιθέτου ἀεὶ παρὰ τῷ ποιητῇ φυλάσσει τὸ $\bar{\omega}$ ἐν τῇ γενικῇ, οἷον μήστωρας αὐτῆς, μήστωρε φόβοιο, ἀντὶ τοῦ ἐμπείρους καὶ ἐπιστήμονας. τοιαῦτα δὲ εὑρίσκομεν καὶ ἄλλα παρὰ τοῖς ἀρχαίοις φυλάττοντα τὸ $\bar{\omega}$ ἐν τῇ γενικῇ, οἷον ἠλέκτωρ ἠλέκτωρος, ταλάωρ ταλάωρος. ἠλέκτωρ μὲν γὰρ λέγεται ὁ ἥλιος, ταλάωρ δὲ τόξον. προπάτωρ προπάτωρος. ταῦτα δὲ ποιητικά εἰσιν, ἐπεὶ ἡμᾶς διὰ τοῦ $\bar{o}$ δεῖ γράφειν αὐτά.

32. Κίνυψ Κίνυφος· ἔστι δὲ ποταμὸς Λιβύης. (κατῆλιψ κατήλιφος· σημαίνει δὲ τὴν μέσην στέγην ἀπὸ τοῦ πηλοῦ ἤ τινος τοιούτου, ἐφ' ὧν τὰ καταστρώματα τίθενται, καὶ τὸ ἀπὸ τῆς τρόπεως τοῦ ἱστοῦ, ᾧ προσδέεται ὁ ἱστός. καὶ Σκίραψ Σκίραφος· ἔστι δὲ ὄνομα κύριον παρὰ τοῖς κωμικοῖς εὑρισκόμενον.)

993, 11. Μηδείας] τὸ γὰρ Μηδείης ὑπ' ἔρωτι Ἰωνικόν ἐστι.

ζητοῦσί τινες περὶ τοῦ Θέκλα, ὅτι Θέκλας ἐστὶν ἄρα ἡ γενικὴ ἢ Θέκλης. — καὶ τινὲς μὲν λέγουσιν ὅτι Ἰταλικῶς ἔτρεψε τὸ $\bar{\eta}$ εἰς $\bar{\alpha}$· οἱ δὲ Ἰταλοὶ ἄποικοί εἰσι τῶν Αἰολέων, οἱ δὲ Αἰολεῖς τὸ $\bar{\eta}$

εἰς ᾰ βραχὺ τρέπουσιν, οἷον Ἀφροδίτη Ἀφροδῖτα, νύμφη νύμφα, ὡς παρὰ τῷ ποιητῇ

νύμφα φίλη.

οὐκοῦν συνεσταλμένον ἔχει τὸ ᾰ ἡ Θέκλα, καὶ δῆλον ὅτι ὀφείλει τρέψαι αὐτὸ εἰς τὸ η̄ ἐν τῇ γενικῇ, ὥσπερ Μοῦσα Μούσης. οἱ δὲ ἀκριβέστερον δοξάσαντες λέγουσιν εἶναι τροπὴν Δωρικὴν τοῦ η̄ εἰς ᾱ μακρόν· καὶ δῆλον ὡς ἔχον τὸ ᾱ μακρὸν φυλάττει αὐτὸ καὶ ἐν τῇ γενικῇ, οἷον Θέκλα Θέκλας, ὥσπερ Ἀθηνᾶ Ἀθηνᾶς. ταύτης τῆς δόξης ἐστὶ Στέφανος ὁ τὰ ἐθνικὰ γράψας, καὶ πάνυ περὶ γεγονότος ἔπραξεν ἐν τῇ τούτου τοῦ ὀνόματος τεχνολογίᾳ.

994, 19. Ἰστέον ὅτι ὁ μὲν Θεοδόσιος ἀπὸ συναιρέσεως λέγει τὴν γενικὴν τῶν εἰς ω̄ θηλυκῶν ὀνομάτων, οἷον Σαπφώ Σαπφόος Σαπφοῦς· τινὲς δέ, ὧν ἐστὶ Ῥωμανὸς ὁ τοῦ Φιλοπόνου διδάσκαλος, λέγουσιν ὅτι ἰσοσύλλαβος ἐγένετο ἡ κλίσις ἐπὶ τῶν εἰς ω̄ θηλυκῶν, τοῦτ᾽ ἔστι προσθέσει τοῦ σ̄, οἷον ἡ Σαπφὼ τῆς Σαπφῶς. τὰ γὰρ εἰς φωνῆεν λήγοντα, φασί, θηλυκὰ μακροκατάληκτα προσθέσει τοῦ σ ποιοῦσι τὴν γενικήν, οἷον Ἀθηνᾶ – Ἀθηνᾶς, μνᾶ – μνᾶς, Διοτίμα – Διοτίμας, Ἑλένη – Ἑλένης, τιμή – τιμῆς. οὕτως οὖν καὶ Λητώ – Λητῶς καὶ Σαπφώ – Σαπφῶς, καὶ λοιπὸν τροπῇ τοῦ ω̄ εἰς τὴν ου̅ δίφθογγον γίνεται Λητοῦς καὶ Σαπφοῦς. ὥσπερ καὶ παρὰ τὸ μῶ τὸ ζητῶ, ἐξ οὗ καὶ τὸ μαῖα ἡ ζητητικὴ τοῦ βρέφους, γίνεται μῶσα μοῦσα κατὰ τροπὴν τοῦ ω̄ εἰς τὴν ου̅ δίφθογγον, οἱονεὶ ἡ ζητητικὴ τῶν λόγων. ἢ οὖν οὕτω φασὶ γέγονεν ἡ γενικὴ τῶν εἰς ω̄ θηλυκῶν, ἢ ἐκ τοῦ ἐναντίου ἀπὸ τοῦ Λητῶς καὶ Σαπφῶς κατὰ συστολὴν τοῦ ω̄ εἰς τὸ ο̄. καὶ ἐγένετο Λητός καὶ Σαπφός, διὰ τοῦ ο̄, καὶ ἐπειδὴ πᾶσα γενικὴ ἰσοσυλλάβως κλινομένη μακροκαταληκτεῖν θέλει, οἷον μοῦσα μούσης, Μήδεια Μηδείας, Ἀντιόχεια Ἀντιοχείας, Ὅμηρος Ὁμήρου, ἄνθρωπος ἀνθρώπου, Αἰνείας Αἰνείου, ἐξ ἀνάγκης ἐμεγεθύνθη τὸ ο̄ διὰ τῆς προσθήκης τοῦ ῡ, καὶ ἐγένετο Σαπφοῦς καὶ Λητοῦς ὥσπερ Ὄλυμπος Οὔλυμπος, νόσος νοῦσος, ὄρεα οὔρεα. καὶ ἐπειδὴ πᾶσα γενικὴ εἰς ους λήγουσα ἔχει ἄλλην γενικὴν ὥσπερ ἐντελῆ, οἷον Δημοσθένεος Δημοσθένους, Διομήδεος Διομήδους, τούτου οὖν χάριν διάλυσις ἐγένετο τῆς ου̅ διφθόγγου εἰς δύο ο̅ο̅, καὶ ἐγένετο Σαπφόος καὶ Λητόος ἡ ἐντελὴς γενική, ἡ δὲ Σαπφοῦς καὶ Λητοῦς κατὰ συναίρεσιν.

Ἰστέον δὲ ὅτι τῇ μὲν διὰ τοῦ ο̅ο̅ς γενικῇ κέχρηνται οἱ Ἴωνες, οἷον τῆς Σαπφόος, τῆς Λητόος· τῇ δὲ εἰς ο̅υ̅ς οἱ Ἀττικοὶ καὶ ἡ κοινὴ διάλεκτος, οἷον τῆς Λητοῦς, τῆς Σαπφοῦς.

Ἰστέον δὲ ὅτι ἡ δοτικὴ ἐστι τῇ Σαπφῷ, ὡς ἀπὸ τοῦ ἡ Σαπφὼ τῆς Σαπφῶς τῇ Σαπφῷ, ὥςπερ ἡ τιμὴ τῆς τιμῆς τῇ τιμῇ. καὶ λοιπὸν συστολὴν ἀναδεξαμένη τοῦ ω̄ εἰς ο̄, ἐξεφώνησε τὸ ῑ, καὶ ἐγένετο τῇ Σαπφοῖ. τινὲς δέ, ὥςπερ καὶ ὁ Θεοδόσιος, νομίζουσιν ὅτι ἀπὸ τῆς Σαπφόος γενικῆς γέγονεν ἡ δοτικὴ Σαπφόϊ, τροπῇ τοῦ ο̄ς̄ εἰς ῑ, καὶ κατὰ συναίρεσιν τοῦ ο̄ καὶ ῑ εἰς τὴν ο̄ῑ δίφθογγον γίνεται Σαπφοῖ. λέγει δὲ ὁ Ἡρωδιανὸς ὅτι οὐδέποτε εὑρίσκομεν ἐν χρήσει ταύτην τὴν δοτικὴν διάστασιν ἔχουσαν τοῦ ο̄ καὶ ῑ. οὐδὲ γὰρ εὑρίσκεται ἐν χρήσει ἡ τρισύλλαβος δοτικὴ ἐπὶ τούτων, φημὶ δὲ ἡ Λητόϊ καὶ Σαπφόϊ, ἀλλ' ἡ δισύλλαβος, οἷον ἡ Λητοῖ καὶ Σαπφοῖ. ἔστι δ' εἰπεῖν ὅτι ἀναφέρουσί τινες τῶν τεχνικῶν μίαν χρῆσιν διάστασιν ἔχουσαν τοῦ ο̄ καὶ ῑ, παρὰ Πινδάρῳ· ἐκεῖνος γὰρ εἶπε τῇ Πυθόϊ.

Τὴν Σαπφόα τὴν Σαπφώ] Ἰστέον ὅτι ἔστιν ἡ αἰτιατικὴ τὴν Σαπφών, ὡς ἀπὸ τοῦ ἡ Σαπφὼ τῆς Σαπφῶς τῇ Σαπφῷ τὴν Σαπφών, ὥσπερ ἡ τιμὴ τῆς τιμῆς τῇ τιμῇ τὴν τιμήν. καὶ λοιπὸν κατὰ διάλυσιν τοῦ ω̄ εἰς τὸ ο̄ καὶ ᾱ γέγονε Σαπφόα τοῦ ν̄ ἀποβληθέντος, ἐπειδὴ τὸ ᾱ ὑποβλητικόν ἐστι τοῦ ν̄, οἷον Ξέρξην Ξέρξεα, Πολυδεύκην Πολυδεύκεα, ἦν ἔα, ἦ κεν ζωὸς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσιν. τὸ γὰρ μοῦσα μοῦσαν ἀπὸ κλίσεως ἔχει τὸ ν̄ καὶ οὐκ ἔστι κατὰ πάθος, ὥσπερ τὰ ἄλλα. ἔστιν οὖν Σαπφῶν Σαπφόα, διαλύσεως, ὡς εἴρηται, γενομένης τοῦ ω̄ εἰς ο̄ καὶ εἰς ᾱ· καὶ λοιπὸν κατὰ κρᾶσιν τοῦ ο̄ καὶ ᾱ εἰς ω̄ γέγονε Σαπφώ, ὥσπερ κρείττονα κρείττοα καὶ κρείττω, βελτίονα βελτίοα βελτίω. ὁ Θεοδόσιος δὲ δοξάζει ὅτι ἀπὸ τῆς Σαπφόϊ δοτικῆς γέγονεν ἡ Σαπφόα αἰτιατικὴ τροπῇ τοῦ ῑ εἰς ᾱ, καὶ κατὰ κρᾶσιν τοῦ ο̄ καὶ ᾱ εἰς ω̄ Σαπφώ. καὶ λέγει ὅτι ἡ αἰτιατικὴ συναιρεθεῖσα οὐκ εἴασε τὰς ἄλλας πτώσεις τῷ λόγῳ τῆς συναιρέσεως κλιθῆναι, ἀλλὰ πρὸς αὐτὴν πάσας ἔκλινεν, ἤγουν πρὸς ἀναλογίαν ἑαυτῆς, πλὴν τῆς κλητικῆς τῶν ἑνικῶν· αὕτη γὰρ εἰς τὴν ο̄ῑ δίφθογγον λήγει. πρὸς ἀναλογίαν δὲ αὐτῆς εἶπεν, ἐπειδὴ καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν ὁμοίως αὐτῇ εἰς ω̄ λήγει, οἷον τὰ Σαπφώ, καὶ λοιπὸν ἀκολούθως αὐτῇ αἱ λοιπαὶ πτώσεις κλίνονται. ταῦτα μὲν ἐν τούτοις. Ἰστέον δὲ ὅτι εὑρίσκεται καὶ ἄλλη αἰτιατικὴ εἰς ο̄ῑν̄, οἷον τὴν Λητοῖν καὶ τὴν Σαπφοῖν, ἥτις Ἰωνική ἐστι. λέγει δὲ ὁ Ἡρωδιανὸς ὅτι ἔσοι τὴν Σαπφὼν καὶ τὴν Λητὼν ἡ αἰτιατική, καὶ κατὰ τροπὴν Ἰωνικὴν τοῦ ω̄ εἰς τὴν ο̄ῑ δίφθογγον γίνεται τὴν Σαπφοῖν καὶ

τὴν Λητοῖν. Ἰστέον δὲ ὅτι οἱ Αἰολεῖς καὶ διὰ τοῦ ῶ λέγουσι τὴν αἰτιατικὴν τῶν εἰς ῶ θηλυκῶν καὶ βαρύνουσιν, οἷον τὴν Λῆτω, τὴν Σάπφω. πᾶσα γὰρ λέξις ὑπὲρ μίαν συλλαβὴν, παρ᾽ ἡμῖν ὀξυνομένη, παρὰ τοῖς Αἰολεῦσι βαρύνεται, οἷον Ἀτρεύς Ἄτρευς, σοφός σόφος, χωρὶς τῶν προθέσεων καὶ τῶν συνδέσμων· ἐπὶ τούτων γὰρ φυλάττουσι τὴν ὀξεῖαν τάσιν, οἷον ἀνά, κατά, διά, μετά, αὐτάρ, ἀτάρ, πρός. „ὑπὲρ μίαν συλλαβὴν" διὰ τὰ μονοσύλλαβα· ἐπὶ τούτων γὰρ φυλάττουσι τὴν ὀξεῖαν τάσιν, οἷον νύξ, στύξ. πῶς γὰρ δύνανται τὰ μονοσύλλαβα βαρύνεσθαι;

Ἄξιον δέ ἐστι ζητῆσαι, εἰ ἄρα ἡ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, Ἡρακλέης Ἡρακλῆς, τιμήεις τιμῆς, διὰ τί ἐπὶ τῶν εἰς ῶ θηλυκῶν αἱ αἰτιατικαὶ ἀπὸ ὀξείας καὶ βαρείας συναιρεθεῖσαι οὐ περισπῶνται ἀλλ᾽ ὀξύνονται, οἷον Λητόα Λητώ, Σαπφόα Σαπφώ, Καλυψόα Καλυψώ. Καὶ ἔστιν εἰπεῖν ταυτην τὴν ἀπολογίαν. πᾶσα πτῶσις, ὁμοφωνοῦσα ἑτέρᾳ κατὰ τὸν αὐτὸν ἀριθμὸν, πάντως καὶ τὸν αὐτὸν τόνον ἀναδέχεται, οἷον ἡ μοῦσα ὦ μοῦσα· ἐπ᾽ ἀμφοτέρων μία φωνὴ καὶ εἷς τόνος. ἡ Μήδεια — ὦ Μήδεια. τὸ ξύλον — ὦ ξύλον. οὕτως οὖν τῇ Λητοῖ — ὦ Λητοῖ, ὁμοίως τῇ Σαπφοῖ καὶ ὦ Σαπφοῖ. ἐπειδὴ οὖν ἐπὶ τῶν εἰς ῶ θηλυκῶν ἡ αἰτιατικὴ ὁμοφωνεῖ τῇ ἰδίᾳ εὐθείᾳ (ἡ Λητὼ γὰρ καὶ τὴν Λητώ, καὶ ἡ Σαπφὼ καὶ τὴν Σαπφώ), τούτου χάριν καὶ τὸν τόνον αὐτῆς ἀνεδέξατο, καὶ ὀξύνεται ὁμοίως τῇ εὐθείᾳ. ἡ δὲ εὐθεῖα ὀξύνεται διὰ τὸν χαρακτῆρα· πάντα γὰρ τὰ εἰς ῶ λήγοντα θηλυκὰ ὀξύνονται, οἷον Κλειώ, Ἐρατώ, Καλυψώ, Λητώ, Σαπφώ. ὅτι γὰρ ταύτας τὰς αἰτιατικὰς αἰτία ἐστὶ τοῦ μὴ περισπᾶσθαι ἡ ὁμοφωνία τῆς εὐθείας, δηλοῖ ἡ αἰδῶ αἰτιατικὴ περισπασθεῖσα καὶ ἡ ἠῶ· αὗται γὰρ μὴ ὁμοφωνήσασαι τῇ ἰδίᾳ (αἰδώς γάρ ἐστιν ἡ εὐθεῖα καὶ ἠώς) περισπῶνται τῷ λόγῳ τῆς συναιρέσεως τῆς γενομένης ἐξ ὀξείας καὶ βαρείας, οἷον ἠόα ἠῶ, αἰδόα αἰδῶ. Πρόσκειται ἀνωτέρω κατὰ τὸν αὐτὸν ἀριθμὸν διὰ τὸ τῆς ἀγορᾶς καὶ τὰς ἀγοράς. ἰδοὺ γὰρ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν ὁμοφωνεῖ τῇ γενικῇ τῶν ἑνικῶν, καὶ οὐχ ὁμοτονεῖ αὐτῇ· ἡ μὲν γὰρ γενικὴ τῶν ἑνικῶν περισπᾶται, ἡ δὲ αἰτιατικὴ τῶν πληθυντικῶν ὀξύνεται. Δεῖ προσθεῖναι τῷ κανόνι τούτῳ, τῷ λέγοντι ὅτι πᾶσα πτῶσις ὁμοφωνοῦσα ἑτέρᾳ πτώσει κατὰ τὸν αὐτὸν ἀριθμὸν πάντως καὶ τὸν αὐτὸν ἀναδέχεται τόνον, χωρὶς τῶν εἰς ευς γενικῶν τῶν γενομέ-

νων Ἰωνικῶς ἢ Δωρικῶς. οἱ γὰρ Ἴωνες καὶ οἱ Δωριεῖς τὴν Ὀδυσσέως καὶ Ἰδομενέως γενικὴν Ὀδυσσεῦς καὶ Ἰδομενεῦς λέγουσιν, οἷον Ὀδυσεῦς δὲ λαβὼν κύσε χεῖρ' ἐπὶ καρπῷ, ἀντὶ τοῦ Ὀδυσσέως τὴν χεῖρα ἐφίλησε· καὶ πάλιν Ἰδομενεῦς δ' οὐ λῆγε μένος μέγα ἀντὶ τοῦ Ἰδομενέως οὐ λῆγεν ἡ δύναμις. καὶ ἰδοὺ ὡμοφώνησεν ἡ γενικὴ τῇ εὐθείᾳ κατὰ τὸν αὐτὸν ἀριθμόν, καὶ ὅμως οὐκ ἐδέξατο τὸν αὐτὸν τόνον· ἡ μὲν γὰρ εὐθεῖα ὀξύνεται, ἡ δὲ γενικὴ περισπᾶται τῷ λόγῳ τῆς συναιρέσεως τῆς ἀπὸ ὀξείας καὶ βαρείας.

ὦ Σαπφοῖ] Λέγει ὁ τεχνικὸς ὅτι ἡ κλητικὴ τῶν εἰς ω̅ θηλυκῶν εἰς τὴν οι̅ δίφθογγον λήγει, τῆς χρήσεως οὕτως ἐχούσης, ἡ Σαπφώ ὦ Σαπφοῖ, ἡ Λητώ ὦ Λητοῖ· Λητοῖ, ἐγὼ δέ τοι οὔτι μαχήσομαι. καὶ ἔστιν εἰπεῖν ὅτι εὑρίσκεται ἐπὶ τούτων ἡ κλητικὴ καὶ ὁμοφώνως τῇ εὐθείᾳ, ὡς παρὰ τῷ Ἀπολλωνίῳ· εἰ δ' ἄγε νῦν, Ἐρατώ, παρά θ' ἵστασο καί μοι ἔνισπε. ὁ μέντοι ποιητὴς καὶ ἄλλοι εἰς τὴν οι̅ δίφθογγον ποιοῦσι τὴν κλητικήν, οἷον Λητοῖ ἐγὼ δέ τοι οὔτι μαχήσομαι, καὶ φίλη πειθοῖ. Καὶ ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα ἡ κλητικὴ οὐδέποτε πλείονα φωνήεντα ἔχει τῆς ἰδίας εὐθείας, οἷον μοῦσα ὦ μοῦσα, τιμή ὦ τιμή, βῆμα ὦ βῆμα, ἄστυ ὦ ἄστυ, βοῦς ὦ βοῦ, διὰ ποίαν αἰτίαν ἐπὶ τῶν εἰς ω̅ θηλυκῶν ἡ κλητικὴ πλείονα φωνήεντα ἔχει τῆς ἰδίας εὐθείας, οἷον Καλυψώ ὦ Καλυψοῖ. καὶ λέγει ὁ Ἡρωδιανὸς ταύτην τὴν ἀπολογίαν, ὅτι τὰ ἀρχαῖα τῶν ἀντιγράφων ἐν ταῖς εἰς ω̅ ληγούσαις εὐθείαις εἶχον τὸ ι̅ προσγεγραμμένον, οἷον ἡ Λήτῳ, ἡ Σαπφῴ· συσταλὲν οὖν τὸ ω̅ εἰς τὸ ο̅ ἐν τῇ κλητικῇ, ἐξεφωνήθη τὸ ι̅· τούτου χάριν ἡ κλητικὴ ἔδοξε πλείονα φωνήεντα ἔχειν τῆς εὐθείας. οὗτος δὲ ὁ λόγος οὐκ ἔστι καταναγκαστικός. ἐὰν γὰρ δῶμεν τὰ εἰς ω̅ λήγοντα θηλυκὰ ἔχειν τὸ ι̅ προσγεγραμμένον κατὰ τὴν εὐθεῖαν, εὑρεθήσεται τὸ ι̅ τελικὸν τῶν θηλυκῶν καὶ οὐ τὸ ω̅· ὅπερ ἐστὶν ἄτοπον. τὸ γὰρ ι̅ οὐκ ἔστι τελικὸν τῶν θηλυκῶν, ἀλλὰ τῶν οὐδετέρων, οἷον τὸ μέλι, τὸ σίνηπι. ὁ δὲ ἡμέτερος διδάσκαλος λέγει ταύτην τὴν ἀπολογίαν. τὰ εἰς ω̅ λήγοντα θηλυκὰ ἐπειδὴ ἐν τῇ γενικῇ καὶ ἐν τῇ δοτικῇ ἔτρεψαν τὸ ω̅ εἰς τὸ ο̅, οἷον ἡ Σαπφώ τῆς Σαπφοῦς τῇ Σαπφοῖ, τούτου χάριν καὶ ἐν τῇ κλητικῇ ἔτρεψαν τὸ ω̅ εἰς τὸ ο̅. καὶ ἐπειδὴ αἱ κλητικαὶ καὶ αὐταὶ ἤμελλον ὀξύνεσθαι ὁμοίως τῇ εὐθείᾳ, τὰ δὲ εἰς ο̅ λήγοντα ὑπὲρ μίαν συλλαβὴν ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, οἷον ἐκεῖνο, ἄλλο, τοῦτο, δεῦρο, χωρὶς τῆς αὐτό ἀντωνυμίας

καὶ χωρὶς τῆς ἀπό καὶ ὑπό προθέσεως, τούτου χάριν, ἵνα μὴ ὀξυνθῶσιν αὗται αἱ κλητικαὶ εἰς τὸ ο̅ καταλήγουσαι, προσέλαβον τὸ ι̅, καὶ τούτου χάριν ἔχουσι πλείονα φωνήεντα τῶν ἰδίων εὐθειῶν αἱ εἰς τὴν ο̅ι̅ δίφθογγον λήγουσαι κλητικαί. καὶ περισπῶνται ὁμοίως τῇ δοτικῇ, οἷον τῇ Λητοῖ ὦ Λητοῖ, τῇ Σαπφοῖ ὦ Σαπφοῖ· ὁμοφωνήσασαι γὰρ ταῖς δοτικαῖς ἠναγκάσθησαν καὶ ὁμοτονεῖν αὐταῖς. καὶ τὴν αἰτίαν ἔχομεν ἐν τῇ διδασκαλίᾳ τῆς αἰτιατικῆς. ταῦτα μὲν ἐν τούτοις. Ἄξιον δ᾽ ἐστὶ ζητῆσαι διὰ τί τὸ ι̅ προσῆλθε, καὶ οὐκ ἄλλο φωνῆεν. καὶ ἔστιν εἰπεῖν ὅτι ἑπτὰ ὄντων τῶν φωνηέντων, α̅ ε̅ η̅ ι̅ ο̅ υ̅ ω̅, οὐκ ἠδύνατο οὔτε τὸ α̅ οὔτε τὸ η̅ οὔτε τὸ ο̅ οὔτε τὸ ω̅ πλεονάσαι, ἐπειδὴ ταῦτα οὐκ εἰσὶν ὑποτακτικὰ ἀλλὰ προτακτικά. τὸ δὲ υ̅ πλεονάσαι οὐκ ἠδύνατο, ἵνα μὴ παρέχοι ἔμφασιν ὅτι εἰς ο̅υ̅ς ἔχει τὴν εὐθεῖαν, οἷον ὁ βοῦς ὦ βοῦ, ὁ πλοῦς - ὦ πλοῦ, ὁ Σιμοῦς - ὦ Σιμοῦ, ὁ πλακοῦς - ὦ πλακοῦ. ἐξ ἀναιρέσεως οὖν τῶν ἄλλων φωνηέντων τὸ ι̅ ἐπλεόνασεν.

Τὰ Σαπφώ] Λέγει ὁ τεχνικὸς ὅτι αὕτη ἡ εὐθεῖα τῶν δυϊκῶν ὡμοφώνησε τῇ εὐθείᾳ καὶ αἰτιατικῇ τῶν ἑνικῶν, ἐξ ὧν καὶ συνέστηκεν. ὀρθῆς καὶ αἰτιατικῆς. ἡ δὲ ὀρθὴ καὶ αἰτιατικὴ τῶν ἑνικῶν ἡ Σαπφὼ καὶ τὴν Σαπφώ ἐστιν ὁμοφώνως. Καὶ ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα πᾶσα δοτικὴ ἑνικῶν εἰς ι̅ ἐκφωνούμενον λήγουσα τροπῇ τοῦ ι̅ εἰς ε̅ ποιεῖ τὴν εὐθεῖαν τῶν δυϊκῶν, οἷον Αἴαντι Αἴαντε, Θόαντι Θόαντε, λέβητι λέβητε, διὰ τί ἐπὶ τῶν εἰς ω̅ θηλυκῶν οὐ γίνεται ἡ εὐθεῖα τῶν δυϊκῶν ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν τροπῇ τοῦ ι̅ εἰς ε̅, οἷον Λητόϊ Λητόε, Σαπφόϊ Σαπφόε, ἀλλὰ τὰ Λητώ καὶ τὰ Σαπφώ ὁμοφώνως τῇ αἰτιατικῇ τῶν ἑνικῶν· καὶ γὰρ ἡ αἰτιατικὴ τῶν ἑνικῶν τὴν Λητώ ἐστι καὶ τὴν Σαπφώ. καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν. κανὼν γάρ ἐστιν ὁ λέγων ὅτι, ὅταν ἡ γενικὴ τῶν ἑνικῶν συναιρῆται, τότε καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν ὁμοίως συναιρεῖται, οἷον Δημοσθένεος Δημοσθένους Δημοσθένεε Δημοσθένη, τείχεος τείχους τείχεε τείχη, εὐγενέος εὐγενοῦς εὐγενέε εὐγενῆ, οὐκ ἀντιστρέφοντος τοῦ κανόνος. οὐ γὰρ ἡνίκα μὴ συναιρεῖται ἡ γενικὴ τῶν ἑνικῶν, κωλύεται πάντως συναιρεθῆναι ἡ εὐθεῖα τῶν δυϊκῶν, ἀλλ᾽ ἔστιν ὅτε συναιρεῖται, οἷον βασιλεύς βασιλέως βασιλέε βασιλῆ, πόλις πόλεως πόλεε πόλη, ὡς παρ᾽ Αἰσχίνῃ τῷ Σωκρατικῷ τούτω τὼ πόλη· λέγει δὲ περὶ Ἀθηναίων καὶ Λακεδαιμονίων. εἰ ἄρα οὖν ἐν

τοῖς εἰς ω̄ θηλυκοῖς συναιρεῖται ἡ γενικὴ τῶν ἑνικῶν κατὰ Θεοδόσιον, Λητόος Λητοῦς, Σαπφόος Σαπφοῦς καὶ Ἐρατόος Ἐρατοῦς, δηλονότι καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν ἀναγκάζεται συναίρεσιν ἐπιδέξασθαι. ἐὰν οὖν γένηται ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν ἡ εὐθεῖα τῶν δυϊκῶν τροπῇ τοῦ ῑ εἰς ε̄, οἷον Λητοῒ Λητόε καὶ Σαπφοῒ Σαπφόε, μέλλει ἐν τῇ συναιρέσει εἰς τὴν ο̄ῡ δίφθογγον καταλήγειν· τὸ γὰρ ο̄ καὶ ε̄ εἰς τὴν ο̄ῡ δίφθογγον κιρνᾶται, οἷον τὸ ἐμὸν - τοὐμόν, τὸ ἔργον - τοὖργον, προέβη - προὔβη. εἰς τὴν ο̄ῡ δίφθογγον δὲ καταλήγειν αὐτὴν ἀδύνατόν ἐστιν· οὐδέποτε γὰρ ἡ εὐθεῖα τῶν δυϊκῶν εἰς τὴν ο̄ῡ δίφθογγον καταλήγει· τὸ γὰρ ῡ οὐκ ἔστι τελικὸν τῆς εὐθείας τῶν δυϊκῶν. τούτου οὖν χάριν οὐκ ἐγένετο ἐκ τῆς δοτικῆς τῶν ἑνικῶν ἡ εὐθεῖα τῶν δυϊκῶν, ἀλλ' ὡμοφώνησε τῇ αἰτιατικῇ τῶν ἑνικῶν τῇ ἐχούσῃ κατάληξιν ἁρμόζουσαν τῇ εὐθείᾳ τῶν δυϊκῶν· λήγει γὰρ εἰς ω̄ ἡ αἰτιατικὴ τῶν ἑνικῶν, ὅπερ ἐστὶ τελικὸν τῆς εὐθείας τῶν δυϊκῶν, οἷον τὼ φίλω, τὼ ἀνθρώπω. ἔστι δὲ εἰπεῖν καὶ ἄλλην ἀπολογίαν τοιαύτην, ὅτι ἐν τοῖς δυϊκοῖς συνεζευγμένη ἐστὶν ἡ ὀρθὴ καὶ αἰτιατική. ἐπειδὴ οὖν ἐν τοῖς εἰς ω̄ θηλυκοῖς ἡ αἰτιατικὴ τῶν ἑνικῶν ὁμοφωνεῖ τῇ ἰδίᾳ εὐθείᾳ, οἷον τὴν Λητὼ καὶ ἡ Λητώ, τὴν Σαπφὼ καὶ ἡ Σαπφώ, τούτου χάριν ἐν τοῖς δυϊκοῖς ὁμοῦ συνελθοῦσαι τὴν αὐτὴν φωνὴν ἐφύλαξαν. ὡς γὰρ ἐν τοῖς ἑνικοῖς μὴ παραλλάξασαι κατὰ τὴν φωνήν, οἷον ἡ Σαπφὼ καὶ τὴν Σαπφώ, εἰκότως οὐδ' ἐν τοῖς δυϊκοῖς παραλλάσσουσι κατὰ τὴν φωνήν, οἷον τὰ Σαπφώ, δηλονότι ὀρθῆς καὶ αἰτιατικῆς. Ἰστέον δὲ ὅτι κατὰ Ῥωμανὸν καὶ τοὺς δοξάζοντας ἰσοσύλλαβον κλίσιν ἐπὶ τῶν εἰς ω̄ θηλυκῶν καλῶς ἐγένετο ἡ εὐθεῖα τῶν δυϊκῶν εἰς ω̄, ὅτι ἡ δοτικὴ τῶν ἑνικῶν κατ' αὐτοὺς τῇ Σαπφῷ, καὶ λοιπὸν ἀκολούθως γίνεται ἡ εὐθεῖα τῶν δυϊκῶν τὰ Σαπφώ.

Ταῖν Σαπφοῖν] εἴρηται ὅτι πᾶσα εὐθεῖα δυϊκῶν εἰς ω̄ ἢ εἰς ε̄ λήγουσα εἰς ο̄ῑν̄ ποιεῖ τὴν γενικὴν καὶ δοτικὴν τῶν δυϊκῶν, οἷον Αἴαντε Αἰάντοιν, φίλω φίλοιν. οὕτως οὖν καὶ Σαπφὼ Σαπφοῖν.

Ὦ Σαπφώ] εἴρηται ὅτι τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθή, οὕτω καὶ ἡ κλητική.

Αἱ Σαπφοί] εἴρηται ὅτι πᾶσα εὐθεῖα δυϊκῶν εἰς ω̄ λήγουσα εἰς τὴν ο̄ῑ δίφθογγον ποιεῖ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, χωρὶς τῶν οὐδετέρων.

Τῶν Σαπφῶν] εἴρηται ὅτι πᾶσα γενικὴ πληθυντικῶν εἰς ω̄ν̄ λήγει ἐπὶ παντὸς γένους.

Ταῖς Σαπφοῖς] εἴρηται ὅτι πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ῑ λήγουσα προσθέσει τοῦ σ̄ ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν.

Τὰς Σαπφούς] εἴρηται ὅτι πᾶσα εὐθεῖα πληθυντικῶν εἰς τὴν οι δίφθογγον λήγουσα εἰς ους ποιεῖ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν.

Ὦ Σαπφοῖ] εἴρηται. Conf. Hort. Adon. f. 267. b.

995, 16. τὸ δὲ ὄνομα τῆς πόλεως τῆς ἐν Περσίδι καὶ τὴν κλίσιν καὶ τὸν τόνον τοῦ ἀρσενικοῦ ἐφύλαξεν, οἷον ἡ Κτησιφῶν τῆς Κτησιφῶντος.

σημειούμεθα δὲ ἐν τοῖς ἐπὶ πόλεων τὸ Ὀλοσσών Ὀλοσσόνος καὶ Ἀνθηδών Ἀνθηδόνος. δεῖ προσθεῖναι καὶ εἰπεῖν ὅτι καὶ ὅσα εἰσὶν ἐπὶ πόλεων εἰς δῶν τῷ η̄ παραληγόμενα, τρέπουσι τὸ ω̄ εἰς τὸ ο̄ ἐν τῇ γενικῇ, οἷον Ἰσηδών Ἰσηδόνος, Ἀσπληδών Ἀσπληδόνος, Στερηδών Στερηδόνος, Καρχηδών Καρχηδόνος ἡ ἐν τῇ Λιβύῃ, Καλχηδών Καλχηδόνος ἡ κατὰ τὸ Βυζάντιον, ἥτις καὶ Χαλκηδών καλεῖται· εὑρίσκομεν γὰρ διφορουμένην τὴν χρῆσιν. ἔτι δεῖ προσθεῖναι καὶ χωρὶς τοῦ Ἑρμιών Ἑρμιόνος καὶ τοῦ Ἠιών Ἠιόνος καὶ τοῦ Βιών Βιόνος. ἐν δὲ τοῖς ὀξυτόνοις τοῖς μὴ σημαίνουσι πόλιν δεῖ σημειώσασθαι τὸ μελεδών μελεδῶνος καὶ τὸ τυφεδών τυφεδῶνος· περὶ ὧν ἔστιν εἰπεῖν ὅτι ταῦτα ποιητικά εἰσι καὶ διὰ τὸ μέτρον ποιητικῶς διὰ τοῦ ω̄ ἐγένοντο. ἔστι δὲ τυφεδών μὲν ἡ καῦσις, μελεδών δὲ ἡ φροντίς.

996, 8. ὡς παρὰ Καλλιμάχῳ· ὁ δὲ κρέα λυγκὸς ἔταμνε.

πολλή ἐστιν ἡ χρῆσις τῆς χερός γενικῆς οὐ μόνον παρὰ ποιηταῖς ἀλλὰ καὶ παρὰ τραγικοῖς καὶ παρὰ ἰαμβογράφοις. ἡ δὲ γενικὴ καὶ δοτικὴ τῶν δυϊκῶν τοῖν χεροῖν λέγεται ὡς ἐπὶ τὸ πλεῖστον χωρὶς τοῦ ῑ, σπανίως δὲ διὰ τῆς ει διφθόγγου χειροῖν.

997, 22. σεσημειωμένου τοῦ ἀγλίς ἀγλῖθος.

26. τὰ εἰς ις ὀξύτονα εἰς ᾱ μόνως ἔχουσι τὴν αἰτιατικήν, οἷον κρηπῖδα, ἀσπίδα. — παρὰ δὲ τοῖς Αἰολεῦσι γίνονται εἰς ν̄ κατὰ τὴν αἰτιατικὴν μετὰ βαρείας τάσεως· κνῆμιν γὰρ λέγουσι καὶ σφράγιν καὶ ἄψιν, ὡς παρ' Ἡσιόδῳ

τρισπίθαμον δ' ἄψιν τάμνειν

ἀντὶ τοῦ ἀψῖδα.

λέγει ὁ Ἡρωδιανὸς μὴ εἶναι τὴν χρῆσιν τοῦ μήνιδα.

998, 7. δεῖ προσθεῖναι ἐν τῷ κανόνι „πλὴν τοῦ κόρυς κόρυθος

καὶ κῶμυς κώμυθος.“ καὶ δεῖ γινώσκειν ὅτι τὸ κόρυς κόρυθος ἀεὶ συστέλλει τὸ $\bar{υ}$ ἐν τῇ γενικῇ,

δαΐέ οἱ ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ,

ἔχει δὲ τὴν αἰτιατικὴν διφορουμένην, οἷον κόρυθα καὶ κόρυν. τὸ δὲ κῶμυς κώμυθος καὶ ἐκτείνει τὴν παραλήγουσαν τῆς γενικῆς, ὡς παρὰ Θεοκρίτῳ

καὶ μαλακοῦ χόρτοιο καλὸν κώμυθα δίδωμι,

καὶ εἰς $\bar{α}$ μόνως ἔχει τὴν αἰτιατικήν.

δεῖ σημειώσασθαι ἐν τῷ κανόνι τὸ ἀγνύς ἀγνῦθος. ἀγνῦθες δὲ λέγονται οἱ λίθοι οἱ περιφερεῖς καὶ τετρημένοι, οἱ κρεμάμενοι ἐν τοῖς ἱσταρίοις.

23. τὴν ἕω φασὶ χωρὶς τοῦ $\bar{ν}$, καὶ οὐ τὴν ἕων σὺν τῷ $\bar{ν}$.

999, 27. ἰστέον δὲ ὅτι μονῆρές ἐστι τὸ μέλι διὰ τοῦ $\overline{τος}$ κλινόμενον· οὐκ ἔστι γὰρ εἰς $\bar{ι}$ λῆγον οὐδέτερον διὰ τοῦ $\overline{τος}$ κλινόμενον, εἰ μὴ τοῦτο μόνον καὶ τὰ παρ᾽ αὐτό, δηλονότι συντεθέντα, οἷον ἀπόμελι ἀπομέλιτος, ὀξόμελι ὀξομέλιτος, εὐκρατόμελι εὐκρατομέλιτος, οἰνόμελι οἰνομέλιτος.

28. τὸ σίνηπι καὶ τὸ κίκι (εἶδος δέ ἐστι παρ᾽ Αἰγυπτίοις ἐλαίου) καὶ τὸ κόμμι (κόμμι δέ ἐστι τὸ κομίδιον) καὶ τὸ κιννάβαρι (ἔστι δὲ εἶδος βάμματος πυῤῥοῦ, ἐξ οὗ γράφει ὁ βασιλεύς) καὶ τὸ στάχι, ὅπερ σημαίνει εἶδος πυῤῥοῦ καὶ αὐτό, καὶ τὸ στίμμι, ὅπερ αἱ γυναῖκες κατὰ τοὺς ὀφθαλμοὺς χρίονται, ὅπερ ἐν τῇ συνηθείᾳ λαχᾶς καλεῖται, οὐκ εἰσὶν Ἑλληνικά, κλίνονται δὲ διὰ καθαροῦ τοῦ $\overline{ος}$. — δεῖ δὲ γινώσκειν ὅτι τοῦ κόμμι εὑρέθη παρὰ Κρυβόλῳ ἡ δοτικὴ κόμμιδι, ὡς παρὰ τῆς κόμμιδος γενικῆς· ἔχει δὲ οὕτως „τὸν πλακοῦντα κόμμιδι, οὐ μέλιτι διεκόσμει.“ καὶ τοῦ πέπερι δὲ ἡ γενικὴ εὑρέθη διὰ τοῦ $\overline{δος}$, πεπέριδος. τὸ δὲ κιννάβαρι καὶ ἀρσενικῶς εὑρέθη, ὁ κιννάβαρις· εὕρηται γὰρ παρὰ Ἀλεξανδρίδῃ ἡ αἰτιατικὴ τὸν κιννάβαριν. εὑρέθη δὲ καὶ τὸ στίμμι θηλυκῶς λεγόμενον, οἷον ἡ στίμμις τῆς στίμμιδος. Ἴων Ὀμφάλῃ

καὶ τὴν μέλαιναν στίμμιν ὀμματογράφον.

1001, 9. καὶ ἔστιν ἑτερόκλιτον. ἡ γὰρ κλίσις αὐτοῦ ὡς ἀπὸ τῆς εἰς $\overline{ας}$ καταλήξεώς ἐστιν, οἷον ὡς ἀπὸ τῆς ὕδας ὕδατος, ὥσπερ κρέας κρέατος, γῆρας γήρατος. τοιοῦτόν ἐστι καὶ τὸ σκῶρ, ὃ σημαίνει τὸ ἀφόδευμα· τούτου γὰρ ἡ γενικὴ σκατός ἐστιν ἑτεροκλίτως, ὡς ἀπὸ τῆς σκάς εὐθείας.

εὑρίσκεται δὲ καὶ εἰς $\overline{ος}$ εὐθεῖα. ὥσπερ γὰρ ἀπὸ τοῦ γῆρας καὶ

ἀπὸ τοῦ δέρας δέρος, οὕτω καὶ ἀπὸ τῆς ὕδας εὐθείας, ἐξ ἧς ἡ γενικὴ ὕδατος, γίνεται ὕδος, ὡς παρὰ Καλλιμάχῳ

ἔστιν ὕδος καὶ γαῖα καὶ ὀπτῆρα κάμινος.

ἔχομεν δὲ καὶ δοτικὴν διὰ τῆς ει διφθόγγου, ὡς παρ' Ἡσιόδῳ

γαῖαν ὕδει φύρειν.

16. ἰστέον ὅτι τινὲς θέλουσιν ὀξύνειν τὴν Ἀττικὴν γενικὴν τῶν ἑνικῶν, οἷον τοῦ κρεώς, τοῦ γηρώς, τοῦ κερῶς, λέγοντες ὅτι ἀπὸ τοῦ κρέατος καὶ γήρατος καὶ κέρατος ἐγένοντο κατὰ συγκοπὴν τοῦ α καὶ τ κρεός καὶ γηρός καὶ κερός διὰ τοῦ ο ὀξυτόνως, τῷ λόγῳ τῶν εἰς ος δισυλλάβων γενικῶν, οἷον ὥσπερ πατρός, μητρός, φωτός, μηνός, καὶ λοιπὸν Ἀθηναῖοι ἐκτείνοντες τὸ ο εἰς ω ἐφύλαξαν τὴν ὀξεῖαν τάσιν. τῷ δὲ Ἡρωδιανῷ οὐ δοκεῖ τοῦτο, ἀλλὰ ταῦτα βαρυτόνως δοξάζει λέγεσθαι.

1002, 3. ἰστέον ὅτι παρ' Ὁμήρῳ οὐδέποτε εὑρίσκεται ἡ γενικὴ τούτων τῶν εἰς ος οὐδετέρων εἰς ους καταλήγουσα, ἀλλ' ἢ εἰς ευς, οἷον Ἐρέβευς, θάρσευς,

τοίου μὲν θάρσευς πλῆσεν φρένας ἀμφιμελαίνας,

ἢ ἐντελῶς ἤγουν διὰ τοῦ εος, οἷον βέλεος,

βέλεος δέ σε τείρει ἀκωκή.

δύο δὲ μόνας γενικὰς ἐποίησεν εἰς ους, ἐπὶ τῶν εἰς ος δηλονότι οὐδετέρων, τὸ

χλωροὶ ὑπὸ δείους

(ἀντὶ τοῦ ὑπὸ τοῦ δέους) καὶ

ἥ ῥα κατὰ σπείους κέχυται

(ἀντὶ τοῦ κατὰ τοῦ σπέους). τοῦτο δὲ οὐκ ἐποίησε διὰ τὸ μέτρον (καὶ εἰ εἰς ευς γὰρ ἐποίησε ταύτας τὰς γενικάς, ἡ αὐτὴ μακρὰ εὑρίσκετο), ἀλλὰ διὰ τὴν κακοφωνίαν τῆς ἐπαλληλίας τοῦ ε.

24. Choerobosci in hoc caput commentarius, quem totum appono, et in Coisliniano est et scorsim in cod. Reg. 2426 et Monac. 310.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΑΙΣ ΠΤΩΣΕΣΙ ΤΟΝΩΝ.

ΠΕΡΙ ΤΟΥ ΤΟΝΟΥ ΤΗΣ ΓΕΝΙΚΗΣ ΤΩΝ ΕΝΙΚΩΝ.

Διαλαμβάνει ὁ τεχνικὸς περὶ τῶν ἐν ταῖς πτώσεσι τόνων, καὶ λαμβάνει πρῶτον ὁμολογούμενον τὸν τῆς εὐθείας τόνον, καὶ οὕτως κατασκευάζει τὸν τόνον τῆς γενικῆς. ἐμάθομεν δὲ ὅτι οἱ κύριοι τόνοι τῶν λέξεων δύο εἰσίν, ἥ τε ὀξεῖα φημι καὶ ἡ περισπω-

μένη. περὶ γὰρ τῆς βαρείας ἐμάθομεν ὅτι συλλαβικὸς τόνος ἐστί· πᾶσα γὰρ συλλαβὴ χωρὶς τῆς συλλαβῆς τῆς ἐχούσης τὸν κύριον τόνον τῆς λέξεως, λέγω δὲ τὴν ὀξεῖαν ἢ τὴν περισπωμένην, βαρεῖαν δέχεται, οἷον φίλὸς, ἄνθρώπὸς, δῆμὸς. κανονίζει οὖν ὁ τεχνικὸς τὸν τόνον τῆς γενικῆς λέγων ὅτι „πᾶσα γενικὴ ὀνόματος κοινὴ ἀπαθὴς ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ᾽ ἧς ἂν καὶ ἡ εὐθεῖα, χωρὶς εἰ μή που ἕτερος λόγος κωλύσῃ. ὑπεξαιρείσθωσαν δὲ αἱ εἰς ος δισύλλαβοι γενικαί." πρόςκειται ἐν τῷ κανόνι „κοινή" διὰ τὸ ἴα ἰᾶς καὶ μία μιᾶς, Ἰωνικῶς ἐν τῇ γενικῇ περισπασθέντων, ὡς δειχθήσεται. πρόςκειται „ἀπαθής" διὰ τὸ πατήρ πατέρος πατρός, ἀνήρ ἀνέρος ἀνδρός· ταῦτα γὰρ συγκοπὴν πεπονθότα οὐκ ἐφύλαξαν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον. πρόςκειται „εἰ μὴ ἕτερος λόγος κωλύσῃ" διὰ τὸ Ἄδωνις Ἀδώνιδος καὶ Ὅμηρος Ὁμήρου· ταῦτα γάρ, ὡς δειχθήσεται, δι᾽ ἕτερον λόγον κατεβίβασαν τὸν τόνον. πρόςκειται „ὑπεξαιρείσθωσαν δὲ αἱ εἰς ος δισύλλαβοι γενικαί" διὰ τὸ παῖς παιδός καὶ φῶς φωτός καὶ Τρὼς Τρωός· ταῦτα γὰρ οὐκ ἐφύλαξαν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον, ἀλλὰ τῷ λόγῳ τῆς δισυλλαβίας ὠξύνθησαν, ὡς μαθησόμεθα. Ταῦτα μὲν ἐν τούτοις. ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα. τὸ Αἴας ἐπὶ τῆς πρώτης συλλαβῆς ἔχει τὸν τόνον, ἀλλὰ καὶ ἡ γενικὴ ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον, Αἴαντος· ὁμοίως δὲ λέβης λέβητος, Λάχης Λάχητος, πένης πένητος, Δάρης Δάρητος, Πάρις Πάριδος. πάλιν τὸ ταχύς καὶ ὀξύς ἐπὶ τῆς δευτέρας ἀπ᾽ ἀρχῆς συλλαβῆς ἔχουσι τὸν τόνον· ἀλλὰ καὶ ἡ ταχέος καὶ ὀξέος γενικὴ ὁμοίως ἐπὶ τῆς δευτέρας συλλαβῆς ἀπ᾽ ἀρχῆς ἔχει τὸν τόνον. πάλιν τὸ Ἀχιλλεύς καὶ εὐγενής ἐπὶ τῆς τρίτης ἀπ᾽ ἀρχῆς συλλαβῆς ἔχει τὸν τόνον· ἀλλὰ καὶ ἡ Ἀχιλλέως καὶ εὐγενέος γενικὴ ὁμοίως ἐπὶ τῆς τρίτης ἀπ᾽ ἀρχῆς συλλαβῆς ἔχει τὸν τόνον. πάλιν φίλος φίλου, ξένος ξένου· ἰδοὺ ταῦτα ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν. πάλιν καλός καλοῦ, σοφός σοφοῦ, ἀγαθός ἀγαθοῦ· ἰδοὺ ταῦτα ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν, εἰ καὶ μὴ τὸν αὐτόν· ἡ μὲν γὰρ εὐθεῖα ὀξύνεται, ἡ δὲ γενικὴ περισπᾶται. περισπᾶται δὲ ἡ γενικὴ τῷ λόγῳ τῷ λεγομένῳ ἐν τῇ περὶ τοῦ ἰᾶς καὶ μιᾶς διδασκαλίᾳ. πάλιν ἐστὶ δοῦλος δούλου, καὶ ἐν τῇ αὐτῇ συλλαβῇ φυλάττει τὸν τόνον, εἰ καὶ μὴ τὸν αὐτόν· ἡ μὲν γὰρ εὐθεῖα προπερισπᾶται διὰ τὸ εἶναι φύσει μακρὰν πρὸ μιᾶς βραχείας, ἡ δὲ γενικὴ παροξύνεται διὰ τὸ εἶναι φύσει μακρὰν

τὴν ἐπὶ τέλους συλλαβήν. τὸ μέντοι Ἄδωνις Ἀδώνιδος καὶ φίλημα φιλήματος, ἐπειδὴ προπαροξύνεται ἡ εὐθεῖα καὶ περιττοσυλλάβως κλίνεται ἡ γενική, διὰ τοῦτο οὐ δύναται φυλάξαι ἐπὶ τῆς αὐτῆς συλλαβῆς τὸν τόνον ἐφ᾽ ἧς καὶ ἡ εὐθεῖα, ἀλλὰ καταβιβάζει αὐτὸν μίαν συλλαβὴν ἐν τῇ γενικῇ· τετάρτη γὰρ ἀπὸ τέλους οὐδέποτε πίπτει ἡ ὀξεῖα, τουτέστι πρὸ τριῶν συλλαβῶν οὐδέποτε τόνος εὑρίσκεται τιθέμενος.

Καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν πρὸ τριῶν συλλαβῶν οὐ τίθεται τόνος. καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην. οὐδέποτε ἁπλῆ λέξις πρωτότυπος ἀκίνητος ὑπερβαίνει τὴν τρισυλλαβίαν· τούτου χάριν οὐδὲ τόνος ὑπερβαίνει τὰς τρεῖς συλλαβάς. πρόσκειται ἐν τῷ κανόνι „ἁπλῆ" διὰ τὰς συνθέτους, οἷον διὰ τὸ φιλόσοφος, Ἀρίσταρχος· αὗται γὰρ ὑπερβαίνουσι τὴν τρισυλλαβίαν, ἀλλ᾽ οὐκ εἰσὶν ἁπλαῖ. πρόσκειται „πρωτότυπος" διὰ τὰς παραγώγους, οἷον διὰ τὸ σοφώτερος, ταχύτερος· αὗται γὰρ ὑπερβαίνουσι τὴν τρισυλλαβίαν, ἀλλ᾽ οὐκ εἰσὶ πρωτότυποι. „ἀκίνητος" δὲ πρόσκειται διὰ τὸ κείρω καὶ ποιῶ· γίνεται γὰρ τούτων ὁ ὑπερσυντέλικος ἐκεκάρμην καὶ ἐπεποιήκειν, καὶ ἰδοὺ ὑπερέβησαν ταῦτα τὴν τρισυλλαβίαν, καὶ αἴτιόν ἐστι τοῦ ὑπερβαίνειν τὴν τρισυλλαβίαν τὸ κινηθῆναι αὐτά. διὰ ταῦτα οὖν πρόσκειται ἐν τῷ κανόνι ὅτι οὐδέποτε ἁπλῆ λέξις πρωτότυπος ἀκίνητος ὑπερβαίνει τὰς τρεῖς συλλαβάς. Ἔστι δὲ εἰπεῖν καὶ ἄλλην ἀπολογίαν, δι᾽ ἣν οὐδέποτε ὑπερβαίνει τόνος τὴν τρισυλλαβίαν· ἔχει δὲ οὕτως. πρῶται τέλειαι λέξεις εἰσὶν αἱ τρισύλλαβοι· ἔχουσι γὰρ ἀρχὴν καὶ μέσον καὶ τέλος. ἐπειδὴ οὖν πρῶται τέλειαι λέξεις εἰσὶν αἱ τρισύλλαβοι, εἰκότως μέχρι αὐτῆς ἔστησαν οἱ τόνοι καὶ οὐχ ὑπερβαίνουσι τὴν τρισυλλαβίαν.

Ἰστέον δὲ ὅτι καὶ τὸ Ὅμηρος Ὁμήρου καὶ τὸ ἄνθρωπος ἀνθρώπου ἀναγκαίως κατεβίβασαν τὸν τόνον, ἐπειδὴ ἐπὶ τούτων ἡ εὐθεῖα προπαροξύνεται· καὶ λοιπὸν ἡ γενικὴ οὐ δύναται προπαροξυνθῆναι, [πρῶτον μὲν ὅτι οὐδέποτε πρὸ τεσσάρων χρόνων τόνος πίπτει. ἐὰν οὖν προπαροξυνθῶσιν ἐπὶ τούτων αἱ γενικαί, εὑρεθήσεται πρὸ τεσσάρων χρόνων ὁ τόνος· ὅπερ ἐστὶν ἀδύνατον. δεύτερον δὲ ὅτι κανών ἐστιν ὁ λέγων ὡς φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς οὐδέποτε τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα, ἤγουν οὐ προπαροξύνεται ἡ λέξις, οἷον Παρίδων, βημάτων, Λαχήτων. οὕτως οὖν καὶ ἀνθρώπου καὶ Ὁμήρου παροξύνεται. ἀμέλει

ἐν τῇ αἰτιατικῇ, ἐπειδὴ οὐκ ἔστιν ἡ τελευταία συλλαβὴ μακρά, οὐ κωλύεται προπαροξυνθῆναι, οἷον Ὅμηρον, ἄνθρωπον.

Τούτων οὖν οὕτως ἐχόντων δεῖ προςθεῖναι ἐν τῷ κανόνι τῷ λέγοντι ὡς φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς τρίτη ἀπὸ τέλους οὐδέποτε πίπτει ἡ ὀξεῖα „χωρὶς εἰ μὴ εὑρεθῇ τὸ ω̅ ἐν τῇ τελευταίᾳ συλλαβῇ παραλήγοντος τοῦ ε̅," τουτέστιν ὅταν τὸ ω̅ ἐν τῇ τελευταίᾳ συλλαβῇ παραλήγοντος τοῦ ε̅ εὑρεθῇ, τρίτη ἀπὸ τέλους τότε πίπτει ἡ ὀξεῖα, ὡς ἐπὶ τοῦ πόλεως, μάντεως, πράξεως, πόλεων, μάντεων, πράξεων, καὶ ὡς ἐπὶ τῶν παρὰ ταῖς διαλέκτοις, οἷον Ἀτρείδεω, Πηλείδεω. ἰστέον ὅτι ταῦτα προπαροξυνόμενα οὐ θέλουσιν ἔχειν μεταξὺ τοῦ ε̅ καὶ τοῦ ω̅ σύμφωνον, ὡς ἐπὶ τῶν προλεχθέντων παραδειγμάτων· ἐὰν δὲ ἄρα καὶ ἔχωσι, πάντως εὑρίσκεται ἢ τὸ λ̅ ἢ τὸ ρ̅, ὡς ἐπὶ τοῦ χρυσόκερως, φιλόγελως. Δεῖ δὲ γινώσκειν ὅτι ἐπὶ τοῦ πόλεως καὶ μάντεως ἀπολογούμενος ὁ τεχνικὸς, διότι μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς προπαροξύνεται, λέγει ὅτι ταῦτα ἀπὸ τοῦ πόλιος καὶ μάντιος γεγονότα τὴν τῶν κοινῶν ἐφύλαξαν τάσιν.

Ἔτι δεῖ προςθεῖναι „καὶ χωρὶς τῆς οι̅ διφθόγγου καὶ τῆς αι̅ διφθόγγου·" τούτων γὰρ ἐπὶ τέλους οὐσῶν πολλάκις προπαροξύνεται ἡ λέξις, οἷον Ὅμηροι, ἄνθρωποι, Ἀρίσταρχοι, τράπεζαι, ἅμαξαι, ἄελλαι, ἐπειδὴ ἀντὶ κοινῆς παραλαμβάνονται καὶ πρὸς ἕνα ἥμισυν χρόνον ἔχουσιν. Ἀλλ' ἔλθωμεν καὶ μάθωμεν πότε ἡ οι̅ καὶ αι̅ δίφθογγος ἐν τοῖς τονικοῖς παραγγέλμασιν ἀντὶ κοινῆς παραλαμβάνονται. ἰστέον ὅτι ἡ οι̅ καὶ ἡ αι̅ δίφθογγος ἐπὶ τῶν εὐθειῶν, τῶν πληθυντικῶν δηλονότι, καὶ τῶν κλητικῶν τῷ τονικῷ παραγγέλματι ἀντὶ κοινῆς παραλαμβάνονται ἤγουν ἀντὶ βραχείας, οἷον Ὅμηροι ὦ Ὅμηροι, ἄνθρωποι ὦ ἄνθρωποι, Ἀρίσταρχοι ὦ Ἀρίσταρχοι, αἱ ἅμαξαι ὦ ἅμαξαι, αἱ τράπεζαι ὦ τράπεζαι, αἱ ἄελλαι ὦ ἄελλαι. πρόςκειται „ἐπὶ τῶν εὐθειῶν τῶν πληθυντικῶν καὶ τῶν κλητικῶν" διὰ τὰς δοτικάς· ἐπὶ τούτων γὰρ οὐ παραλαμβάνονται ἡ αι̅ καὶ ἡ οι̅ δίφθογγοι ἀντὶ κοινῆς ἀλλ' ἀντὶ φύσει μακρᾶς, καὶ δῆλον ἐκ τοῦ καταβιβάζεσθαι τὸν τόνον ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν, ἡνίκα προπαροξύνεται ἡ εὐθεῖα, οἷον ἄνθρωποι ἀνθρώποις, Ὅμηροι Ὁμήροις, Ἀρίσταρχοι Ἀριστάρχοις, ἅμαξαι ἀμάξαις, ἄελλαι ἀέλλαις, τράπεζαι τραπέζαις. τούτου δὲ αἴτιόν ἐστι τὸ σύμφωνον τὸ ἐπιφερόμενον, ἐπειδὴ ἐν τῇ δοτικῇ τῶν πληθυντικῶν σύμφωνον ἐπιφέρεται τῇ οι̅ διφθόγγῳ καὶ τῇ αι̅· τούτου χάριν

ρινοῦ

ριν οὐ παραλαμβάνονται ἀντὶ κοινῆς. τὸ γὰρ σύμφωνον τὸ ἐπιφερόμενον ἕτερον ἡμιχρόνιον χαρίζεται αὐταῖς καὶ ἀποτελεῖ αὐτὰς φύσει μακράς· τὰ γὰρ σύμφωνα, δηλονότι τὰ ἁπλᾶ, ἡμιχρόνιον ἔχουσι. πρόςκειται „δηλονότι ἁπλᾶ," ἐπειδὴ τὰ διπλᾶ, ἅτε δύο συμφώνων ἔχοντα δύναμιν, πρὸς ἕνα χρόνον ἔχουσιν. ἐν δὲ τοῖς ἀπτώτοις καὶ τοῖς εὐκτικοῖς ῥήμασιν οὐδέποτε ἡ οι δίφθογγος τῷ τονικῷ παραγγέλματι ἀντὶ κοινῆς παραλαμβάνεται ἤγουν ἀντὶ βραχείας, ἀλλ' ἀντὶ φύσει μακρᾶς, οἷον ὤμοι, ποιήσοι. ὅτι γὰρ ἐπὶ τούτων ἀντὶ φύσει μακρᾶς παραλαμβάνεται ἡ οι δίφθογγος, δῆλον ἐκ τοῦ μὴ προπερισπᾶσθαι αὐτὰ ἀλλὰ παροξύνεσθαι. ὅθεν καὶ τὸ *ΟΙΚΟΙ* ἡνίκα μέν ἐστιν ἐπίῤῥημα καὶ σημαίνει τὸ ἐν οἴκῳ, παροξύνεται, ὡς τῆς οι διφθόγγου ἀντὶ φύσει μακρᾶς παραλαμβανομένης, οἷον οἴκοι· ὅτε δέ ἐστιν εὐθεῖα τῶν πληθυντικῶν, οἷον οἶκοι, προπερισπᾶται, ὡς τῆς οι διφθόγγου ἀντὶ κοινῆς παραλαμβανομένης ἤγουν ἀντὶ βραχείας, ὥσπερ δῆμοι, κῆποι. ἡ δὲ αι δίφθογγος, ὡς εἴρηται, ἐν τῇ εὐθείᾳ τῶν πληθυντικῶν καὶ ἐν τῇ κλητικῇ τῷ τονικῷ παραγγέλματι ἀντὶ κοινῆς παραλαμβάνεται ἤγουν ἀντὶ βραχείας, καὶ ἕνα ἥμισυν χρόνον ἔχει, οἷον αἱ ἅμαξαι ὦ ἅμαξαι, αἱ τράπεζαι ὦ τράπεζαι, αἱ ἄελλαι ὦ ἄελλαι. ὡσαύτως δὲ καὶ ἐν τοῖς ῥήμασιν ἀντὶ κοινῆς παραλαμβάνεται, καὶ ἐν τοῖς ὁριστικοῖς, ὡς ἐπὶ τοῦ τύπτονται, πεποίηνται, καὶ ἐν τοῖς ἀπαρεμφάτοις, οἷον τύπτεσθαι, λέγεσθαι, καὶ ἐν τοῖς προστακτικοῖς, οἷον ἄσπασαι, κατάδεξαι, περιποίησαι, μίμησαι, καὶ ἐν τοῖς ὑποτακτικοῖς, οἷον ἐὰν λέγωμαι, ἐὰν τύπτωμαι. ἐν δὲ τοῖς εὐκτικοῖς ἀντὶ φύσει μακρᾶς παραλαμβάνεται ἡ αι δίφθογγος καὶ οὐδέποτε ἀντὶ κοινῆς, οἷον ποιήσαιμι ποιήσαις ποιήσαι. ὅτι γὰρ ἀντὶ φύσει μακρᾶς παραλαμβάνεται ἡ αι δίφθογγος καὶ οὐδέποτε ἀντὶ κοινῆς ἐν τοῖς εὐκτικοῖς, δῆλον ἐκ τοῦ τὸ ποιήσαι εὐκτικὸν μὴ προπερισπᾶσθαι ἀλλὰ προπαροξύνεσθαι. ὅθεν τὸ *ΠΟΙΗΣΑΙ* ἡνίκα μέν ἐστιν εὐκτικόν, ποιήσαιμι ποιήσαις ποιήσαι, παροξύνεται, ὡς τῆς αι διφθόγγου ἀντὶ φύσει μακρᾶς παραλαμβανομένης· ὅτε δέ ἐστιν ἀπαρέμφατον, οἷον ποιῆσαι θέλω, προπερισπᾶται, ὡς τῆς αι διφθόγγου ἀντὶ κοινῆς παραλαμβανομένης ἤγουν ἀντὶ βραχείας. καὶ δια τί ἡ αι δίφθογγος ἐν τοῖς ὁριστικοῖς καὶ ἀπαρεμφάτοις καὶ προστακτικοῖς καὶ ὑποτακτικοῖς ἀντὶ κοινῆς παραλαμβάνεται, ἐν δὲ τοῖς εὐκτικοῖς ἀντὶ φύσει μακρᾶς, ἐν τοῖς προστακτικοῖς, εἰ θεῷ φίλον, μαθησόμεθα,

ἐν τῇ διδασκαλίᾳ τοῦ πρώτου μέσου ἀορίστου. ἐν δὲ τοῖς ἐπιῤῥήμασιν ἀντὶ φύσει μακρᾶς παραλαμβάνεται ἡ αι δίφθογγος τῷ τονικῷ παραγγέλματι, οἷον βαβαί, παπαί, χαμαί, χωρὶς τοῦ πάλαι καὶ τῶν παρ' αὐτοῦ, οἷον ἔκπαλαι, πρόπαλαι· ταῦτα δὲ τῷ τονικῷ παραγγέλματι ἀντὶ κοινῆς ἔχουσι παραλαμβανομένην τὴν αι δίφθογγον, ὅθεν καὶ προπαροξύνονται. ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δ' ἐστὶ ζητῆσαι τί δή ποτε ἡ οι καὶ ἡ αι δίφθογγοι μόναι ἐκ τῶν διφθόγγων τῷ τονικῷ παραγγέλματι ἀντὶ κοινῆς παραλαμβάνονται, οἷον ἄνθρωποι, Ὅμηροι, Ἀρίσταρχοι, ἅμαξαι, τράπεζαι, ἄελλαι. καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν. ἰστέον ὅτι ἕνδεκα δίφθογγοι εἰσίν· ἔστι γὰρ ἡ ει δίφθογγος καὶ ἡ οι καὶ ἡ αι καὶ ἡ αυ καὶ ἡ ευ καὶ ἡ ου καὶ ἡ ῃ καὶ ἡ ῳ, ἡ διὰ τοῦ η καὶ ι καὶ ἡ διὰ τοῦ ω καὶ ι, καὶ ἡ ηυ καὶ ἡ ωυ, ἡ διὰ τοῦ η καὶ υ καὶ ἡ διὰ τοῦ ω καὶ υ, οἷον ὡὐτὸς ἀνήρ ἀντὶ τοῦ ὁ αὐτός, καὶ ἡ υι ἡ διὰ τοῦ υ καὶ ι. αὗται τοίνυν αἱ ἕνδεκα δίφθογγοι ἀνεμερίσαντο ἑαυτὰς καὶ ἐγένοντο κατὰ τρόπους τρεῖς· αἱ μὲν γὰρ αὐτῶν εἰσὶ κατ' ἐπικράτειαν, αἱ δὲ κατὰ διέξοδον, αἱ δὲ κατὰ κρᾶσιν. καὶ κατὰ μὲν ἐπικράτειάν εἰσιν ὡς ἐπὶ τῆς ῃ διφθόγγου τῆς διὰ τοῦ η καὶ ι καὶ τῆς ῳ καὶ τῆς ᾳ τῆς ἐχούσης τὸ ι ἀνεκφώνητον· ἐπὶ τούτων γὰρ ὁ φθόγγος τοῦ ἑνὸς φωνήεντος ἐπικρατεῖ καὶ αὐτὸς ἐξακούεται, οἷον τῇ Ἑλένῃ, τῷ καλῷ, τῇ Μηδείᾳ. κατὰ κρᾶσιν δέ εἰσιν ὡς ἐπὶ τῆς ου διφθόγγου καὶ τῆς αυ καὶ τῆς ευ· ἐπὶ τούτων γὰρ συγκιρνῶσιν ἑαυτὰ τὰ δύο φωνήεντα καὶ ἀποτελοῦσι μίαν φωνὴν ἁρμόζουσαν τοῖς δύο φωνήεσιν, οἷον αὐλός, εὔχομαι, οὗτος. κατὰ διέξοδον δέ εἰσιν ὡς ἐπὶ τῆς ηυ διφθόγγου τῆς διὰ τοῦ η καὶ υ καὶ τῆς ωυ τῆς διὰ τοῦ ω καὶ υ καὶ τῆς υι τῆς διὰ τοῦ υ καὶ ι· ἐπὶ τούτων γὰρ χωρὶς ἀκούεται ὁ φθόγγος τοῦ ἑνὸς φωνήεντος, τοῦτ' ἔστι τοῦ ι, καὶ χωρὶς τοῦ ἑτέρου φωνήεντος, οἷον νηυσίν, υἱός, ὡὐτός,

εὖτέ μιν ὡὐτὸς ἀνήρ

ἀντὶ τοῦ ὁ αὐτός· ἐπειδὴ οὖν ἡ αι δίφθογγος ἡ ἐκφωνοῦσα τὸ ι καὶ ἡ οι δίφθογγος οὔτε κατ' ἐπικράτειάν εἰσιν οὔτε κατὰ διέξοδον οὔτε κατὰ κρᾶσιν, εἰκότως, ὥσπερ ἐστερήθησαν τοῦ ἰδιώματος τῶν διφθόγγων, ἐστερήθησαν καὶ τοῦ χρόνου τοῦ παρεπομένου ταῖς διφθόγγοις, καὶ τούτου χάριν αὗται μόναι ἐκ τῶν διφθόγγων τῷ τονικῷ παραγγέλματι ἀντὶ κοινῆς παραλαμβάνονται καὶ πρὸς ἕνα ἥμισυν χρόνον ἔχουσιν. πρόσκειται „ἡ ἐκφωνοῦσα τὸ ι,“

οἷον ,,ἡ αι δίφθογγος ἡ ἐκφωνοῦσα τὸ ι," ἐπειδὴ ἡ αι δίφθογγος ἡ ἀνεκφώνητον ἔχουσα τὸ ι, ὡς εἴρηται, κατ' ἐπικράτειάν ἐστι· καὶ γὰρ ἐν ταύταις ὁ φθόγγος τοῦ α ἐπικρατεῖ, οἷον τῇ Μηδείᾳ. ταῦτα μὲν ἐν τούτοις.

Ἔτι δεῖ προσθεῖναι ἐν τῷ κανόνι τῷ λέγοντι ὅτι φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς οὐδέποτε τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα ἤγουν οὐ προπαροξύνεται ,,καὶ χωρὶς τοῦ η τοῦ γινομένου ἀπὸ τροπῆς τῆς αι διφθόγγου παρὰ τοῖς Βοιωτοῖς." τούτου γὰρ ἐπὶ τέλους ὄντος πολλάκις τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα· τὸ γὰρ τύπτομαι οἱ Βοιωτοὶ τρέποντες τὴν αι δίφθογγον εἰς τὸ η προπαροξύνουσι καὶ λέγουσί τύπτομη. Ἔτι δεῖ προσθεῖναι ,,καὶ χωρὶς τοῦ υ τοῦ μακροῦ τοῦ γινομένου ἀπὸ τροπῆς τῆς οι διφθόγγου παρὰ τοῖς Βοιωτοῖς." τούτου γὰρ ἐπὶ τέλους ὄντος πολλάκις τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα· τὸ γὰρ Ὅμηροι τρέποντες τὴν οι δίφθογγον οἱ Βοιωτοὶ εἰς τὸ υ μακρὸν προπαροξύνουσι καὶ λέγουσιν Ὅμηρυ, καὶ ἰδοὺ εὑρίσκεται τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα ἔχουσα μακρὰν φύσει τὴν τελευταίαν συλλαβήν.

Τοσαῦτα ἔχομεν εἰπεῖν περὶ τοῦ εἰπεῖν τὸν τεχνικὸν ὅτι φύσει μακρᾶς οὔσης τῆς τελευταίας οὐδέποτε τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα ἤγουν οὐ προπαροξύνεται ἡ λέξις.

Τούτων οὕτως ἐχόντων σημειοῦται ὁ τεχνικὸς τὸ μητέρος καὶ θυγατέρος, ὅτι οὐκ ἐφύλαξαν τὸν τόνον ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἐφ' ἧς καὶ ἡ εὐθεῖα. τὸ γὰρ μήτηρ καὶ θυγάτηρ παροξύτονα ὄντα ὤφειλον ἐν τῇ γενικῇ προπαροξύνεσθαι καὶ γίνεσθαι μήτερος καὶ θυγάτερος, ὥσπερ Δημήτηρ Δημήτερος, ἵνα φυλάξωσιν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφ' ἧς συλλαβῆς τὸν τόνον ἔχει καὶ ἡ εὐθεῖα· ἀλλ' ἠκολούθησαν τοῖς ἰδίοις συγγενικοῖς κατὰ τὸν τόνον τῆς γενικῆς, λέγω δὲ τῷ πατέρος, ἀνέρος, δαέρος (δαὴρ δέ ἐστιν ὁ ἀνδράδελφος), καὶ παρωξύνθησαν ὁμοίως αὐτοῖς, οἷον μητέρος, θυγατέρος.

Ταῦτα μὲν ἐν τούτοις. ἡμάρτηται δέ, φησί, τὸ γυναικός καὶ θυγατρός. καὶ γὰρ παράλογός ἐστιν ἡ γενικὴ ὀξυνομένη ἐπὶ τοῦ γυναικός καὶ θυγατρός· πᾶσα γὰρ γενικὴ εἰς ος λήγουσα ὑπὲρ δύο συλλαβὰς ἀπέστραπται τὴν ὀξεῖαν τάσιν, οἷον Αἴαντος, Θόαντος, λέβητος, Λάχητος, Ξενοφῶντος, Ἀγλαοφῶντος, Σιδῶνος, Μακεδόνος, βολίδος, ἀσπίδος, ῥανίδος. παραλόγως ἄρα ἡ γυναικός καὶ θυγατρός γενικαὶ ὀξύνονται. καὶ ἔστιν εἰπὶν ὅτι συναπηνέχθησαν αὗται

τοῖς ἰδίοις συγγενικοῖς κατὰ τὸν τόνον· φημὶ δὲ τῇ πατρός γενικῇ καὶ τῇ ἀνδρός καὶ τῇ μητρός, καὶ ὀξύνονται ὁμοίως ταύταις ταῖς γενικαῖς.

Ἐπειδὴ δὲ εἰρήκαμεν ὅτι πᾶσα γενικὴ εἰς ος λήγουσα ὑπὲρ δύο συλλαβὰς ἀπέστραπται τὴν ὀξεῖαν τάσιν, δεῖ γινώσκειν ὅτι πᾶσα γενικὴ εἰς ος λήγουσα ὑπὲρ δύο συλλαβάς (ὑπεσταλμένης δηλονότι τῆς γυναικός καὶ θυγατρός γενικῆς ὀξυνομένης παραλόγως) ἢ παροξύνεται ἢ προπαροξύνεται ἢ προπερισπᾶται. προπαροξύνονται μὲν οὖν αἱ εἰς ος λήγουσαι γενικαί, ὑπὲρ δύο συλλαβὰς δηλονότι οὖσαι, ὅσαι εἰσὶν ἀπὸ παροξυνομένων εὐθειῶν, οἷον Αἴας Αἴαντος, Θόας Θόαντος, πένης πένητος, Δάρης Δάρητος, Πάρις Πάριδος, Θέτις Θέτιδος, Δημήτηρ Δημήτερός, εἰνάτηρ εἰνάτερος (σημαίνει δὲ τὴν σύνυμφον,

καὶ εἰνατέρων εὐπέπλων).

ἐχρῆν οὖν καὶ παρὰ τὸ μήτηρ καὶ θυγάτηρ παροξύτονον μήτερος καὶ θυγάτερος εἶναι κατὰ τὴν γενικὴν προπαροξυτόνως· ἀλλ' ὡς εἴρηται, παρωξύνθησαν ὁμοίως τοῖς ἰδίοις συγγενικοῖς, οἷον μητέρος καὶ θυγατέρος, ὥσπερ πατέρος, ἀνέρος καὶ δαέρος. ἀπὸ προπαροξυνομένων δέ, οἷον Ἄδωνις Ἀδώνιδος, φίλημα φιλήματος, νόημα νοήματος, Ἄρτεμις Ἀρτέμιδος, Ἄθηνις Ἀθήνιδος, Θέογνις Θεόγνιδος. ἀπὸ προπερισπωμένων δέ, οἷον μνῆμα μνήματος, βῆμα βήματος, αἷμα αἵματος, κῦμα κύματος, σῶμα σώματος, νεᾶνις νεάνιδος, Θοῦρις Θούριδος, οἷον Θούριδος ἀλκῆς. παροξύνονται δὲ αἱ εἰς ος λήγουσαι γενικαί, δηλονότι ὑπὲρ δύο συλλαβὰς ὑπάρχουσαι, ὅσαι εἰσὶν ἀπὸ ὀξυνομένων εὐθειῶν καὶ βραχεῖᾳ παραλήγονται, οἷον ταχὺς ταχέος, βραδύς βραδέος, ἡδύς ἡδέος, Ἀχιλλεύς Ἀχιλλέος, Πηλεύς Πηλέος, ἀστήρ ἀστέρος, αἰθήρ αἰθέρος, ἀήρ ἀέρος, ἀσπίς ἀσπίδος, εὐσεβής εὐσεβέος, εὐγενής εὐγενέος, ποιμήν ποιμένος, ὀδούς ὀδόντος· θέσει γὰρ μακρὰ ἡ παραλήγουσα καὶ οὐ φύσει, καὶ λοιπὸν βραχεῖαν μιμεῖται. προπερισπῶνται δὲ ὅσαι φύσει μακρᾷ παραλήγονται, οὖσαι ἀπὸ ὀξυτόνων εὐθειῶν ἢ περισπωμένων, ἀπὸ μὲν ὀξυτόνων οἷον χειμών χειμῶνος, αἰών αἰῶνος, ἀγών ἀγῶνος, σωλήν σωλῆνος, δοθιήν δοθιῆνος, στατήρ στατῆρος, καμπτήρ καμπτῆρος, ἡμιθνής ἡμιθνῆτος, νεοδμής νεοδμῆτος, ψηφίς ψηφῖδος, κρηπίς κρηπῖδος, ἰχώρ ἰχῶρος· ἀπὸ περισπωμένων δὲ οἷον Ξενοφῶν Ξενοφῶντος, Ἀγλαοφῶν Ἀγλαοφῶντος, Ἱπποκῶν Ἱπποκῶντος, Δημοφῶν Δημοφῶντος, Ποσειδῶν

Ποσειδῶνος, *Σιμοῦς Σιμοῦντος*, πλακοῦς πλακοῦντος, τιμῆς τιμῆντος, οἷον χρυσὸν τιμῆντα καὶ ἄργυρον.

Ταῦτα μὲν περὶ τῶν εἰς ος ληγουσῶν γενικῶν τῶν ὑπὲρ δύο συλλαβάς. Ἰστέον δὲ ὅτι τὸ ἰᾶς καὶ μιᾶς οὐκ ἐφύλαξαν ἐπὶ τῆς αὐτῆς συλλαβῆς τὸν τόνον ἐφ᾽ ἧς ἔχει καὶ ἡ εὐθεῖα· ἡ γὰρ εὐθεῖά ἐστιν ἴα καὶ μία παροξυτόνως, καὶ ὤφειλεν ἡ γενικὴ παροξύνεσθαι οἷον ἴας καὶ μίας, ἵνα φυλάξῃ ἐπὶ τῆς αὐτῆς συλλαβῆς τὸν τόνον ἐφ᾽ ἧς ἔχει καὶ ἡ εὐθεῖα· οὐκ ἐγένετο δὲ οὕτως ἀλλ᾽ ἰᾶς καὶ μιᾶς περισπωμένως. καὶ λέγει ὁ τεχνικὸς ὅτι ταῦτα Ἰωνικὴν ἔχουσι τάσιν, καὶ οὐκ ἐσαφήνισεν ἡμῖν τὸ λεγόμενον. ἔστι δὲ τὸ λεγόμενον τοιαύτην ἔχον τὴν ἐξήγησιν. ἐπὶ τῶν εἰς ᾰ βραχυκαταλήκτων εἰώθασιν οἱ Ἴωνες βαρυτονεῖν τὰς λέξεις ὡς καὶ ἡμεῖς, οἷον ἄγυια, ἅρπυια, *Πλάταια*· ὅταν δὲ γένηται ἡ τελευταία συλλαβὴ μακρά, Ἰωνικῷ ἔθει καταβιβάζεται ὁ τόνος, οἷον ὀργυιᾶς, ἀγυιᾶς, *Θεσπιᾶς*, *Πλαταιᾶς*· ἰδοὺ ταῦτα ἐν τῇ τελευταίᾳ συλλαβῇ ἐπιδέχονται τὸν τόνον. ἐπειδὴ οὖν τὸ ἴα καὶ μία ἐν τῇ γενικῇ καὶ δοτικῇ μακροκαταληκτοῦσι, τούτου χάριν Ἰωνικῷ ἔθει κατεβίβασαν τὸν τόνον καὶ περιεσπάσθησαν, οἷον ἰᾶς καὶ μιᾶς, ἰᾷ καὶ μιᾷ. τοῦτο οὖν τῷ τεχνικῷ εἰρημένον ἐστὶ „τὸ γὰρ ἰᾶς καὶ μιᾶς Ἰωνικὴν ἔχει τάσιν," τουτέστιν ὅτι τῆς εὐθείας βαρυτονουμένης καὶ βραχυκαταληκτούσης ἡ γενικὴ καὶ ἡ δοτικὴ μακροκαταληκτοῦσαι Ἰωνικῷ ἔθει κατεβίβασαν τὸν τόνον, οἷον ἰᾶς καὶ μιᾶς, ἰᾷ καὶ μιᾷ. ὅθεν ἡ αἰτιατική, ἐπειδὴ οὐκ ἐγένετο μακροκατάληκτος, οὐ κατεβίβασε τὸν τόνον ἀλλὰ παροξύνεται ὁμοίως τῇ εὐθείᾳ, οἷον ἴαν καὶ μίαν.

Τούτων οὕτως ἐχόντων ἄξιόν ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν ἡ ἰᾶς καὶ μιᾶς γενικὴ καὶ ἡ ἰᾷ καὶ μιᾷ δοτικὴ μακροκαταληκτοῦσι. καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην. διὰ τοῦτο ἡ ἰᾶς καὶ μιᾶς γενικὴ μακροκαταληκτεῖ, ἐπειδὴ κανών ἐστιν ὁ λέγων ὅτι πᾶσα γενικὴ ἰσοσυλλαβοῦσα τῇ εὐθείᾳ μακροκαταληκτεῖν θέλει, οἷον ἄνθρωπος ἀνθρώπου, Ὅμηρος Ὁμήρου, δίψα δίψης, Ἀντιόχεια Ἀντιοχείας, Ἀλεξάνδρεια Ἀλεξανδρείας, *Μήδεια Μηδείας*. οὕτως οὖν καὶ ἴα ἰᾶς καὶ μία μιᾶς διὰ μακροῦ τοῦ ᾱ κατὰ τὴν γενικήν. πρόσκειται „ἰσοσυλλάβως κλινομένη" διὰ τὸ *Αἴας Αἴαντος* καὶ *Λάχης Λάχητος*· ταῦτα γὰρ οὐ μακροκαταληκτοῦσι κατὰ τὴν γενικήν, ἀλλ᾽ οὐ κλίνονται ἰσοσυλλάβως. ἡ πατρός καὶ μητρός γενικὴ ἰσοσυλλαβοῦσα τῇ εὐθείᾳ, φημὶ δὲ τῇ πατήρ καὶ μήτηρ, καὶ

μὴ μακροκαταληκτοῦσαι οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὐ κλίνονται ἰσοσυλλάβως· πατὴρ γὰρ πατέρος ἦν καὶ μήτηρ μητέρος, καὶ κατὰ συγκοπὴν γεγόνασι πατρός καὶ μητρός, καὶ λοιπὸν ἡ συναίρεσις αἰτία γέγονε τῆς ἰσοσυλλαβίας. πρόςκειται „κλινομένη" διὰ τὸ ἄλφα τοῦ ἄλφα, τὸ βῆτα τοῦ βῆτα· ἐπὶ τούτων γὰρ ἡ γενικὴ οὐ μακροκαταληκτεῖ ἰσοσυλλάβως κλινομένη, ἀλλ' οὐκ ἀντίκειται ἡμῖν ταῦτα, ἐπειδὴ μονόπτωτά εἰσι καὶ τὴν αὐτὴν φωνὴν πανταχοῦ φυλάττουσιν.

Ἔχομεν οὖν δι' ἣν αἰτίαν ἡ ἰᾶς καὶ μιᾶς γενικὴ μακροκαταληκτεῖ. ἡ δὲ ἰᾷ καὶ μιᾷ δοτικὴ διὰ τοῦτο μακροκαταληκτεῖ, πρῶτον μὲν ὅτι, ὡς εἴρηται, καὶ ἡ γενικὴ τούτων μακροκαταληκτεῖ, οἷον ἰᾶς καὶ μιᾶς· πᾶσα δὲ δοτικὴ ἑνικῶν ἰσοσυλλαβοῦσα τῇ ἰδίᾳ γενικῇ ἰσοχρονεῖν αὐτῇ θέλει, οἷον Ὁμήρου Ὁμήρῳ, ἀνθρώπου ἀνθρώπῳ, δίψης δίψῃ, Αἴαντος Αἴαντι, Λάχητος Λάχητι, πένητος πένητι. εἰ οὖν ἡ ἰᾶς καὶ μιᾶς γενικὴ, ὡς εἴρηται, μακροκαταληκτεῖ, δηλονότι εὐλόγως ἡ ἰᾷ καὶ μιᾷ δοτικὴ μακροκαταληκτεῖ. πρόςκειται „ἰσοσυλλαβοῦσα τῇ ἰδίᾳ γενικῇ" διὰ τὸ ταχέος ταχεῖ, βραδέος βραδεῖ· ἐπὶ τούτων γὰρ ἡ δοτικὴ μακροκαταληκτεῖ τῆς γενικῆς βραχυκαταληκτούσης, ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἰσοσυλλαβεῖ ἡ δοτικὴ τῇ γενικῇ. δεύτερον δὲ διὰ τοῦτο ἐν τῇ ἰᾷ καὶ μιᾷ δοτικῇ μακρόν ἐστι τὸ ᾱ, ἐπειδὴ τὸ ῑ ἀνεκφώνητόν ἐστιν. ἐμάθομεν γὰρ ὅτι τὸ ῑ τότε εὑρίσκεται ἀνεκφώνητον, ἡνίκα εὑρεθῇ ἢ μετὰ τοῦ η̄ ἢ μετὰ τοῦ ω̄ ἢ μετὰ τοῦ ᾱ μακροῦ ἐν μιᾷ συλλαβῇ, οἷον τῇ σοφῇ, τῷ καλῷ, τῇ Μηδείᾳ.

Ἔχομεν οὖν τὴν αἰτίαν δι' ἣν ἡ ἰᾶς καὶ μιᾶς γενικὴ καὶ ἡ ἰᾷ καὶ μιᾷ δοτικὴ μακρὸν ἔχουσι τὸ ᾱ. ἄξιον δέ ἐστι ζητῆσαι διὰ τί ἡ ἰᾶς καὶ μιᾶς γενικὴ καὶ ἡ ἰᾷ καὶ μιᾷ δοτικὴ ἐπὶ τέλους ἔχουσι τὸν τόνον καὶ περισπῶνται καὶ οὐκ ὀξύνονται. ἔστιν οὖν εἰπεῖν τὴν αἰτίαν ταύτην. οὐκ ἠδύναντο αἱ γενικαὶ αὗται καὶ δοτικαὶ ὀξύνεσθαι, ἐπειδὴ κανών ἐστιν ὁ λέγων ὅτι πᾶσα γενικὴ καὶ δοτικὴ μακροκαταληκτοῦσα ἐπ' ὀνομάτων, ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχουσα τὸν τόνον, περισπωμένην δέχεται, χωρὶς εἰ μὴ ἀπὸ ὀξυνομένης εὐθείας γένηται ἡ γενικὴ κατὰ ἀποβολὴν τοῦ σ̄. ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, σοφοῦ σοφῷ σοφοῖν σοφῶν σοφοῖς, καλοῦ καλῷ καλοῖν καλῶν καλοῖς, τιμῆς τιμῇ τιμαῖν τιμῶν τιμαῖς, φοβερᾶς φοβερᾷ φοβεραῖν φοβερῶν φοβεραῖς, Σαπφοῦς Σαπφοῖ Σαπφοῖν Σαπφῶν Σαπφοῖς, πτεροῦ πτερῷ πτε-

ροῖν πτερῶν πτεροῖς. οὕτως οὖν καὶ ἡ ἰᾶς καὶ μιᾶς γενικὴ καὶ ἡ ἰᾷ καὶ μιᾷ δοτικὴ καὶ περισπῶνται καὶ οὐκ ὀξύνονται. πρόςκειται ἐν τῷ κανόνι „μακροκαταληκτοῦσα" διὰ τὸ μηνός μηνί, χηνός χηνί, φωτός φωτί· ταῦτα γὰρ οὐ περισπῶνται, ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ εἰσὶ μακροκατάληκτα ἀλλὰ βραχυκατάληκτα. πρόςκειται „ἐπ' ὀνομάτων" διὰ τὴν ἐμοί καὶ σοί ἀντωνυμίαν· αὗται γὰρ οὐ περισπῶνται ἀλλ' ὀξύνονται. πρόςκειται „ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχουσα τὸν τόνον" διὰ τὸ Ὁμήρου Ὁμήρῳ, ἀνθρώπου ἀνθρώπῳ· ταῦτα γὰρ μακροκατάληκτά εἰσι καὶ ὅμως οὐ περισπῶνται, ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὐκ ἔχουσιν ἐπὶ τῆς τελευταίας συλλαβῆς τὸν τόνον. πρόςκειται ἐν τῷ κανόνι „χωρὶς εἰ μὴ ἀπὸ ὀξυτονουμένης εὐθείας γένηται ἡ γενικὴ κατὰ ἀποβολὴν τοῦ σ̄," ἐπειδὴ ἐὰν ἀπὸ ὀξυτονουμένης εὐθείας γένηται ἡ γενικὴ κατὰ ἀποβολὴν τοῦ σ̄, τότε καὶ ἡ γενικὴ καὶ ἡ δοτικὴ ὀξύνονται ὁμοίως τῇ εὐθείᾳ, οἷον ὁ νεώς τοῦ νεώ τῷ νεῴ, ὁ λεώς τοῦ λεώ τῷ λεῴ, ὁ ζώς τοῦ ζώ τῷ ζῴ.

Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον ὅτι αἱ εἰς ο̄ς̄ γενικαὶ δισύλλαβοι ἐπ' ὀνομάτων ὀξύνεσθαι θέλουσιν, οἷον μηνός, χηνός, γραός, φωτός, ποδός, φρενός, συός, δρυός, σφηνός, σπληνός, Κρητός, κτενός, χθονός, ἑνός, βοός, χροός, δμωός, σαρκός, Σφιγγός, πατρός, ἀνδρός, μητρός, χωρὶς εἰ μὴ ἀπὸ συναιρέσεως εὑρεθῇ ἡ γενικὴ ἢ πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου ἢ χαρακτῆρι ἀκολουθήσει, ἀπὸ συναιρέσεως μὲν διὰ τὸ λᾶος· ἀπὸ γὰρ τρισυλλάβου γενικῆς τοῦ λάαος ἐγένετο λᾶος, συναιρέσεως παρακολουθησάσης ἤγουν κράσεως τῶν δύο α̅α̅ εἰς ἓν α̅, μακρὸν δηλονότι, διὸ καὶ προπερισπᾶται, οἷον

λᾶος ὑπὸ ῥιπῆς,

τουτέστιν ὑπὸ τῆς βολῆς τοῦ λίθου. καὶ πάλιν ἔστι κέαρ κέαρος, κῆρ κῆρος, καὶ γίνονται κατὰ συναίρεσιν ἤγουν κατὰ κρᾶσιν τοῦ ε̅ καὶ α̅ εἰς η̅ κῆρος καὶ ἦρος προπερισπωμένως. καὶ πάλιν ἔστιν ἡ εὐθεῖα ὗϊς ὡς ὄφις, καὶ γίνεται ἡ γενικὴ ὕϊος ὡς ὄφιος προπαροξυτόνως, καὶ κατὰ συναίρεσιν τοῦ υ̅ καὶ ι̅ εἰς τὴν υ̅ι̅ δίφθογγον υἷος προπερισπωμένως, ὡς παρ' Ὁμήρῳ

Τρώων ἱπποδάμων ἐξ Ἰλίου υἷος ἄποινα,

ὁ δὲ Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν οὕτω τοῦτο σχηματίζων φησίν, ὅτι ἔστιν υἷς διὰ τῆς υι κατὰ τὴν παραλήγουσαν· τούτου ἡ

γενικῇ υἵιος καὶ κατὰ κρᾶσιν τῶν δύο ῑῑ εἰς ἕν, δηλονότι μακρόν, υἷος, ὥςπερ Θέτιι Θέτι,

Θέτι καλλιπλοκάμῳ.

Τούτων οὕτως ἐχόντων ἄξιόν ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν τὸ ὗϊς ὗϊος κατὰ μὲν τὴν γενικὴν ἔπαθε συναίρεσιν τοῦ ῡ καὶ ῑ εἰς τὴν υι δίφθογγον, κατὰ δὲ τὴν εὐθεῖαν οὐ πάσχει συναίρεσιν τοῦ ῡ καὶ ῑ εἰς τὴν υι δίφθογγον. καὶ ἔστιν εἰπεῖν ὅτι διὰ τοῦτο τὸ ὗϊς κατὰ τὴν εὐθεῖαν οὐ πάσχει συναίρεσιν τοῦ ῡ καὶ ῑ εἰς τὴν υι δίφθογγον, ἐπειδὴ οὐδέποτε μετὰ τὴν υι δίφθογγον σύμφωνον εὑρίσκεται ἐπιφερόμενον, οἷον ἅρπυια, μυῖα, υἱός· εἰ ἔπαθεν οὖν τὸ ὗϊς κατὰ τὴν εὐθεῖαν συναίρεσιν τοῦ ῡ καὶ ῑ εἰς τὴν υι δίφθογγον, ἤμελλε μετὰ τὴν υι δίφθογγον σύμφωνον ἐπιφέρεσθαι τὸ σ, ὅπερ ἐστὶν ἄτοπον.

Ταῦτα μὲν ἐν τούτοις. ἄξιον δέ ἐστι ζητῆσαι, εἰ ἄρα διὰ τοῦτο ἡ λᾶος γενικὴ καὶ ἡ κῆρος καὶ ἦρος βαρύνονται, ἐπειδὴ ἀπὸ τρισυλλάβου γενικῆς γεγόνασι τῆς λάαος καὶ κέαρος καὶ ἔαρος, διὰ ποίαν αἰτίαν καὶ ἡ πατρός καὶ μητρός καὶ ἀνδρός γενικαὶ οὐ βαρύνονται, οἷον πάτρος καὶ μῆτρος καὶ ἄνδρος, ἐπειδὴ καὶ αὗται ἀπὸ τρισυλλάβου γενικῆς γεγόνασι τῆς πατέρος καὶ μητέρος καὶ ἀνέρος. ἔστιν οὖν εἰπεῖν ὅτι ἡ μὲν πατρός καὶ μητρός καὶ ἀνδρός γενικαὶ συγκοπὴν πεπόνθασι τοῦ ε καὶ τελείως ἀποβάλλουσι τὴν μίαν συλλαβήν, καὶ λοιπὸν ὡς κυρίως δισύλλαβοι ὠξύνθησαν, ἡ δὲ λᾶος καὶ κῆρος καὶ ἦρος γενικαὶ κρᾶσιν πεπόνθασι καὶ δυνάμει τρισύλλαβοί εἰσιν· οὐδὲ γὰρ ἐποιήσαντο ἀποβολὴν συλλαβῆς ἀλλὰ κρᾶσιν τῶν δύο φωνηέντων, καὶ λοιπὸν ὡς δυνάμει τρισύλλαβοι εὐλόγως βαρύνονται.

Πρὸς ταῦτα ἀποροῦσί τινές λέγοντες, εἰ ἄρα τὸ λᾶος καὶ κῆρος καὶ ἦρος ὡς δυνάμει τρισύλλαβα ἐβαρύνθησαν, διὰ ποίαν αἰτίαν τὸ οἶς ὄϊος, γενόμενον κατὰ συναίρεσιν οἶς οἰός, μὴ ἐβαρύνθη; καὶ τοῦτο γὰρ δυνάμει τρισύλλαβόν ἐστιν. ἔστιν οὖν εἰπεῖν ὅτι τὸ μὲν λᾶος καὶ κῆρος καὶ ἦρος οὐ μόνον ἐν τῇ εὐθείᾳ συναιροῦνται ἀλλὰ καὶ ἐν τῇ γενικῇ, οἷον λᾶας λᾶς λάαος λᾶος, κέαρ κῆρ κέαρος κῆρος, ἔαρ ἦρ ἔαρος ἦρος, καὶ τούτου χάριν ὡς δυνάμει τρισύλλαβα ὄντα ἐν τῇ γενικῇ ἐβαρύνθησαν· τὸ δὲ οἶς οἰός οὐκ ἔπαθεν ἐν τῇ γενικῇ συναίρεσιν ἀλλ' ἐν τῇ εὐθείᾳ μόνον, οἷον ὄϊς οἶς, καὶ λοιπὸν ἀπὸ τῆς συνῃρημένης εὐθείας ἐκλίθη οἰός ἡ γενική, καὶ τούτου χάριν ὡς μὴ οὖσα ἡ γενικὴ τρι-

σύλλαβος δυνάμει ἀλλὰ κυρίως δισύλλαβος ὠξύνθη. τοῦτο δὲ καὶ ἐπὶ ἄλλων εὑρίσκεται, φημὶ δὲ τὸ ἐν τῇ εὐθείᾳ μόνον γίνεσθαι συναίρεσιν καὶ λοιπὸν ἐκ τῆς συνῃρημένης εὐθείας κλίνεσθαι τὴν γενικήν, ὡς ἐπὶ τοῦ φῶς φωτός καὶ ὦς ὠτός. ἔστι γὰρ φόας φόατος καὶ ὄας ὄατος, καὶ λοιπὸν κρᾶσις παρακολουθεῖ τῇ εὐθείᾳ καὶ γίνεται φῶς καὶ ὦς, κἀκεῖθεν κλίνεται φωτός καὶ ὠτός ἡ γενική. οὐδὲ γὰρ δυνάμεθα τὴν φωτός καὶ ὠτός γενικὴν ἀπὸ τῆς φόατος καὶ ὄατος λέγειν κατὰ κρᾶσιν, ἐπεὶ φῶτος καὶ ὦτος ὤφειλεν εἶναι βαρυτόνως, ὡς ἀπὸ τρισυλλάβου γενικῆς γενόμενα· ἀλλ' ὡς εἴρηται, ἐν τῇ εὐθείᾳ ἐγένετο ἡ κρᾶσις κἀκεῖθεν ἡ κλίσις. σεσημείωται τὸ φρητός ὀξυνόμενον· ἀπὸ γὰρ τρισυλλάβου γενικῆς τῆς φρέατος γενόμενον κατὰ κρᾶσιν φρῆτος ὤφειλε βαρύνεσθαι. οὐδὲ γὰρ δυνάμεθα λέγειν ὅτι ἐπὶ τούτου ἐν τῇ εὐθείᾳ ἐγένετο ἡ κρᾶσις κἀκεῖθεν ἡ κλίσις· οὐδὲ γὰρ εἴρηται ἡ φρῆρ εὐθεῖα τῇ χρήσει. ἔστιν οὖν εἰπεῖν ὅτι ἡ φρητός γενικὴ συνέδραμε κατὰ τὴν τάσιν τῆς Κρητός γενικῆς καὶ σητός καὶ θητός· σής δέ ἐστιν ὁ σκώληξ καὶ θής ὁ μισθωτός.

Ταῦτα μὲν ἐν τούτοις. ἰστίον δὲ ὅτι περὶ τοῦ Θῶνος παράκοιτις λέγει ὁ τεχνικὸς [ὅτι] ἢ ἀπὸ τῆς Θῶνις εὐθείας ἐγένετο Θώνιδος καὶ Θώνιος Ἰωνικῶς, ὥσπερ Πάριδος Πάριος, καὶ κατὰ συγκοπὴν Θῶνος, ἢ ἀπὸ τῆς Θόων Θόωνος καὶ κατὰ κρᾶσιν τοῦ ο καὶ ω εἰς τὸ ω Θῶνος. οὐχ ὑγιῶς [δὲ] λέγει. πρὸς μὲν γὰρ τὸν πρῶτον λόγον ἔστιν εἰπεῖν ὅτι, εἰ ἐγένετο κατὰ συγκοπήν, ὤφειλεν ὀξύνεσθαι ὁμοίως τοῖς ἄλλοις τοῖς κατὰ συγκοπήν, λέγω δὲ τὸ πατέρος πατρός, μητέρος μητρός, ἀνέρος ἀνδρός· καὶ αὗται γὰρ αἱ γενικαὶ συγκοπὴν παθοῦσαι καὶ δισυλλαβήσασαι ὠξύνθησαν πρὸς τὸν χαρακτῆρα τῶν εἰς ος δισυλλάβων γενικῶν, οἷον ὥσπερ παιδός, μηνός, χηνός, γραός, φωτός, παντός. πρὸς δὲ τὸν δεύτερον λόγον ἔστιν εἰπεῖν ὅτι οὐδαμοῦ ἡ Θόων εὐθεῖα, ἐξ ἧς λέγει γεγενῆσθαι τὴν Θόωνος καὶ Θῶνος γενικήν, εὕρηται σημαίνουσα τὸν Αἰγύπτιον ἄνδρα, ὅντινα σημαίνει ἡ Θῶνος γενική, ἀλλ' ἕτερον ἄνδρα, ὡς παρ' Ὁμήρῳ Θόωνά τε ἄνακτα. τί οὖν ἔχομεν εἰπεῖν; ἔστιν οὖν εἰπεῖν ὅτι κατὰ συγκοπὴν γέγονεν ἡ Θῶνος γενικὴ ἀπὸ τῆς Θώνιος γενικῆς. εἰ δέ τις εἴποι διὰ τί οὐκ ὀξύνεται, λέγομεν τὴν αἰτίαν ταύτην. αἱ συγκοπτόμεναι γενικαὶ ὀξυνόμεναι μιμοῦνται εὐθείας, οἷον ἡ ἀνδρός γενικὴ μιμεῖται τὴν χονδρός εὐθεῖαν, καὶ πάλιν ἡ μητρός καὶ πατρός καὶ θυγατρός

γενικαὶ μιμοῦνται τὴν ἰατρὸς εὐθεῖαν. ἐπειδὴ οὖν ἡ Θῶνος γενικὴ εἰ ὠξύνετο οὐκ ἤμελλε μιμεῖσθαι εὐθεῖαν (οὐκ ἔχομεν γὰρ εὐθεῖαν εἰς νος καθαρὸν δισύλλαβον, τῷ ω παραληγομένην καὶ ὀξυνομένην, βαρυνομένην δὲ ἔχομεν, ὡς ἐπὶ τοῦ κῶνος· σημαίνει δὲ τὸ στροβιλοειδὲς ἤγουν τὸ εἰς ὀξὺ λῆγον· ὦνος, σημαίνει δὲ δὲ τὴν τιμήν), τούτου χάριν οὐκ ὠξύνθη ἀλλ' ἐβαρύνθη. πρόςκειται „δισύλλαβον," ἐπειδὴ ὑπὲρ δύο συλλαβὰς ἔχομεν εὐθεῖαν ὀξυνομένην, οἷον κοινωνός, οἰωνός, Τιθωνός. Ταῦτα μὲν ἐν τούτοις.

Πρόςκειται δὲ ἀνωτέρω „ἢ πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου," ἐπειδὴ τὸ τίνος βαρύνεται πρὸς ἀντιδιαστολὴν τοῦ τινὸς ὀξυνομένου· τὸ γὰρ πευστικὸν ἤγουν τὸ ἐρωτηματικὸν βαρύνεται, οἷον τίνος ἐστὶν υἱός; τὸ δὲ ἀνταποδοτικὸν ἤγουν ἀόριστον ὀξύνεται, οἷον τινός. οὕτω γὰρ λέγομεν αὐτὸ ἀντεπιφέροντες. Καὶ πάλιν ἐστὶν

Εὐρύκλεια Ὦπος θυγάτηρ Πεισηνορίδαο,

καὶ βαρύνεται ἐνταῦθα ἡ γενική, λέγω δὲ ἡ Ὦπος, ἐπὶ τοῦ κυρίου ὀνόματος πρὸς ἀντιδιαστολὴν τοῦ ὠπὸς προσηγορικοῦ τοῦ ἐπὶ τοῦ ὀφθαλμοῦ.

Πρόςκειται δὲ „ἢ χαρακτῆρι ἀκολουθήσει," ἐπειδὴ ἔστι Φθὰς Φθάντος ὄνομα κύριον, καὶ βαρύνεται πρὸς τὸν χαρακτῆρα τῶν μετοχῶν, ὥςπερ στάντος, βάντος, φθάντος (σημαίνει δὲ τὸν προλαβόντα). καὶ πάλιν ἔστι Θῶν ὄνομα κύριον περισπώμενον, καὶ τούτου ἡ γενικὴ λέγεται Θῶντος προπερισπωμένως πρὸς τὸν χαρακτῆρα τῶν εἰς ων περισπωμένων ὀνομάτων· τὰ γὰρ εἰς ων περισπώμενα ὀνόματα προπερισπῶνται κατὰ τὴν γενικήν, οἷον Ξενοφῶν Ξενοφῶντος, Κτησιφῶν Κτησιφῶντος, Ἀγλαοφῶν Ἀγλαοφῶντος, Δημοφῶν Δημοφῶντος. οὕτως οὖν καὶ Θῶν Θῶντος προπερισπωμένως. ἢ πρὸς τὸν χαρακτῆρα τῆς κλῶν κλῶντος μετοχῆς καὶ ζῶν ζῶντος καὶ σμῶν σμῶντος καὶ δρῶν δρῶντος λέγομεν Θῶν Θῶντος προπερισπωμένως. ταῦτα μὲν ἐν τούτοις.

Πρόςκειται ἀνωτέρω ἐν τῷ κανόνι „ἐπ' ὀνομάτων," οἷον „αἱ εἰς ος δισύλλαβοι γενικαὶ ἐπ' ὀνομάτων ὀξύνεσθαι θέλουσι," διὰ τὰς μετοχάς· αὗται γὰρ βαρύνονται, οἷον στάντος, βάντος.

Τούτων οὕτως ἐχόντων δεῖ γινώσκειν ὅτι πᾶσα εὐθεῖα εἰς σ λήγουσα καὶ ἀποβολῇ τοῦ σ τὴν γενικὴν ἀποτελοῦσα τὸν αὐτὸν τόνον τηρεῖ καὶ ἐπὶ τῆς γενικῆς, οἷον Φιλητᾶς Φιλητᾶ, Μηνᾶς Μηνᾶ, Μητρᾶς Μητρᾶ, χρυσοῦς χρυσοῦ, ἀργυροῦς ἀργυροῦ, πλα-

κοῦς πλακοῦ, λαγῶς λαγῶ, ὀρφῶς ὀρφῶ, λεώς λεώ, νεώς νεώ, εὔνους εὔνου, ἀκλίνους ἀκλίνου, Μενέλεως Μενέλεω, Πηνέλεως Πηνέλεω.

Τὰ ἐκτείνοντα τὸ ο εἰς τὸ ω κατὰ τὴν γενικὴν Ἀττικῶς τὸν αὐτὸν τόνον φυλάττουσιν ὅν τινα εἶχον καὶ πρὸ τῆς ἐκτάσεως τοῦ ο εἰς τὸ ω, οἷον πόλιος πόλεως, μάντιος μάντεως, ὄφιος ὄφεως, λέξιος λέξεως, βασιλέος βασιλέως, Ἀχιλλέος Ἀχιλλέως, Ἀτρέος Ἀτρέως, Πηλέος Πηλέως, ἱερέος ἱερέως.

Αἱ συνῃρημέναι γενικαί, εἰ μὲν προπαροξύνονται ἐν τῇ ἐντελείᾳ, παροξύνονται ἐν τῇ συναιρέσει, οἷον Δημοσθένεος Δημοσθένους, Διομήδεος Διομήδους, Σωκράτεος Σωκράτους, ἐρέβεος ἐρέβους, θάρσεος θάρσους, τείχεος τείχους, βέλεος βέλους, κρέαος κρέως, γήραος γήρως· εἰ δὲ παροξύνονται ἐν τῇ ἐντελείᾳ, περισπῶνται ἐν τῇ συναιρέσει, οἷον εὐσεβέος εὐσεβοῦς, εὐγενέος εὐγενοῦς, Λητόος Λητοῦς, Σαπφόος Σαπφοῦς, Ἐρετριέως Ἐρετριῶς, Πειραιέως Πειραιῶς, Στειριέως Στειριῶς.

Αἱ διὰ τοῦ οιο Θετταλικαὶ γενικαί, εἰ μὲν ἀπὸ περισπωμένων κοινῶν γενικῶν ὦσι, προπερισπῶνται, οἷον καλοῦ καλοῖο, σοφοῦ σοφοῖο, σεμνοῦ σεμνοῖο, ποταμοῦ ποταμοῖο, ὠκεανοῦ ὠκεανοῖο, εἰ δὲ ἀπὸ βαρυνομένων, προπαροξύνονται, οἷον φίλου φίλοιο, κούφου κούφοιο, Πριάμου Πριάμοιο.

Τὰ ἀπὸ Ἀττικῶν γενικῶν κατὰ πλεονασμὸν τοῦ ο γινόμενα, εἰ μὲν ἀπὸ ὀξυτόνων γενικῶν Ἀττικῶν ὦσι, προπερισπῶνται, οἷον Πετεώ Πετεῶο,

υἱὸς Πετεῶο Μενεσθεύς,

ὦ υἱὲ Πετεῶο Διοτρεφέος βασιλῆος,

Τυλαώ Τυλαῶο, ὡς παρὰ Ἀντιμάχῳ· εἰ δὲ ἀπὸ βαρυτόνων γενικῶν Ἀττικῶν ὦσι, προπαροξύνονται, οἷον τοῦ Μίνω τοῦ Μίνωο, τοῦ Ἀνδρόγεω τοῦ Ἀνδρογέωο. τοῦ δὲ ο προσελθόντος κατεβιβάσθη μίαν συλλαβὴν ὁ τόνος διὰ τὸ μὴ δύνασθαι τετάρτην ἀπὸ τέλους εἶναι τὴν ὀξεῖαν.

Αἱ διὰ τοῦ εω γενικαὶ Ἰωνικαί, εἰ μὲν ἀπὸ βαρυτόνων κοινῶν γενικῶν ὦσι, προπαροξύνονται, οἷον Ἀτρείδου Ἀτρείδεω, Ὀρέστου Ὀρέστεω, Αἰνείου Αἰνείεω, ἀπαθεῖς δηλονότι οὖσαι. ἐὰν γὰρ πάθωσι, πρὸ μιᾶς τοῦ τέλους ἔχουσι τὴν εὐθεῖαν, οἷον Ἑρμείου Ἑρμειέω καὶ κατὰ συγκοπὴν τοῦ ε Ἑρμείω παροξυτόνως,

Ἥσης Ἑρμείω τε.

εἰ δὲ ἀπὸ περισπωμένων κοινῶν γενικῶν ὦσι, παροξύνονται, οἷον αὐλητοῦ αὐλητέω, Κασῆς Κασοῦ (ἔστι δὲ ὄνομα κύριον) τοῦ Κασέω. αἱ διὰ τοῦ ᾱο̄ Βοιωτικαὶ γενικαί, εἰ μὲν ἀπὸ βαρυτόνων κοινῶν γενικῶν ὦσι, προπαροξύνονται, οἷον Ἀτρείδου Ἀτρείδαο, Ὀρέστου Ὀρέσταο, εἰ δὲ ἀπὸ περισπωμένων κοινῶν γενικῶν ὦσι, προπερισπῶνται, οἷον ἀργεστής ἀργεστοῦ ἀργεστᾶο, ἀργεστᾶο νότοιο (τοῦ λευκοῦ ἢ τοῦ ταχυτάτου).

Τοσαῦτα ἔχομεν εἰπεῖν περὶ τοῦ τόνου τῆς γενικῆς.

ΠΕΡΙ ΤΟΥ ΤΟΝΟΥ ΤΗΣ ΔΟΤΙΚΗΣ ΤΩΝ ΕΝΙΚΩΝ.

Κανονίζει τὸν τόνον τῆς δοτικῆς, καὶ λέγει ὅτι πᾶσα δοτικὴ ἑνικῶν ἰσοσυλλαβοῦσα τῇ γενικῇ καὶ τὸν τόνον αὐτῆς ἔχει, οἷον καλοῦ καλῷ, σοφοῦ σοφῷ, Ὁμήρου Ὁμήρῳ, ἀνθρώπου ἀνθρώπῳ, φωτός φωτί, μητρός μητρί, γυναικός γυναικί, πατρός πατρί, θυγατρός θυγατρί, τινός τινί, κῆρος κῆρι, ἦρος ἦρι, λᾶος λᾶϊ, εὐσεβέος εὐσεβέϊ, ταχέος ταχέϊ, Ξενοφῶντος Ξενοφῶντι, ἀβλῆτος ἀβλῆτι, ἴᾶς ἰᾷ, μιᾶς μιᾷ, βελτίονος βελτίονι, χερείονος χερείονι (ἥτις δοτικὴ παθοῦσα συγκοπὴν τοῦ ο̄ καὶ ν̄ ἀνεδέξατο τροπὴν τῆς ει̅ διφθόγγου εἰς τὸ η̄ καὶ γέγονε χέρηϊ,

κρείσσων γὰρ βασιλεύς, ὅτε χώσεται ἀνδρὶ χέρηϊ),

Αἴαντος Αἴαντι, ἀσπίδος ἀσπίδι, κνημῖδος κνημῖδι. διὰ τοῦτο τὸ ὅτεω ἀναγνωστέον προπαροξυτόνως, οἷον ὡς τὸ

ὅτεῴ σε πατὴρ κέλεται

ἀντὶ τοῦ ᾧ τινί, ἐπειδὴ ἰσοσυλλαβεῖ τῇ γενικῇ τῇ ὅτεως, ὅτεως ἐχρῆν ἀντὶ τοῦ τίνος, καὶ λοιπὸν ἀναγκάζεται ὁμοτονεῖν αὐτῇ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι αἱ πρωτότυποι ἀντωνυμίαι ἀνακόλουθοί εἰσι, καὶ ποτὲ μὲν ἐπὶ τούτων αἱ δοτικαὶ οὐκ ἀκολουθοῦσι ταῖς γενικαῖς κατὰ τὸν τόνον, ὡς ἐπὶ τοῦ πρώτου καὶ δευτέρου προσώπου (ἐμοῦ μὲν γὰρ καὶ σοῦ περισπωμένως, ἐμοί δὲ καὶ σοί ὀξυτόνως), ποτὲ δὲ ἀκολουθοῦσιν, ὡς ἐπὶ τοῦ τρίτου προσώπου· οὗ γὰρ περισπωμένως καὶ οἷ ὁμοίως περισπωμένως.

Πρόσκειται ἐν τῷ κανόνι „ἰσοσυλλαβοῦσα τῇ γενικῇ" διὰ τὸ ταχέος ταχεῖ. ἡ μὲν γὰρ γενικὴ ἐνταῦθα παροξύνεται, ἡ δὲ δοτικὴ περισπᾶται. ἀλλ' οὐκ ἰσοσυλλαβεῖ ἡ δοτικὴ τῇ γενικῇ· συναίρεσιν γὰρ ὑπομείνασα ἐνδεῖ μίαν συλλαβήν. ἐὰν δὲ λάβωμεν τὴν ἐντέλειαν αὐτῆς, ἡ ἀκόλουθος τάσις φυλάττεται, οἷον ταχέος

ταχέϊ ταχεῖ, εὐσεβέος εὐσεβέϊ εὐσεβεῖ, εὐγενέος εὐγενέϊ εὐγενεῖ. ἰδοὺ πρὸ μὲν τῆς συναιρέσεως ὁ αὐτὸς τόνος φυλάττεται, ἐπειδὴ καὶ ἡ ποσότης τῶν συλλαβῶν ἐφυλάχθη, μετὰ δὲ τὴν συναίρεσιν οὐ φυλάττεται ὁ αὐτὸς τόνος, ἐπειδὴ τότε οὐκ ἰσοσυλλαβεῖ ἡ δοτικὴ τῇ γενικῇ.

Ἰστέον δὲ ὅτι κάλλιόν ἐστι παραθέσθαι ταῦτα τὰ παραδείγματα ἃ ἡμεῖς παρεθέμεθα, ἤπερ ἃ παρέθετο ὁ τεχνικός· αὐτὸς γὰρ παρέθετο τὸ μάντει καὶ πόλει, ὅτι ἀπὸ τοῦ μάντεως καὶ πόλεως γεγόνασι μάντεϊ καὶ πόλεϊ καὶ κατὰ συναίρεσιν μάντει καὶ πόλει καὶ οὐκ ἰσοσυλλαβοῦσι τῇ γενικῇ. ἐρεῖ δέ τις πρὸς αὐτὸν ὅτι, εἰ καὶ μὴ ἰσοσυλλαβοῦσιν, ἀλλ' οὖν τὸν αὐτὸν τόνον ἐφύλαξαν ἐν τῇ αὐτῇ συλλαβῇ ἐν ᾗ ἐστὶν ἐν τῇ γενικῇ ἡ ὀξεῖα τάσις καὶ ἐν τῇ δοτικῇ, οἷον μάντεος μάντει, πόλεος πόλει. διὰ τοῦτο οὖν εἰρήκαμεν βελτίονα εἶναι τὰ παραδείγματα ἃ ἡμεῖς παρεθέμεθα· ἐκεῖνα γὰρ μὴ ἰσοσυλλαβήσαντα τῇ γενικῇ οὐκ ἐφύλαξαν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον· τὸ γὰρ ταχέος καὶ εὐσεβέος παροξύνονται, τὸ δὲ ταχεῖ καὶ εὐσεβεῖ περισπῶνται. κάλλιον οὖν, ὡς εἴρηται, παραθέσθαι ταῦτα τὰ παραδείγματα ἤπερ τὸ μάντει καὶ πόλει· ταῦτα γὰρ ἐν τῇ αὐτῇ συλλαβῇ ἐφύλαξαν τὴν ὀξεῖαν τάσιν καὶ ἐν τῇ γενικῇ καὶ ἐν τῇ δοτικῇ καὶ πρὸ τῆς συναιρέσεως καὶ μετὰ τὴν συναίρεσιν, οἷον μάντεος μάντεϊ μάντει, πόλεος πόλεϊ πόλει. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ παραφυλάξασθαι ἐν τῷ κανόνι, τῷ λέγοντι ὅτι πᾶσα δοτικὴ ἑνικῶν ἰσοσυλλαβοῦσα τῇ γενικῇ καὶ τὸν τόνον αὐτῆς ἔχει, τὸ

οἱ μὲν πάντες ἰῷ ἐν ἤματι Ἄϊδος εἴσω·

καὶ γὰρ τὸ ἰῷ περισπᾶται δοτικῆς ὑπαρχούσης τῆς γενικῆς βαρυτονουμένης· ἴον γάρ ἐστιν ἡ εὐθεῖα ἀντὶ τοῦ μόνον, καὶ ἡ γενικὴ ἴου παροξυτόνως, ἡ δὲ δοτικὴ ἰῷ περισπωμένως. σημαίνει δὲ τὸ ἰῷ ἤματι ἀντὶ τοῦ ἐν μιᾷ ἡμέρᾳ.

Τούτων οὕτως ἐχόντων προστίθησιν ὁ τεχνικὸς ὅτι τῆς Τυνδάρεος εὐθείας τῆς διὰ τοῦ ε̄ καὶ ο̄ ἡ γενικὴ Τυνδαρέου ἐστὶ παροξυτόνως, διὰ τὴν μακρὰν τοῦ τόνου καταβιβασθέντος· ἀλλὰ καὶ ἡ δοτικὴ ὁμοίως τῇ γενικῇ Τυνδαρέῳ ἐστὶ παροξυτόνως, καὶ πρὸ μιᾶς ἔχει τὸν τόνον. ὅταν δὲ γένηται Ἀττικῶς ἡ εὐθεῖα διὰ τοῦ ε̄ καὶ ω̄, Τυνδάρεως ὡς Μενέλεως, τότε προπαροξύνεται ἡ γενική, καὶ ἡ δοτικὴ ὁμοίως, οἷον τοῦ Τυνδάρεω τῷ Τυνδάρεῳ, ὥσπερ τοῦ Μενέλεω τῷ Μενέλεῳ. Ταῦτα μὲν ἐν τούτοις.

Φησὶ δὲ ὁ τεχνικὸς ὅτι αἱ μεταπεπλασμέναι δοτικαὶ εἰς ῑ λή-

γουσαι προπαροξύνεσθαι θέλουσι (δηλονότι ὑπὲρ δύο συλλαβὰς οὖσαι· τοῦτο γάρ ἐστι τὸ εἰρημένον αὐτῷ „εἰ μὴ δισυλλαβία κωλύσῃ"), οἷον ὁ πολυπάταγος τοῦ πολυπατάγου τῷ πολυπατάγῳ παροξυτόνως· καὶ γίνεται κατὰ μεταπλασμὸν τῷ πολυπάταγι προπαροξυτόνως. καὶ πάλιν ἔστιν ἡ διχόμηνος τῆς διχομήνου τῇ διχομήνῳ παροξυτόνως, καὶ γίνεται κατὰ μεταπλασμὸν διχόμηνι καὶ προπαροξύνεται. αὕτη δὲ ἡ δοτικὴ δύναται καὶ ἀπὸ τῆς διχόμηνις προπαροξυτονουμένης, διὰ τοῦ δος κλινομένης, εἶναι εὐθείας· ἔστι γὰρ διχόμηνις διχομήνιδος διχομήνιδι, καὶ κατὰ συγκοπὴν τοῦ δ̄ καὶ τοῦ ῑ διχόμηνι, καὶ εὐλόγως προπαροξύνεται τῷ λόγῳ τῆς συγκοπῆς· αἱ γὰρ συγκοπαὶ ἀναβιβάζουσι τοὺς τόνους, οἷον ὀπίσωθεν ὄπισθεν, ἐξαίρετος ἔξαιτος, ἁρμόσαντες ἄρσαντες, ὁμόπατρος ὅπατρος· τὸ γὰρ πατέρος πατρός καὶ μητέρος μητρός καὶ ἀνέρος ἀνδρός συγκοπέντα καὶ μὴ ἀναβιβάσαντα τὸν τόνον οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ πρὸς τὸν χαρακτῆρα τῶν εἰς ος δισυλλάβων γενικῶν ὀνομάτων ὀξύνονται, οἷον ὥσπερ φωτός, χηνός, γραός, παιδός. καὶ πάλιν ἔστι τὸ μελίκρατον καὶ τὸ χαλκόκρατον, τοῦ μελικράτου καὶ τοῦ χαλκοκράτου, τῷ μελικράτῳ καὶ τῷ χαλκοκράτῳ· καὶ γίνεται κατὰ μεταπλασμὸν τῷ μελίκρατι καὶ τῷ χαλκόκρατι, καὶ προπαροξύνονται· ἐὰν δὲ εὑρεθῶσι προπερισπωμένως αἱ δοτικαὶ αὗται, τῷ μελικρᾶτι καὶ τῷ χαλκοκρᾶτι, γνῶθι ὅτι ἀπὸ τοῦ ὁ μελικράς καὶ ὁ χαλκοκράς γίνονται, καὶ οὐ κατὰ μεταπλασμὸν γεγόνασιν ἀλλὰ κατὰ ἀκόλουθον κλίσιν, οἷον μελικράς μελικρᾶτος μελικρᾶτι, χαλκοκράς χαλκοκρᾶτος χαλκοκρᾶτι.

Πρόσκειται ἐν τῷ κανόνι „ὑπὲρ δύο συλλαβὰς οὖσα" ἤγουν εἰ μὴ δισυλλαβία κωλύσῃ, ἐπειδὴ ἔστιν ὁ κλάδος τοῦ κλάδου τῷ κλάδῳ, καὶ κατὰ μεταπλασμὸν τῷ κλαδί, καὶ ὀξύνεται διὰ τὴν δισυλλαβίαν. καὶ πάλιν τὸ λιτὸν τοῦ λιτοῦ τῷ λιτῷ, καὶ κατὰ μεταπλασμὸν τῷ λιτί, οἷον

ἐν λεχέεσσι δὲ θέντες ἑανῷ λιτὶ κάλυψαν,

καὶ ὀξύνεται διὰ τὴν δισυλλαβίαν. αἱ γὰρ εἰς ῑ ἐκφωνούμενον λήγουσαι δισύλλαβοι δοτικαὶ ἐπ' ὀνομάτων ὀξύνεσθαι θέλουσιν, οἷον μητρί, παιδί, χηνί, μηνί, πατρί, Τρωΐ, σπληνί, φρενί, χθονί, συΐ, δρυΐ. δεῖ προσθεῖναι „χωρὶς εἰ μὴ ἀπὸ συναιρέσεως εὑρεθῇ ἡ δοτική, ἢ πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου, ἢ χαρακτῆρι ἀκολουθήσει." πρόσκειται „χωρὶς εἰ μὴ ἀπὸ συναιρέσεως εὑρεθῇ ἡ δοτική" διὰ τὸ κέαρι κῆρι, ἔαρι ἦρι, λάαϊ λᾶϊ, Θέτιι Θέτι,

πάντα Θέτι καλλικλοκάμῳ,

μάστιι μάστι,

> μάστι δὲ ἐνέλαυνε,

μήτιι μήτι,

> μήτι τε ἡνίοχος περιγίνεται ἡνιόχοιο·

ἰδοὺ γὰρ αἱ δοτικαὶ αὗται δισύλλαβοι οὖσαι οὐκ ὀξύνονται, ἀλλ᾽ οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ ἀπὸ συναιρέσεώς εἰσι καὶ τούτου χάριν δισυλλαβοῦσιν, ἐπειδὴ δυνάμει ὑπὲρ δύο συλλαβάς εἰσι. καὶ ἡ σπῆϊ δὲ δοτική, οἷον

> εὗρε δ᾽ ἐν σπῆϊ,

προπερισπωμένη καὶ μὴ ὀξυνομένη οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ καὶ αὕτη ὑπὲρ δύο συλλαβάς ἐστι δυνάμει, ἀλλ᾽ ἡ συναίρεσις αἰτία γέγονε τῆς δισυλλαβίας· ἔστι γὰρ σπέος σπέεος σπέεϊ, καὶ κατὰ κρᾶσιν τῶν δύο εε εἰς η σπῆϊ, ὥςπερ Ἡρακλέεος Ἡρακλῆος,

> τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο.

Πρόςκειται „ἢ πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου," ἐπειδὴ τὸ τίνι βαρύνεται πρὸς ἀντιδιαστολὴν τοῦ τινί ὀξυνομένου· τὸ μὲν γὰρ πευστικὸν βαρύνεται, οἷον τίνι δέδωκας; τὸ δὲ ἀνταποδοτικὸν ἤγουν ἀόριστον ὀξύνεται, οἷον τινί· οὕτω γὰρ λέγομεν ἀντεπιφέροντες. Πρόςκειται „ἢ χαρακτῆρι ἀκολουθήσει," ἐπειδὴ ἔστι Φθάντι κύριον καὶ βαρύνεται πρὸς τὸν χαρακτῆρα τῶν μετοχῶν, ὥςπερ φθάντι, βάντι, θέντι, δόντι. Πρόςκειται „ἐπ᾽ ὀνομάτων," οἷον „αἱ εἰς ι ἐκφωνούμενον λήγουσαι δισύλλαβοι δοτικαὶ ἐπ᾽ ὀνομάτων ὀξύνεσθαι θέλουσιν," διὰ τὰς μετοχάς· αὗται γὰρ βαρύνονται, οἷον βάντι, στάντι, θέντι, δόντι, φθάντι. „Δισύλλαβοι" πρόςκειται διὰ τὸ Αἴαντι, Θόαντι, Λάχητι, λέβητι, πένητι, Πάριδι, ὄφεϊ, πόλεϊ, ἥρωϊ, Μίνωϊ, γέλωτι, ἔρωτι, Κτησιφῶντι, Ξενοφῶντι, Σιδῶνι, ἀσπίδι, ῥανίδι, βολίδι, κνημῖδι, κρηπῖδι. αἱ γὰρ ὑπὲρ δύο συλλαβὰς εἰς ι ἐκφωνούμενον λήγουσαι δοτικαὶ ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, οἷον Αἴαντι, Θόαντι, Λάχητι, λέβητι, ὑπεσταλμένης τῆς γυναικί καὶ θυγατρί δοτικῆς· καὶ αὗται γὰρ παραλόγως ὀξύνονται, ὥςπερ καὶ ἡ γυναικός καὶ θυγατρός γενικὴ παραλόγως ὀξύνεται, ὡς ἐν τῇ περὶ γενικῆς ἀπεδείξαμεν. Πρόςκειται „εἰς ι ἐκφωνούμενον" διὰ τὸ τῇ σοφῇ, τῇ καλῇ· αὗται αἱ δοτικαὶ εἰς ι λήγουσαι περισπῶνται, ἀλλ᾽ οὐκ ἔχουσιν ἐκφωνούμενον τὸ ι. Ταῦτα μὲν ἐν τούτοις.

Δεῖ προσθεῖναι ἐν τῷ κανόνι τῶν μεταπεπλασμένων δοτικῶν, τῷ λέγοντι ὅτι αἱ μεταπεπλασμέναι δοτικαὶ αἱ εἰς ι λήγουσαι

προπαροξύνεσθαι θέλουσι, δηλονότι ὑπὲρ δύο συλλαβὰς οὖσαι, „χωρὶς τῶν ἀπὸ τῶν εἰς ν̄ θηλυκῶν φύσει μακρᾷ παραληγομένων.” ἔστι γὰρ ἡ ὑσμίνη τῆς ὑσμίνης τῇ ὑσμίνῃ καὶ ἡ Δωδώνη τῆς Δωδώνης τῇ Δωδώνῃ, καὶ ἐπειδὴ εἰς ν̄ ἐστὶν ἡ εὐθεῖα τούτων καὶ φύσει μακρᾷ παραλήγεται, τούτου χάριν, γινόμεναι κατὰ μεταπλασμὸν ἐν τῇ δοτικῇ εἰς ν̄ι, προπερισπῶνται καὶ οὐ παροξύνονται, ὡς παρὰ τῷ ποιητῇ

μέμασαν δὲ καὶ ὣς ὑσμῖνι μάχεσθαι

καὶ παρὰ Καλλιμάχῳ

μή με τὸν ἐν Δωδῶνι λέγοι μόνον οὕνεκα χαλκόν.

Ἰστέον δὲ ὅτι μεταπλασμός ἐστιν ὅταν τραπῇ ἡ τελευταία συλλαβὴ τῆς λέξεως εἰς ἄλλην συλλαβήν, ὡς ἐπὶ τῶν προλεχθέντων παραδειγμάτων.

Τοσαῦτα ἔχομεν εἰπεῖν περὶ τόνου τῆς δοτικῆς τῶν ἑνικῶν.

ΠΕΡΙ ΤΟΥ ΤΟΝΟΥ ΤΗΣ ΑΙΤΙΑΤΙΚΗΣ ΤΩΝ ΕΝΙΚΩΝ.

Ἰστέον δὲ ὅτι περὶ τοῦ τόνου τῆς αἰτιατικῆς διαλαμβάνει, καὶ λέγει ὅτι πᾶσα αἰτιατικὴ ἑνικῶν ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ᾽ ἧς καὶ ἡ γενική, πλὴν τῶν εἰς ᾱ δισυλλάβων. ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, ἀβλῆτος ἀβλῆτα· τὰ δύο προπερισπῶνται. ἱδρῶτος ἱδρῶτα, ὁμοίως. λιμένος λιμένα, ἀσπίδος ἀσπίδα· τὰ δύο παροξύνονται. Δημήτερος Δημήτερα· τὰ δύο προπαροξύνονται. Διομήδεος Διομήδεα, ὁμοίως. καλοῦ καλόν, σοφοῦ σοφόν· ταῦτα μὲν ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἐφύλαξαν τὸν τόνον, οὐ τὸν αὐτὸν δέ· τὸ μὲν γὰρ καλοῦ καὶ σοφοῦ περισπᾶται, τὸ δὲ καλόν καὶ σοφόν ὀξύνεται, ἐπειδὴ βραχυκαταληκτοῦσι, περισπωμένη δὲ ἐπάνω βραχείας οὐ τίθεται ἀλλ᾽ ἐπάνω μακρᾶς φύσει, οἷον Ἑρμῆς, Ἡρακλῆς, βοῦν, νοῦν. ἐπὶ μέντοι τοῦ Ὁμήρου Ὅμηρον καὶ ἀνθρώπου ἄνθρωπον ἐμάθομεν ὅτι ἡ μακρὰ κατεβίβασεν ἐξ ἀνάγκης τὸν τόνον ἐν τῇ γενικῇ, ἐπειδὴ καὶ αὐτὴ ὤφειλε προπαροξύνεσθαι ὁμοίως τῇ εὐθείᾳ, ὡς ἐν τῇ περὶ γενικῆς μεμαθήκαμεν. ἡ δὲ αἰτιατικὴ μὴ ἔχουσα μακρὰν τὴν τελευταίαν συλλαβὴν ἠκολούθησε τῷ τόνῳ τῆς εὐθείας καὶ προπαροξύνθη, οἷον Ὅμηρος Ὅμηρον, ἄνθρωπος ἄνθρωπον. ἡ Ἀδώνιδα αἰτιατικὴ τῇ Ἀδώνιδος γενικῇ συντονοῦται· ὅταν δὲ φύγῃ τὴν τετρασυλλαβίαν, τότε τῇ ἰδίᾳ εὐθείᾳ συντονοῦται, οἷον Ἄδωνις Ἄδωνιν, ἐπειδὴ τότε ἐξ αὐτῆς κανονίζεται. τὸ ἕαν καὶ μίαν ὁμοίως

ταῖς

ταῖς ἰδίαις εὐθείαις βαρύνεται, φημὶ δὲ τῇ ἴα καὶ μία· ἐμάθομεν γὰρ ὅτι αἱ γενικαὶ Ἰωνικῷ ἔθει κατεβίβασαν τὸν τόνον, οἷον τὸ ἰᾶς καὶ μιᾶς, ἐπεὶ καὶ αὗται ὁμοίως ταῖς ἰδίαις εὐθείαις ὤφειλον βαρύνεσθαι.

Τούτων οὕτως ἐχόντων σεσημείωται τὸ γυναικός γυναῖκα καὶ θυγατρός θύγατρα, ὅτι ἡ μὲν γενικὴ τούτων ὀξύνεται, ἡ δὲ αἰτιατικὴ βαρύνεται· οὐ δύναται γὰρ ἡ αἰτιατικὴ ἐνταῦθα φυλάξαι τὴν ὀξεῖαν τάσιν τῆς γενικῆς, ἐπειδὴ πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς ᾱ λήγουσα ἀποστρέφεται τὴν ὀξεῖαν τάσιν, οἷον Αἴαντα, Θόαντα, πένητα, μῆνα, χῆνα, παῖδα, Κτησιφῶντα, Ξενοφῶντα, Ποσειδῶνα, ἀσπίδα, ῥανίδα, κρηπῖδα. ὅθεν τὸ νιφάδα γινόμενον κατὰ συγκοπὴν νίφα ἀνεβίβασε τὸν τόνον, οἷον

ἀλευόμενοι νίφα λευκήν,

ὡς μὴ δυνάμενον ὀξύνεσθαι διὰ τὸν κανόνα τὸν προλεχθέντα. καὶ πάλιν ἡ φυγήν αἰτιατικὴ γινομένη κατὰ μεταπλασμὸν φύγα ἐβαρύνθη, ὡς παρὰ τῷ ποιητῇ

φύγαδ᾽ ἔτραπε μώνυχας ἵππους

ἀντὶ τοῦ εἰς φυγήν, ὡς μὴ δυνάμενον ὀξυνθῆναι διὰ τὸν προλεχθέντα κανόνα. τὸ τίνα καὶ τινά πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὸν τόνον· τὸ μὲν γὰρ πευστικὸν βαρύνεται, οἷον τίνα ἔτυψας; τὸ δὲ ἀνταποδοτικὸν ἤγουν ἀόριστον ὀξύνεται, οἷον τινά. τὸ Ἐρετριᾶ καὶ Πειραιᾶ καὶ Στειριᾶ οὐκ ὀξύνονται ἀλλὰ περισπῶνται· ἀπὸ γὰρ τοῦ Ἐρετριέα καὶ Πειραιέα καὶ Στειριέα γεγόνασι κατὰ κρᾶσιν τοῦ ε καὶ ᾰ εἰς ᾱ μακρόν· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, Ἡρακλέης Ἡρακλῆς, εὐσεβέος εὐσεβοῦς. τούτου χάριν τῆς γυναικός καὶ θυγατρός γενικῆς ὀξυνομένης ἡ γυναῖκα καὶ θύγατρα αἰτιατικὴ οὐκ ὀξύνεται ἀλλὰ βαρύνεται. Καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ τί ἡ μὲν θύγατρα αἰτιατικὴ προπαροξύνεται, οἷον

λυσόμενός τε θύγατρα,

ἡ δὲ γυναῖκα αἰτιατικὴ προπερισπᾶται, ὡς τὸ

γυναῖκά τε θήσατο μαζόν.

καὶ περὶ μὲν τῆς θύγατρα αἰτιατικῆς ἔστιν εἰπεῖν ὅτι διὰ τοῦτο προπαροξύνεται, ἐπειδὴ ἀπὸ τοῦ θυγατέρα γέγονε κατὰ συγκοπὴν θύγατρα, ὡς παρὰ τοῦ Δημήτερα Δήμητρα, αἱ δὲ συγκοπαὶ ἀναβιβάζουσι τοὺς τόνους, οἷον ὀπίσωθεν ὄπισθεν, ἐξαίρετος ἔξαιτος.

ὁμόπατρος ὅπατρος, ἁρμόσαντες ἄρσαντες,

ἄρσαντες κατὰ θυμόν, ὅπως ἀντάξιον ἔσται.

τὸ γὰρ πατέρος πατρός καὶ μητέρος μητρός καὶ ἀνέρος ἀνδρός συγκοπέντα καὶ μὴ ἀναβιβάσαντα τὸν τόνον οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ πρὸς τὸν χαρακτῆρα τῶν εἰς ο̅ς̅ δισυλλάβων γενικῶν ἠκολούθησαν, καὶ ὀξύνονται ὥσπερ φωτός, χηνός, γραός, παιδός, μηνός, Τρωός, φρενός, χθονός. ἄλλως τε δὲ διὰ τοῦτο προπαροξύνεται ἡ θύγατρα αἰτιατική, ἐπειδὴ πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς α̅ λήγουσα, ἔχουσα παροξυνομένην τὴν εὐθεῖαν, προπαροξύνεται, οἷον Αἴας Αἴαντα, λέβης λέβητα, πένης πένητα, Πέλοψ Πέλοπα, χαρίεις χαρίεντα, Ἕκτωρ Ἕκτορα, Δημήτηρ Δημήτερα, εἰνάτηρ εἰνάτερα. εἰ ἄρα οὖν ἡ θυγάτηρ εὐθεῖα παροξύνεται, δῆλον ὅτι εὐλόγως ἡ θύγατρα αἰτιατικὴ προπαροξύνεται, εἰ καὶ ἡ ἀπαθὴς θυγατέρα αἰτιατικὴ παραλόγως παροξύνεται. ἔτι δὲ καὶ ἡ μητέρα· μήτηρ γὰρ ἡ εὐθεῖα παροξυτόνως καὶ θυγάτηρ, ὥς τε ἐν τῇ θυγατέρος γενικῇ καὶ μητέρος, ὡς ἐμάθομεν ἐν τῷ περὶ γενικῆς λόγῳ, παραλόγως παροξύνονται ταῦτα, ἡνίκα ἐλέγομεν ὅτι ἠκολούθησαν κατὰ τὸν τόνον τῆς γενικῆς ταῦτα τοῖς ἰδίοις συγγενικοῖς, φημὶ δὲ τῷ πατέρος, ἀνέρος, δαέρος (δαὴρ δέ ἐστιν ὁ ἀνδράδελφος).

Περὶ τῆς γυναῖκα αἰτιατικῆς ἔστιν εἰπεῖν ὅτι διὰ τοῦτο προπεριοπᾶται, ὅτι πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς α̅ λήγουσα, διφθόγγῳ παραληγομένη, προπερισπᾶται, οἷον γλαῦκα, καῦκα, προῖκα, αἶγα, παῖδα, δαῖτα· οὕτως οὖν καὶ γυναῖκα προπερισπωμένως, τῇ παραλήξει τῆς διφθόγγου ἀκολουθησάσης τῆς αἰτιατικῆς, εἰ καὶ ἐκεῖνα μὲν δισύλλαβά εἰσι, τοῦτο δὲ ὑπὲρ δύο συλλαβάς. ἀλλ' οὖν ὡς εἴρηται, διὰ τὸ ἔχειν ἐν τῇ παραληγούσῃ δίφθογγον προπερισπάσθη ὁμοίως ἐκείνοις. Ταῦτα μὲν ἐν τούτοις.

Πρόσκειται ἐν τῷ κανόνι τοῦ τεχνικοῦ „πλὴν τῶν εἰς α̅ δισυλλάβων," οἷον „πᾶσα αἰτιατικὴ ἑνικῶν ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ γενική, πλὴν τῶν εἰς α̅ δισυλλάβων," ἐπειδή, ὥς φησιν ὁ τεχνικός, αἱ εἰς α̅ λήγουσαι αἰτιατικαὶ δισύλλαβοι μόνως βαρύνονται. ἰδοὺ γὰρ ἔστι φωτός, μηνός, χηνός, παντός ὀξυτόνως, τὸ δὲ φῶτα, μῆνα, χῆνα, πάντα βαρύνονται· εἰρήκαμεν γὰρ ὅτι πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς α̅ λήγουσα ἀποστρέφεται τὴν ὀξεῖαν τάσιν. τὸ γὰρ τίνα καὶ τινά, ὡς εἴρηται, πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὸν τόνον. αἱ μέντοι

εἰς $\bar{ν}$ λήγουσαι αἰτιατικαὶ μονοσύλλαβοι, δηλονότι μακροκατάληκτοι, περισπῶνται, οἷον μῦν, σῦν, δρῦν, λῖν (σημαίνει δὲ τὸν λέοντα,

ἐπί τε λῖν ἤγαγε δαίμων),

γραῦν, ζῶν (ἀντὶ τοῦ ζῶντα), θεῦν,

τὴν θεῦν Ἄρτεμιν οἵ ἔπαθεν

ἀντὶ τοῦ τὴν θεόν. γέγονε κατὰ κρᾶσιν Δωρικὴν ἢ Ἰωνικὴν τοῦ $\bar{ε}$ καὶ $\bar{ο}$ εἰς τὴν $\overline{ευ}$ δίφθογγον, ὥσπερ Ἐρέβεος Ἐρέβευς, καὶ ὤφειλεν ὀξύνεσθαι, ἐπειδὴ ἡ βαρεῖα καὶ ἡ ὀξεῖα εἰς ὀξεῖαν συναιροῦνται, οἷον ζωός ζώς, ἑσταώς ἑστώς, Νηρηΐς Νηρής· ἀλλὰ τῷ κανόνι τῷ λεχθέντι περιεσπάσθη. πάλιν ἔστι κλεῖν περισπωμένως· τοῦτο δὲ ἀπὸ τοῦ κλεῖς κλειδός κλειδί κλεῖδα γέγονε κατὰ ἀποβολὴν τῆς $\overline{δα}$ συλλαβῆς. καὶ ὤφειλεν εἶναι χωρὶς τοῦ $\bar{ν}$· τῆς γὰρ $\overline{δα}$ συλλαβῆς ἀποκοπείσης κλεῖ εὑρίσκεται χωρὶς τοῦ $\bar{ν}$· ἀλλ' ἐπειδὴ πᾶσα αἰτιατικὴ ἑνικῶν μονοσύλλαβος ἀρσενικὴ ἢ θηλυκὴ αὐτὴ καθ' ἑαυτὴν οὖσα εἰς $\bar{ν}$ θέλει λήγειν, οἷον μῦν, σῦν, γῆν, δρῦν, ναῦν, γραῦν, ζῶν (ἀντι τοῦ ζῶντα), τούτου χάριν προςέλαβε τὸ $\bar{ν}$ καὶ ἐγένετο κλεῖν. Πρόςκειται „ἀρσενικὴ ἢ θηλυκή" διὰ τὸ τί· τοῦτο γὰρ οὐ λήγει εἰς $\bar{ν}$, λέγω δὲ τὸ τί, ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστιν οὔτε ἀρσενικὸν οὔτε θηλυκὸν ἀλλ' οὐδέτερον. Πρόςκειται „αὐτὴ καθ' ἑαυτὴν οὖσα" διὰ τὸ νὴ Δία· αὕτη γὰρ ἡ αἰτιατικὴ γίνεται κατ' ἀποκοπὴν νὴ Δί, καὶ ἰδοὺ ἐπὶ ἀρσενικῶν ὀνομάτων εὑρίσκεται αἰτιατικὴ μονοσύλλαβος μὴ λήγουσα εἰς $\bar{ν}$, λέγω δὲ τὸ νὴ Δί· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐχ εὑρίσκεται αὐτὴ καθ' ἑαυτὴν ἀλλ' ἐν συντάξει. Ταῦτα μὲν ἐν τούτοις.

Πρόςκειται ἀνωτέρω „δηλονότι μακροκατάληκτοι," οἷον „αἱ εἰς $\bar{ν}$ λήγουσαι αἰτιατικαὶ μονοσύλλαβοι, δηλονότι μακροκατάληκτοι, περισπῶνται," διὰ τὸ ἕν, οἷον ἓν βιβλίον· τοῦτο γὰρ ὀξύνεται, ἀλλ' οὐκ ἔστι μακροκατάληκτον ἀλλὰ βραχυκατάληκτον. περισπωμένη δὲ οὔτε ἐπάνω βραχείας οὔτε ἐπάνω θέσει μακρᾶς τίθεται, ἀλλ' ἐπάνω φύσει μακρᾶς, οἷον Ἑρμῆς, παῖς, βοῦς, νοῦς, Ἡρακλῆς. Καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ τί ἡ περισπωμένη οὔτε ἐπάνω βραχείας οὔτε ἐπάνω θέσει μακρᾶς τίθεται, ἀλλ' ἐπάνω φύσει μακρᾶς. καὶ ἔστιν εἰπεῖν τὴν ἀπολογίαν ταύτην. ἡ περισπωμένη διπλοῦς τόνος ἐστίν· ἀπὸ γὰρ ὀξείας καὶ βαρείας σύγκειται. εἰκότως οὖν ἐπάνω μακρᾶς τίθεται, ὡς δῆθεν τῆς μακρᾶς οὔσης διπλῆς κατὰ τὸν χρόνον· ἀπὸ γὰρ δύο χρόνων σύγκειται, ἡ δὲ βραχεῖα ἀπὸ ἑνὸς χρόνου. τούτου οὖν χάριν ἐπάνω βραχείας οὐ

τίθεται περισπωμένη. διὰ τοῦτο δὲ οὐδὲ ἐπάνω θέσει μακρᾶς ἀλλ' ἐπάνω φύσει μακρᾶς τίθεται, ἐπειδὴ φύσει ἐκ δύο τόνων σύγκειται, τουτέστιν ἀπὸ ὀξείας καὶ βαρείας, ἡ περισπωμένη. ἐπειδὴ οὖν, ὡς εἴρηται, ἐκ δύο τόνων φύσει σύγκειται ἡ περισπωμένη, εἰκότως καὶ ἐπάνω φύσει μακρᾶς ἤγουν δύο χρόνους ἐχούσης συλλαβῆς τίθεται. τούτου οὖν χάριν ἐπάνω φύσει μακρᾶς τίθεται καὶ οὐκ ἐπάνω θέσει μακρᾶς.

Τούτων οὕτως ἐχόντων δεῖ γινώσκειν ὅτι πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς ν̄ λήγουσα, φυλάττουσα τὸν χρόνον τῆς εὐθείας, πάντως καὶ τὸν τόνον αὐτῆς φυλάττει, ὑπεσταλμένων τῶν εἰς ν̄ ληγουσῶν μονοσυλλάβων αἰτιατικῶν. ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, καλός καλόν, σοφός σοφόν, σεμνός σεμνόν, βραχύς βραχύν, ὀξύς ὀξύν, ποιητής ποιητήν, αὐλητής αὐλητήν, ἀθλητής ἀθλητήν, πληθύς πληθύν, ὀϊζύς ὀϊζύν, Ἐρινύς Ἐρινύν, φίλος φίλον, κοῦφος κοῦφον, μάντις μάντιν, ὄρνις ὄρνιν, βότρυς βότρυν, ἡμέρα ἡμέραν, διφθέρα διφθέραν, Ἑλένη Ἑλένην, Ἀφροδίτη Ἀφροδίτην, Ἀτρείδης Ἀτρείδην, Ὀρέστης Ὀρέστην, μία μίαν, μέγας μέγαν, Λιχᾶς Λιχᾶν, χρυσοῦς χρυσοῦν, χαλκοῦς χαλκοῦν, ἀργυροῦς ἀργυροῦν, σιδηροῦς σιδηροῦν, βοῦς βοῦν. Πρόσκειται ἐν τῷ κανόνι „φυλάττουσα τὸν χρόνον τῆς εὐθείας" διὰ τὸ ἰχθῦς ἰχθύν,

ἰχθὺν παιδοφύγα·

αὕτη γὰρ συστέλλει τὸ ῡ καὶ οὐχ ὁμοτονεῖ τῇ περισπωμένῃ εὐθείᾳ. Πρόσκειται „ὑπεσταλμένων τῶν εἰς ν̄ ληγουσῶν μονοσυλλάβων αἰτιατικῶν" διὰ τὸ κλείς κλεῖν, λίς λῖν, κίς κῖν (σημαίνει δὲ τὸν σκώληκα). ἰδοὺ γὰρ ἐπὶ τούτων ἡ μὲν εὐθεῖα ὀξύνεται, ἡ δ' αἰτιατικὴ περισπᾶται· περισπᾶται δὲ τῷ λόγῳ τῶν εἰς ν̄ ληγουσῶν μονοσυλλάβων αἰτιατικῶν, ὅν τινα εἰρήκαμεν ἀνωτέρω.

Αἱ εἰς ᾱ ἢ εἰς η̄ λήγουσαι αἰτιατικαὶ συνῃρημέναι, εἰ μὲν ἀπὸ ἐντελῶν εἰσὶ προπαροξυνομένων, παροξύνονται ἐν τῇ συναιρέσει, οἷον Διομήδεα Διομήδη, Ἀριστοφάνεα Ἀριστοφάνη, Δημοσθένεα Δημοσθένη, Σωκράτεα Σωκράτη, εἰ δὲ ἀπὸ ἐντελῶν εἰσὶ παροξυνομένων, περισπῶνται ἐν τῇ συναιρέσει, οἷον εὐσεβέα εὐσεβῆ, ἀσθενέα ἀσθενῆ, εὐτυχέα εὐτυχῆ, Ἐρετριέα Ἐρετριᾶ, Πειραιέα Πειραιᾶ, Στειριέα Στειριᾶ.

Αἱ εἰς ω̄ λήγουσαι αἰτιατικαὶ κατὰ συγκοπὴν μὲν οὖσαι τὸν τόνον τῆς ἀπαθοῦς λέξεως φυλάττουσιν, οἷον Ἀπόλλωνα Ἀπόλλω,

ἥρωα ἥρω, Μίνωα Μίνω, Ποσειδῶνα Ποσειδῶ, κυκεῶνα κυκεῶ, ἱδρῶτα ἱδρῶ,

ἱδρῶ ἀπεψύχοντο,

ἰχῶρα ἰχῶ,

καὶ ἀπὸ ἰχῶ χειρὸς ὠμόργνυ

(ἰχὼρ δέ ἐστι τὸ μεταβεβλημένον αἷμα)· εἰ δὲ μή εἰσι κατὰ ἀποκοπήν, ἀπὸ μὲν τῶν εἰς ω θηλυκῶν οὖσαι ὀξύνονται, οἷον ἡ Σαπφώ τὴν Σαπφώ, ἡ Ἐρατώ τὴν Ἐρατώ, ἡ Καλυψώ τὴν Καλυψώ, ἡ Κλειώ τὴν Κλειώ, ἀπὸ δὲ τῶν εἰς ως θηλυκῶν οὖσαι περισπῶνται, οἷον ἡ αἰδώς τὴν αἰδῶ,

καὶ αἰδῶ θέσθαι ἐν θυμῷ,

ἡ ἠώς τὴν ἠῶ,

καὶ ἠῶ δῖαν ἔμιμνεν.

ὤφειλον δὲ καὶ τὰ ἀπὸ τῶν εἰς ω θηλυκῶν περισπᾶσθαι κατὰ τὴν αἰτιατικὴν τῷ λόγῳ τῆς συναιρέσεως τῆς ὀξείας καὶ βαρείας, ὡς ἐν τοῖς εἰς ω θηλυκοῖς μεμαθήκαμεν ἐν τῇ διδασκαλίᾳ τῆς Σαπφώ αἰτιατικῆς· ἀλλὰ διὰ τὴν ὁμοφωνίαν τὴν πρὸς τὴν εὐθεῖαν ὠξύνθησαν, ὡς ἐκεῖσε μεμαθήκαμεν.

Αἱ εἰς ην λήγουσαι αἰτιατικαὶ ἀπὸ γενικῶν εἰς ους ληγουσῶν οὖσαι, εἰ μὲν βαρύνεται ἡ εὐθεῖα, βαρύνονται, οἷον Σωκράτης Σωκράτους Σωκράτην, Δημοσθένης Δημοσθένους Δημοσθένην, εἰ δὲ περισπᾶται ἡ εὐθεῖα, περισπῶνται, οἷον Ἡρακλῆς Ἡρακλοῦς Ἡρακλῆν, Περικλῆς Περικλοῦς Περικλῆν· εἰ δὲ ὀξύνεται ἡ εὐθεῖα, βαρύνονται διὰ τὸ τοὺς Αἰολεῖς κεχρῆσθαι ταύταις ταῖς αἰτιατικαῖς· δυσμένην γὰρ λέγουσι καὶ κυκλοτέρην καὶ εὐρυνέφην τῶν εὐθειῶν ὀξυνομένων, οἷον ὁ δυσμενής, ὁ κυκλοτερής, ὁ εὐρυνεφής. οἱ γὰρ Αἰολεῖς βαρυντικοί εἰσι· τὸ γὰρ Ἀτρεύς Ἄτρευς λέγουσι καὶ τὸ Πηλεύς Πήλευς καὶ τὸ Ἀχιλλεύς Ἀχίλλευς.

ΠΕΡΙ ΤΟΥ ΤΟΝΟΥ ΤΗΣ ΚΛΗΤΙΚΗΣ ΤΩΝ ΕΝΙΚΩΝ.

Διαλαμβάνει περὶ τοῦ τόνου τῆς κλητικῆς, λέγων ὅτι πᾶσα κλητικὴ ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ᾽ ἧς ἂν καὶ ἡ εὐθεῖα, οἷον τὸ Αἴας εἰς τὸ αι ἔχει τὸν τόνον, ἀλλὰ καὶ τὸ Αἶαν ἐν τῇ αὐτῇ συλλαβῇ ἐφύλαξε τὸν τόνον. ἀλλὰ δεῖ γνῶναι ἡμᾶς ὅτι ἐν μὲν τῇ εὐθείᾳ ὀξεῖα τίθεται εἰς τὸ αι (τὸ γὰρ Αἴας παροξύνεται)· ἐν δὲ τῇ κλητικῇ περισπωμένη (τὸ γὰρ ὦ Αἶαν προπερισπᾶται, οἷον

Αἶαν ἁμαρτοεπὲς βουγάϊε).

ἡ δὲ αἰτία ἐστὶν αὕτη. ἡ εὐθεῖα οὐκ ἠδύνατο προπερισπᾶσθαι, ἐπειδὴ φύσει μακρά ἐστιν ἡ τελευταία συλλαβή (τὸ γὰρ Αἴας φύσει μακρὸν ἔχει τὸ $\overline{\alpha}$), οὐδέποτε δὲ πρὸ φύσει μακρᾶς τίθεται περισπωμένη, οἷον Ὁμήρου, ἀνθρώπου, μήλου, κήπου, δώρου, τείχους, ἤθους· τὸ γὰρ Μοῦσαι καὶ κῆποι προπερισπώμενα οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ ἐνταῦθα ἡ $\overline{\alpha\iota}$ καὶ ἡ $\overline{o\iota}$ δίφθογγος ἀντὶ κοινῆς παραλαμβάνονται ἤγουν ἀντὶ βραχείας. ἐπειδὴ οὖν τὸ Αἴας τὸ $\overline{\alpha}$ ἔχει φύσει μακρόν, (καὶ ἔχομεν ἐν τοῖς προλαβοῦσι τὴν αἰτίαν· ἔχομεν γὰρ ὅτι τὰ εἰς ας ἀρσενικὰ βαρύτονα μακρὸν ἔχουσι τὸ $\overline{\alpha}$, οἷον Δρύας, Θόας, γίγας, Κάλχας, Αἰνείας, κοχλίας, χωρὶς τοῦ μέγας τοῦ ἐπιθέτου καὶ τοῦ λᾶας τοῦ προσηγορικοῦ καὶ τοῦ Αἴας παρὰ τῷ Ἀλκμᾶνι), τούτου χάριν οὐ περιεσπάσθη ἀλλὰ παρωξύνθη. ὡς γὰρ εἴρηται, οὐδέποτε πρὸ φύσει μακρᾶς τίθεται περισπωμένη. Καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ τί οὐδέποτε πρὸ φύσει μακρᾶς τίθεται περισπωμένη. καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν. ἡ περισπωμένη δυνάμει παροξύτονός ἐστιν· ἀπὸ γὰρ ὀξείας καὶ βαρείας σύγκειται, οἷον πᾶς, βοῦς, νοῦς, Ἑρμῆς· ἡ δὲ προπερισπωμένη δυνάμει προπαροξύτονός ἐστιν· ἀπὸ γὰρ ὀξείας καὶ δύο βαρειῶν σύγκειται, οἷον τεῖχος, μῆλον, κῆπος, δῶρον, ἦθος. εἰ ἐτίθετο οὖν περισπωμένη πρὸ φύσει μακρᾶς, εὑρίσκετο φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς δυνάμει τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα, ὅπερ ἐστὶν ἄτοπον· ἐμάθομεν γὰρ ἐν τοῖς προλαβοῦσιν ὅτι φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς οὐδέποτε τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα ἤγουν οὐ προπαροξύνεται ἡ λέξις. τούτου οὖν χάριν πρὸ φύσει μακρᾶς οὐ τίθεται περισπωμένη. πρὸ δὲ μὴ οὔσης φύσει μακρᾶς τίθεται περισπωμένη, οἷον φοῖνιξ, κῆρυξ, Μοῦσαι, δῆμοι, ἐπειδὴ καὶ μὴ οὔσης φύσει μακρᾶς τῆς τελευταίας συλλαβῆς πολλάκις τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα ἤγουν προπαροξύνεται ἡ λέξις, οἷον Ὅμηροι, ἄνθρωποι, ἅμαξαι, τράπεζαι. ἡ γὰρ $\overline{\alpha\iota}$ καὶ ἡ $\overline{o\iota}$ δίφθογγος ἐνταῦθα ἀντὶ κοινῆς παραλαμβάνεται ἤγουν ἀντὶ βραχείας. Ταῦτα μὲν ἐν τούτοις. τὸ δὲ ὦ Αἶαν, λέγω δὲ ἡ κλητική, ἐπειδὴ συνεσταλμένον ἔχει τὸ $\overline{\alpha}$, διὰ τοῦτο προπερισπᾶται. διὰ τί δὲ ἡ κλητικὴ ἡ ὦ Αἶαν συνεσταλμένον ἔχει τὸ $\overline{\alpha}$; ἐπειδὴ ἀπὸ τῆς Αἴαντος γενικῆς ἐγένετο κατὰ ἀποβολὴν τῆς $\overline{\tau o\varsigma}$ συλλαβῆς, ἡ δὲ Αἴαντος γενικὴ συνεσταλμένον ἔχει τὸ $\overline{\alpha}$ ἤγουν θέσει μακρόν, ἐπειδὴ αἱ διὰ τοῦ $\overline{\nu\tau}$ κλινόμεναι γενικαὶ ἀπὸ μὲν τῶν εἰς $\overline{\alpha\varsigma}$ βαρυτόνων οὖσαι συνεσταλμένον ἔχουσι τὸ $\overline{\alpha}$ ἤγουν θέσει μακρὸν κατὰ τὴν παραλήγουσαν, οἷον Θόαν-

τος, Βίαντος, Δρύαντος· οὕτως οὖν καὶ Αἴαντος. ἀπὸ δὲ τῶν εἰς ας περισπωμένων ὑπὲρ μίαν συλλαβὴν οὖσαι ἐκτεταμένον ἔχουσι τὸ ᾱ, τουτέστι φύσει μακρόν, οἷον ἁλᾶς ἁλᾶντος, πελεκᾶς πελεκᾶντος, Γλισᾶς Γλισᾶντος (ἔστι δὲ ὄνομα πόλεως). πρόσκειται „ὑπὲρ μίαν συλλαβὴν" διὰ τὸ πᾶς παντός· τοῦτο γὰρ θέσει μακρὸν ἔχει τὸ ᾱ κατὰ τὴν γενικήν, ἐπειδὴ οὖν ὦ Αἶαν ἡ κλητικὴ συνεσταλμένον ἔχει τὸ ᾰ, διὰ τοῦτο προπερισπᾶται· πᾶσα γὰρ φύσει μακρὰ πρὸ μιᾶς συλλαβῆς βραχείας, ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον, ἐν ἑνὶ μέρει λόγου, κοινολεκτουμένη, μὴ ἐπεκτεινομένη διὰ του χ καὶ τοῦ ι ἢ διὰ τοῦ θ καὶ ε ἢ διὰ τοῦ δ καὶ ε ἐν τοῖς δυϊκοῖς, περισπωμένην δέχεται, οἷον παῖδες, Πᾶνες, Ἀλκμᾶνες, Τιτᾶνες, δελφῖνες, ἀκτῖνες, φῶτες, Τρῶες, μῆνες, χῆνες, μῆλον, δῶρον, κῆπος, δῆμος, βῆμα, Μοῦσα, αἷμα, ἦθος, εἶδος, τεῖχος, ἧπαρ, γυναῖκες. πρόσκειται „φύσει μακρά" διὰ τὰς θέσει μακράς, οἷον ἄλλος, ἔργον, ἔνθα, πέμπτος, ἕκτος· περισπωμένη γὰρ οὐ τίθεται εἰ μὴ ἐπάνω φύσει μακρᾶς, οἷον Μοῦσα, Ἑρμῆς, Ἡρακλῆς. καὶ διὰ τί ἐπάνω θέσει μακρᾶς οὐ τίθεται, ἐμάθομεν ἀνωτέρω. „πρὸ μιᾶς" δὲ „βραχείας" πρόσκειται διὰ τὸ μὴ εὑρεθῆναι δύο βραχείας ἐπιφερομένας· πρὸ δύο γὰρ συλλαβῶν οὐ τίθεται περισπωμένη, οἷον βήματος, ποιήματος, νοήματος, σοφώτερος, λογιώτερος. καὶ ἄξιόν ἐστι ζητῆσαι διὰ τί οὐδέποτε περισπωμένη πρὸ δύο συλλαβῶν τίθεται. καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν. ἡ περισπωμένη δυνάμει παροξύτονός ἐστιν· ἀπὸ γὰρ ὀξείας καὶ βαρείας σύγκειται, οἷον παῖς, βοῦς, Ἑρμῆς· ἡ δὲ προπερισπωμένη δυνάμει προπαροξύτονός ἐστιν· ἀπὸ γὰρ ὀξείας καὶ βαρειῶν δύο σύγκειται, οἷον κῆπος, μῆλον, δῶρον, τεῖχος, ἦθος. ἐὰν οὖν τεθῇ ἡ περισπωμένη πρὸ δύο συλλαβῶν, εὑρίσκεται ἡ ὀξεῖα δυνάμει τετάρτη ἀπὸ τέλους, τουτέστιν ὑπερβαίνουσα τὴν τρισυλλαβίαν, ὅπερ ἐστὶν ἄτοπον· οὐ θέλει γὰρ τόνος ὑπερβαίνειν τὰς τρεῖς συλλαβάς, ὡς ἀνωτέρω μεμαθήκαμεν. τούτου οὖν χάριν οὐ τίθεται περισπωμένη πρὸ δύο συλλαβῶν. „ἐφ' ἑαυτῆς" δὲ „ἔχουσα τὸν τόνον" πρόσκειται διὰ τὸ Ὅμηρος καὶ ἄνθρωπος· ἐνταῦθα γὰρ φύσει μακρά ἐστι πρὸ μιᾶς βραχείας, καὶ ἐπειδὴ οὐκ ἔστιν ἐπάνω τῆς φύσει μακρᾶς τόνος, οὐ περισπῶνται ταῦτα ἀλλὰ παροξύνονται. πρόσκειται „ἐν ἑνὶ μέρει λόγου" διὰ τὸ Ζεύς γε· ἐνταῦθα γὰρ εἰς τὸ Ζεύς παρέχομεν ὀξεῖαν καὶ ἔστι φύσει μακρὰ πρὸ μιᾶς βραχείας, καὶ οὐ προπερισπᾶται, ἐπειδὴ οὐκ ἔστιν ἓν

μέρος λόγου ἀλλὰ δύο. πρόσκειται δὲ „κοινολεκτουμένη," ἐπειδὴ οἱ Δωριεῖς ὀξεῖαν παρέχουσιν ἐπὶ τῶν τοιούτων, οἷον παῖδες, αἶγες, γυναῖκες· ταῦτα γὰρ ἡμεῖς μὲν περισπῶμεν, οἱ δὲ Δωριεῖς παροξύνουσιν, ὀφείλοντες καὶ αὐτοὶ προπερισπᾶν. διὰ τοῦτο οὖν πρόσκειται κοινολεκτουμένη. πρόσκειται δὲ „μὴ ἐπεκτεινομένη διὰ τοῦ χ̄ καὶ ῑ ἢ διὰ τοῦ θ̄ καὶ ε̄" διὰ τὸ ναίχι καὶ εἴθε. ταῦτα γὰρ παροξύνονται καὶ οὐχὶ προπερισπῶνται, καὶ ἔστι φύσει μακρὰ πρὸ μιᾶς βραχείας· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ ἐπεκτεταμένα εἰσὶ διὰ τοῦ χ̄ καὶ ῑ καὶ διὰ τοῦ θ̄ καὶ ε̄, καὶ τὸν τόνον ὃν εἶχον πρὸ τῆς ἐκτάσεως, ἐφύλαξαν· ναί γὰρ ἦν καὶ εἰ ὀξυτόνως, καὶ κατ' ἐπέκτασιν γινόμενα ναίχι καὶ εἴθε, τὴν ὀξεῖαν τάσιν ἐφύλαξαν ἐν τῇ αὐτῇ συλλαβῇ. πρόσκειται δὲ „μὴ ἐπεκτεινομένη διὰ τοῦ θ̄ καὶ ε̄ ἐν τοῖς δυϊκοῖς" διὰ τὸ τοιώδε καὶ τοσώδε δυϊκά· ταῦτα γὰρ παροξύνονται καὶ οὐ προπερισπῶνται διὰ τὸν χαρακτῆρα τῶν δυϊκῶν· τὸ γὰρ ω̄ ἐν τοῖς δυϊκοῖς ἀποστρέφεται τὴν περισπωμένην τάσιν, οἷον τὼ σοφώ, τὼ καλώ, τὼ ἀγαθώ. ἐπεὶ οὖν τὸ τοιώδε καὶ τοσώδε ἐπέκτασιν ἔχουσι τῆς δε συλλαβῆς, τούτου χάριν, ὡς σχεδὸν ἐν τῇ τελευταίᾳ συλλαβῇ ἔχοντα τὸ ω̄, ἀποστρέφονται τὴν περισπωμένην τάσιν. Ταῦτα μὲν ἐν τούτοις.

Παρατίθεται δὲ ὁ τεχνικὸς ἕτερα παραδείγματα, οἷον Ἀχιλλεύς Ἀχιλλεῦ. καὶ δεῖ γινώσκειν ὅτι ταῦτα μὲν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν, οὐ τὸν αὐτὸν δὲ τόνον ἐπιδέχονται· τὸ μὲν γὰρ Ἀχιλλεύς ὀξύνεται, τὸ δὲ Ἀχιλλεῦ περισπᾶται. καὶ ἡ μὲν εὐθεῖα ὀξύνεται, ἐπειδὴ καθόλου τὰ εἰς ευς λήγοντα ἀρσενικὰ ἐπ' εὐθείας πτώσεως κοινολεκτούμενα ὀξύνεσθαι θέλουσιν, οἷον Πηλεύς, Ἀτρεύς, βασιλεύς, Ἐρετριεύς, ἁλιεύς, Οἰνεύς, Τυδεύς, Θησεύς· οὕτως οὖν καὶ Ἀχιλλεύς. πρόσκειται „ἀρσενικά" διὰ τὸ νεῦς καὶ γρεῦς· ταῦτα γὰρ περισπῶνται, ἀλλ' οὐκ εἰσὶν ἀρσενικὰ ἀλλὰ θηλυκά· νεῦς δέ ἐστιν ἡ ναῦς καὶ γρεῦς ἡ γραῦς. πρόσκειται „ἐπ' εὐθείας πτώσεως," ἐπειδὴ ἡ διογενέος γενικὴ γίνεται παρὰ τοῖς Δωριεῦσι διογενεῦς κατὰ κρᾶσιν τοῦ ε̄ καὶ ο̄ εἰς τὴν εῡ δίφθογγον, καὶ περισπᾶται. καὶ πάλιν τοῦ Ὀδυσσέος τοῦ Ὀδυσσεῦς περισπωμένως,

Ὀδυσσεῦς δὲ λαβὼν κύσε χεῖρ' ἐπὶ καρπῷ

ἀντὶ τοῦ Ὀδυσσέος τὴν χεῖρα ἐφίλησε. καὶ πάλιν τοῦ Ἰδομενέος τοῦ Ἰδομενεῦς περισπωμένως,

Ἰδομενεῦς δ' οὐ λῆγε μένος μέγα

ἀντὶ τοῦ Ἰδομενέος οὐκ ἔληγεν ἡ δύναμις. ταῦτα δὲ οὐκ εἰσὶ κοινολεκτούμενα. πρόςκειται κοινολεκτούμενα, ἐπειδὴ οἱ Αἰολεῖς βαρυτόνως λέγουσιν, οἷον Ἄχιλλευς καὶ Ἄτρευς καὶ Πήλευς. καὶ τὸ Ἄρης δὲ γενόμενον εἰς ευς Αἰολικῶς ἐγένετο, καὶ διὰ τοῦτο βαρύνεται, οἷον Ἄρευς, καὶ ἐφύλαξε τὸν αὐτὸν τόνον καὶ ἐν ταῖς λοιπαῖς πτώσεσιν, οἷον Ἄρεος Ἄρεϊ Ἄρεα. τὸ δὲ Ἀχιλλεῦ περισπᾶται, ἐπειδὴ πᾶσα λέξις εἰς τὸ ῦ καταλήγουσα ἐν διφθόγγῳ, ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχουσα τὸν τόνον, περισπωμένην δέχεται, οἷον σοφοῦ, καλοῦ, ἀγαθοῦ, σεμνοῦ, γραμματικοῦ, ἐποιοῦ, ἐνεοῦ, ἐστεφανοῦ, πανταχοῦ, ἀλλαχοῦ, οὐδαμοῦ, Πηλεῦ, Ἀτρεῦ. οὕτως οὖν καὶ Ἀχιλλεῦ περισπωμένως. πρόςκειται „εἰς τὸ ῦ καταλήγουσα" διὰ τὸ Πηλεύς, Ἀτρεύς· ταῦτα γὰρ ὀξύνονται, ἀλλ' οὐ καταλήγουσιν εἰς τὸ ῦ ἀλλ' εἰς τὸ ς. „ἐν διφθόγγῳ" δὲ πρόςκειται διὰ τὸ ταχύ καὶ βραχύ· ταῦτα γὰρ εἰς τὸ ῦ καταλήγοντα ὀξύνονται, ἀλλ' οὐκ ἔχουσι τὸ ῦ ἐν διφθόγγῳ. πρόςκειται δὲ „ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχουσα τὸν τόνον" διὰ τὸ Ὁμήρου καὶ ἀνθρώπου· ταῦτα εἰς τὸ ῦ καταλήγουσιν ἐν διφθόγγῳ καὶ ὅμως οὐ περισπῶνται, ἀλλ' οὐκ ἔχουσιν ἐπὶ τῆς τελευταίας συλλαβῆς τὸν τόνον ἀλλὰ πρὸ μιᾶς. Ταῦτα μὲν ἐν τούτοις.

Σημειούμεθα τρία τινὰ εἰς τὸ ῦ καταλήγοντα ἐν διφθόγγῳ καὶ ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχοντα τὸν τόνον, καὶ ὅμως μὴ περισπώμενα ἀλλ' ὀξυνόμενα· ἔστι δὲ ταῦτα τὸ ἰδού δεικτικὸν καὶ τὸ ἰού σχετλιαστικὸν καὶ τὸ οὔ ἀρνήσεως δηλωτικόν. ταῦτα γάρ, ὡς εἴρηται, ὀξύνονται καὶ οὐ περισπῶνται. καὶ ἔχουσι διαφόρους ἀπολογίας. λέγουσι γάρ τινες ὅτι τὸ ἰδού δεικτικὸν διὰ τοῦτο ὀξύνεται, ἐπειδὴ δεικνύοντες τῷ δακτύλῳ τὸν τύπον τῆς ὀξείας ἀποτελοῦμεν· τὸ δὲ ἰού διὰ τοῦτο ὀξύνεται, ἐπειδὴ σχετλιαστικόν ἐστιν, οἱ δὲ σχετλιάζοντες ὀξείᾳ κέχρηνται φωνῇ· τὸ δὲ οὔ ἀρνητικὸν διὰ τοῦτο ὀξύνεται, ἐπειδὴ ἀρνήσεώς ἐστι δηλωτικόν, ἀρνούμενοι δὲ ἀνανεύομεν καὶ ἀποτελοῦμεν τὸν τύπον τῆς ὀξείας. ἑτέρα δὲ ἀπολογία ἔστω τοιαύτη, ἥτις καὶ καταναγκαστική ἐστι. τὰ ἐπιῤῥήματα τὰ εἰς τὴν οῦ δίφθογγον λήγοντα ἢ τοπικά εἰσιν ἢ παρηγμένα διὰ τοῦ χου ἀπὸ λέξεως ποσότητα δηλούσης, καὶ πάντα περισπῶνται, τοπικὰ μὲν οἷον ἀγχοῦ,

ἀγχοῦ δ' ἱσταμένη,

ὑψοῦ,

ὑψοῦ δ' ἐπὶ ψαμάθοισι,

τηλοῦ, πανταχοῦ, ἀλλαχοῦ, οὐδαμοῦ, ἑκασταχοῦ (τουτέστιν ἐν ἑκάστῳ τόπῳ, ὡς παρὰ Δημοσθένει „καὶ ἔτι τὰς ἑκασταχοῦ βραδυτῆτας"), αὐτοῦ πρός τε ποδῶν ἀντὶ τοῦ ἐν τῷ αὐτῷ τόπῳ. παρηγμένα διὰ τοῦ χου ἀπὸ λέξεως ποσότητα δηλούσης, οἷον δίς διχοῦ, τρίς τριχοῦ, τετράκις τετραχοῦ, πεντάκις πενταχοῦ· τὸ γὰρ δίς τρίς τετράκις καὶ πεντάκις ποσότητα δηλοῦσι. τὸ ὅπου τοπικὸν ὂν καὶ μὴ περισπώμενον ἀλλὰ βαρυνόμενον οὐκ ἀντίκειται ἡμῖν, ἐπειδή, ὥς φησιν Ἀπολλώνιος ἐν τῷ περὶ ἐπιῤῥημάτων, τὰ μονοσύλλαβα πευστικὰ περισπώμενα ὄντα, προςλαμβάνοντα τὸ ὅ καὶ γινόμενα ἀναφορικά, βαρύνονται, οἷον πῶς ὅπως, πῇ ὅπῃ οὕτως οὖν καὶ ποῦ ὅπου. ἐπειδὴ οὖν τὰ τρία μόνα ταῦτα, λέγω δὲ τὸ ἰδού καὶ ἰού καὶ οὔ, εὑρέθησαν εἰς τὴν ου δίφθογγον λήγοντα καὶ μὴ ὄντα μήτε τοπικὰ μήτε διὰ τοῦ χου παρηγμένα ἀπὸ λέξεως ποσότητα δηλούσης (τὸ μὲν γὰρ ἰδού δεικτικόν ἐστι, τὸ δὲ ἰού σχετλιαστικόν, τὸ δὲ οὔ ἀρνήσεως δηλωτικόν), εἰκότως ὡς παραλλάξαντα κατὰ τὸ σημαινόμενον διήλλαξε καὶ περὶ τὴν τάσιν καὶ οὐ περισπῶνται.

Πάλιν παρατίθεται ὁ τεχνικὸς τὸ καλός καλέ καὶ εὐγενής εὐγενές· καὶ δεῖ γινώσκειν ὅτι ταῦτα ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἔχουσι καὶ τὸν αὐτὸν ἐφύλαξαν. πάλιν εὐσεβής εὐσεβές, εὐτυχής εὐτυχές, ἀσθενής ἀσθενές, ποιητής ποιητά, αὐλητής αὐλητά, ἀθλητής ἀθλητά, εὑρετής εὑρετά, εὐνέτης εὐνέτα, θύτης θύτα· ἰδοὺ καὶ ταῦτα ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἔχουσι καὶ τὸν αὐτὸν τόνον ἐφύλαξαν. πάλιν ἀλήτης ἀλῆτα, ποικιλομήτης ποικιλομῆτα,

σχέτλιε, ποικιλομῆτα,

καὶ δολομήτης δολομῆτα· καὶ ταῦτα μὲν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἔχουσιν, οὐ τὸν αὐτὸν δὲ τόνον ἐφύλαξαν· ἡ γὰρ κλητικὴ ἐπὶ τούτων προπερισπᾶται διὰ τὸ εἶναι φύσει μακρὰν πρὸ μιᾶς βραχείας. πάλιν Λειώδης Λειῶδες· ἰδοὺ καὶ τοῦτο μὲν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἔχει, οὐ τὸν αὐτὸν δέ· τὸ μὲν γὰρ Λειώδης παροξύνεται (παροξύνεται δέ, ἐπειδὴ φύσει μακρά ἐστιν ἡ τελευταία συλλαβή, οὐδέποτε δέ, ὡς ἀνωτέρω εἴρηται, πρὸ φύσει μακρᾶς τίθεται περισπωμένη, οἷον Ὁμήρου, ἀνθρώπου, κήπου, τείχους), τὸ δὲ Λειῶδες προπερισπᾶται, ἐπειδὴ φύσει μακρὰ πρὸ βραχείας ἐστί· τὸν δὲ κανόνα εἰρήκαμεν ἀνωτέρω.

Ἰστέον ὅτι τὰ διὰ τοῦ ωδης προπερισπῶνται, οἷον δυσώδης δυσῶδες, εὐώδης εὐῶδες, πυρώδης πυρῶδες, γεώδης γεῶδες. οὐ-

τως οὖν καὶ Λειώδης Λειῶδες περισπωμένως κατὰ τὴν κλητικήν,

Λειῶδες ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.

Ταῦτα μὲν ἐν τούτοις.

Σεσημείωται τὸ δέσποτα ἐν τῷ κανόνι, ἀκάκητα, εὐρύοπα, μητίετα, καὶ τὸ ἄνερ, πάτερ, σῶτερ, δᾶερ, ὅτι οὐκ ἐφύλαξαν κατὰ τὴν κλητικὴν ἐπὶ τῆς αὐτῆς συλλαβῆς τὸν τόνον ἐφ᾽ ἧς καὶ ἡ εὐθεῖα· ἀνὴρ γὰρ καὶ πατὴρ καὶ σωτὴρ καὶ δαὴρ ἐστιν ἡ εὐθεῖα, καὶ δεσπότης καὶ ἀκακήτης καὶ μητιέτης καὶ εὐρυόπης. καὶ περὶ μὲν τοῦ ἄνερ, πάτερ, δᾶερ ἔστιν εἰπεῖν ὅτι ἠκολούθησαν τοῖς ἰδίοις συγγενικοῖς κατὰ τὴν κλητικήν, φημὶ δὲ τῇ μῆτερ, θύγατερ. ὥσπερ γὰρ τὸ μήτηρ καὶ θυγάτηρ, ὀφείλοντα ἐν τῇ γενικῇ προπαροξυνθῆναι διὰ τὸ φυλάξαι τὸν τόνον τῆς εὐθείας ἐν τῇ αὐτῇ συλλαβῇ, οἷον μήτηρ μήτερος, θυγάτηρ θυγάτερος, ὥσπερ Δημήτηρ Δημήτερος καὶ εἰνάτηρ εἰνάτερος (σημαίνει δὲ τὴν σύννυμφον), οὐ προπαρωξύνθησαν ἀλλὰ παρωξύνθησαν, οἷον μητέρος, θυγατέρος — ἠκολούθησαν γὰρ τοῖς ἰδίοις συγγενικοῖς αὐτῶν, φημὶ δὲ τῷ πατέρος, ἀνέρος, δαέρος (σημαίνει δὲ τὸν ἀνδράδελφον), — τὸν αὐτὸν τρόπον καὶ ἐκ τοῦ ἐναντίου τὰ ἀρσενικὰ τοῖς θηλυκοῖς ἠκολούθησαν κατὰ τὴν κλητικήν, καὶ ὥσπερ μῆτερ καὶ θύγατερ διὰ τοῦ ε̄ βαρυτόνως, οὕτω καὶ ἄνερ, πάτερ, δᾶερ διὰ τοῦ ε̄ βαρυτόνως. καὶ λοιπὸν ἀμοιβαῖα ἐγένετο τὰ τοῦ τόνου· τὰ μὲν γὰρ ἀρσενικὰ τοῖς θηλυκοῖς ἠκολούθησαν κατὰ τὴν κλητικήν, τὰ δὲ θηλυκὰ τοῖς ἀρσενικοῖς κατὰ τὴν γενικήν. τὸ δὲ σῶτερ ψευδαιολικόν ἐστι, καὶ τούτου χάριν συνέστειλε τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ κλητικῇ καὶ ἐβαρύνθη· οἱ γὰρ Αἰολεῖς ἔθος ἔχουσι πολλάκις συστέλλειν τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ κλητικῇ καὶ ἀναβιβάζειν τὸν τόνον, οἷον ὁ τριβολέτηρ ὦ τριβόλετερ (ἔστι δὲ εἶδος ἀκάνθης). διὰ τοῦτο δὲ εἴρηται ψευδαιολικόν, ἐπειδὴ οὐκ ἔστι κυρίως Αἰολικόν· οἱ γὰρ Αἰολεῖς τότε συστέλλουσι τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ κλητικῇ, ἡνίκα μὴ μακρᾷ παραλήγεται, οἷον ὁ τριβολέτηρ ὦ τριβόλετερ· ἡνίκα δὲ μακρᾷ παραλήγεται, οὐ συστέλλουσι τὸ η̄ ἐν τῇ κλητικῇ εἰς τὸ ε̄, οἷον ὁ χρηστήρ· τοῦτο γὰρ μακρᾷ παραληγόμενον οὐ συστέλλει τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ κλητικῇ· χρηστὴρ δέ ἐστιν ὁ παρέχων τοὺς χρησμούς. τὸ οὖν σῶτερ μακρὰν ἔχον τὴν παραλήγουσαν οὐ δύναται συσταλῆναι παρὰ τοῖς Αἰολεῦσι. διὰ τοῦτο οὖν εἰρήκαμεν ὅτι ψευδαιολικόν ἐστι καὶ οὐ κυρίως Αἰολικόν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὸ ἄνερ, πάτερ, σῶτερ, δᾶερ, συστείλαντα τὸ η̄ εἰς τὸ ε̄ ἐν τῇ κλητικῇ, εὐλόγως ἐβαρύνθησαν· τὰ γὰρ εἰς ρ̄ λήγοντα βραχυκατάληκτα ὑπὲρ μίαν συλλαβὴν ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, χωρὶς τῆς ὑπὲρ προθέσεως καὶ τοῦ αὐτὰρ καὶ ἀτὰρ συνδέσμου. ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, μάκαρ, ἦθαρ, ἧπαρ, ἔαρ, φρέαρ, κέαρ, δέλεαρ, ὄνειαρ, ἄτερ. οὕτως οὖν καὶ ἄνερ, πάτερ, σῶτερ, δᾶερ βαρυτόνως. πρόςκειται „βραχυκατάληκτα" διὰ τὸ πατὴρ καὶ ἀνὴρ ὀξυνόμενα. πρόςκειται „ὑπὲρ μίαν συλλαβὴν" διὰ τὸν γὰρ σύνδεσμον ὀξυνόμενον.

Ταῦτα μὲν περὶ τοῦ ἄνερ, πάτερ, σῶτερ, δᾶερ. τὸ δὲ δέσποτα, ἀκάκητα, μητίετα, εὐρύοπα ἐσημειωσάμεθα, ἐπειδὴ ταῦτα κλητικὰ ὄντα προπαροξύνονται τῆς εὐθείας παροξυνομένης· ὁ ἀκακήτης γὰρ (ὁ μὴ ἔχων κακίαν) καὶ ὁ μητιέτης καὶ ὁ εὐρυόπης ἐστὶν ἡ εὐθεῖα. καὶ περὶ μὲν τοῦ εὐρύοπα καὶ ἀκάκητα ἔχομεν εἰπεῖν ἀπολογίαν τοιαύτην. ἔστιν εὐθεῖα εὐρύοψ ὥςπερ Αἰθίοψ, καὶ κλίνεται εὐρύοπος εὐρύοπι εὐρύοπα, καὶ εὐλόγως προπαροξύνεται ἡ αἰτιατικὴ ὥςπερ Αἰθίοπος Αἰθίοπι Αἰθίοπα. καὶ πάλιν ἔστιν ἀκάκης ἀκάκητος ἀκάκητι ἀκάκητα, σημαίνει δὲ τὸν μὴ ἔχοντα κακίαν· καὶ εὐλόγως προπαροξύνεται ἡ αἰτιατικὴ ὥςπερ Λάχης Λάχητος Λάχητι Λάχητα. εἰσὶ δὲ καὶ ἄλλαι εὐθεῖαι οἷον ὁ εὐρυόπης καὶ ὁ ἀκακήτης, αἵ τινες γινόμεναι κατὰ μεταπλασμὸν εὐρύοπα καὶ ἀκάκητα ὡμοφώνησαν τῇ αἰτιατικῇ τῇ εὐρύοπα καὶ ἀκάκητα τῇ γενομένῃ ἀπὸ τοῦ εὐρύοψ καὶ ἀκάκης. καὶ ἐπειδὴ ὡμοφώνησαν αὗται αἱ εὐθεῖαι αἱ κατὰ μεταπλασμὸν ταῖς αἰτιατικαῖς, ἠναγκάσθησαν καὶ ὁμοτονῆσαι αὐταῖς καὶ προπαροξυνθῆναι ὁμοίως αὐταῖς. κανὼν γάρ ἐστιν ὁ λέγων ὅτι πᾶσα πτῶσις ὁμοφωνήσασα ἑτέρᾳ πτώσει κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ τὸν αὐτὸν ἐπιδέχεται τόνον, οἷον Μοῦσα ὦ Μοῦσα· ἐπ' ἀμφοτέρων μία φωνὴ καὶ εἷς ὁ τόνος· ἡ Μήδεια ὦ Μήδεια, τὸ ξύλον ὦ ξύλον, ἡ τιμὴ ὦ τιμή, τῇ Λητοῖ ὦ Λητοῖ, ἡ Λητὼ τὴν Λητώ· ὁμοίως μία φωνὴ καὶ εἷς ὁ τόνος. δεῖ προςθεῖναι χωρὶς τῶν εἰς ευς γενικῶν τῶν γινομένων Ἰωνικῶς ἢ Δωρικῶς· οἱ γὰρ Ἴωνες καὶ οἱ Δωριεῖς τὴν Ὀδυσσέος καὶ Ἰδομενέος γενικὴν Ὀδυσσεῦς καὶ Ἰδομενεῦς λέγουσι, κρᾶσιν ποιούμενοι τοῦ ε̄ καὶ ο̄ εἰς τὴν εῡ δίφθογγον, οἷον

Ὀδυσσεῦς δὲ λαβὼν κύσε χεῖρ' ἐπὶ καρπῷ

ἀντὶ τοῦ Ὀδυσσέος τὴν χεῖρα ἐφίλησε· καὶ πάλιν

Ἰδομενεῦς δ᾽ οὐ λῆγε μένος μέγα

ἀντὶ τοῦ Ἰδομενέος δ᾽ οὐκ ἔληγεν ἡ δύναμις. καὶ ἰδοὺ ἐπὶ τούτων ὁμοφωνεῖ ἡ γενικὴ τῇ εὐθείᾳ κατὰ τὸν αὐτὸν ἀριθμόν (καὶ γὰρ Ὀδυσσεύς καὶ Ἰδομενεύς ἐστιν ἡ εὐθεῖα), καὶ ὅμως οὐκ ἐπιδέχονται τὸν αὐτὸν τόνον· ἡ μὲν γὰρ εὐθεῖα ὀξύνεται, ἡ δὲ γενικὴ περισπᾶται. πρόςκειται „κατὰ τὸν αὐτὸν ἀριθμόν" διὰ τὸ τῆς ἀγορᾶς καὶ τὰς ἀγοράς. ἰδοὺ γὰρ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν ὁμοφωνεῖ τῇ γενικῇ τῶν ἑνικῶν καὶ οὐχ ὁμοτονεῖ αὐτῇ· ἡ μὲν γὰρ γενικὴ τῶν ἑνικῶν περισπᾶται, ἡ δὲ αἰτιατικὴ τῶν πληθυντικῶν ὀξύνεται· ἀλλ᾽ οὐκ εἰσὶ κατὰ τὸν αὐτὸν ἀριθμόν. ἐπειδὴ οὖν τὸ εὐρυόπης καὶ ἀκακήτης, αἱ κλητικαὶ αὐτῶν εἰς ᾱ ἐγένοντο, οἷον ὦ εὐρύοπα καὶ ὦ ἀκάκητα, τοῦ μὲν ὡς ἔχοντος τὸ τ̄, τοῦ δὲ ὡς ὄντος εἰς πης, καὶ ὁμοφωνήσασαι ταῖς εὐθείαις ταῖς γινομέναις κατὰ μεταπλασμὸν ἀπὸ τοῦ εὐρυόπης καὶ ἀκακήτης, λέγω δὴ τοῦ εὐρύοπα καὶ ἀκάκητα, τούτου οὖν χάριν καὶ ὡμοτόνησαν αὐταῖς καὶ προπαρωξύνθησαν ὁμοίως αὐταῖς κατὰ τὸν προλεχθέντα κανόνα, τὸν λέγοντα ὅτι πᾶσα πτῶσις ὁμοφωνήσασα ἑτέρᾳ πτώσει κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ τὸν αὐτὸν ἐπιδέχεται τόνον. διὰ τοῦτο οὖν προπαροξύνονται αὗται αἱ κλητικαί, λέγω δὴ ἡ εὐρύοπα καὶ ἀκάκητα. Ταῦτα μὲν ἐν τούτοις.

Περὶ δὲ τοῦ μητίετα ἔστιν εἰπεῖν ἀπολογίαν τοιαύτην, ὅτι ἔστι μητιέτης ἡ εὐθεῖα. τοῦτο ἔχει τὴν αἰτιατικὴν τὸν μητιέτην, καὶ κατὰ μεταπλασμὸν γίνεται μητίετα. καὶ ἐπειδὴ αἱ γινόμεναι κατὰ μεταπλασμὸν εἰς ᾱ αἰτιατικαί, μὴ ἀπὸ προηγουμένης γενικῆς ἢ δοτικῆς μεταπλασθείσης εἰς ᾱ ὑπὲρ δύο συλλαβὰς οὖσαι, προπαροξύνεσθαι θέλουσιν, οἷον ἀλίτροχον ἀλίτροχα, πυργοκέρατον πυργοκέρατα, διθύραμβον διθύραμβα, εὐλόγως οὖν καὶ ἡ μητίετα αἰτιατικὴ ἀπὸ τοῦ μητιέτην κατὰ μεταπλασμὸν γινομένη προπαροξύνεται. οὐδὲ γὰρ ἔχει γενικὴν ἢ δοτικὴν προμεταπλασθεῖσαν ἐν πλάτει εἰς ᾱ, εἰ καὶ σπανίως τις θέλει εἰπεῖν ἐπὶ τούτων γενικὴν ἢ δοτικὴν μεταπεπλασμένην. τῆς οὖν αἰτιατικῆς πρῶτον μεταπλασθείσης καὶ ἡ εὐθεῖα ἡ ἀπὸ τοῦ μητιέτης γινομένη κατὰ μεταπλασμὸν εἰς ᾱ, οἷον μητίετα Ζεύς, ὑγιῶς προπαροξύνεται κατὰ τὸν κανόνα τὸν λέγοντα ὅτι πᾶσα πτῶσις ὁμοφωνοῦσα πτώσει κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ τὸν αὐτὸν ἐπιδέχεται τόνον. ὡςαύτως δὲ καὶ ἡ κλητικὴ τοῦ μητιέτης γενομένη εἰς ᾱ, ὡς ἔχουσα τὸ τ̄, οἷον ὦ μητίετα, καὶ ὁμοφωνήσασα τῇ μητίετα εὐθείᾳ τῇ γε-

νομένη ἀπὸ τοῦ μητιέτης κατὰ μεταπλασμὸν, ὑγιῶς προπαροξύνεται τῷ προλεχθέντι κανόνι τῷ λέγοντι πᾶσα πτῶσις ὁμοφωνοῦσα πτώσει κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ τὸν αὐτὸν ἐπιδέχεται τόνον. πρόςκειται ἀνωτέρω „μὴ ἀπὸ προηγουμένης γενικῆς ἢ δοτικῆς μεταπλασθείσης εἰς ᾰ," ἐπειδὴ ἔστι τὸν ἱππότην καὶ γίνεται κατὰ μεταπλασμὸν τὸν ἱππόταν, καὶ οὐ προπαροξύνεται, ἐπειδὴ ἔχει προηγουμένην γενικὴν καὶ δοτικὴν μεταπεπλασμένην· ἔστι γὰρ τοῦ ἱππότου καὶ γίνεται κατὰ μεταπλασμὸν τῷ ἱππότα. πρόςκειται „ὑπὲρ δύο συλλαβὰς οὖσαι" διὰ τὸ λιτόν τοῦ λιτοῦ τῷ λιτῷ τὸ λιτόν· τοῦτο γὰρ γίνεται κατὰ μεταπλασμὸν λῖτα, κατὰ λῖτα πετάσας, οἱονεὶ καταπετάσας καὶ ἁπλώσας λιτὸν ἱμάτιον, καὶ οὐ προπαροξύνεται, ἐπειδὴ οὐκ ἔστιν ὑπὲρ δύο συλλαβάς. Ταῦτα μὲν ἐν τούτοις.

Περὶ δὲ τοῦ δέσποτα ἀξιοῦσί τινες λέγειν ὅτι ἔστι δεσπότης καὶ ἐν συνθέσει γίνεται ἀδέσποτος· ἔχομεν γὰρ τὸν ἀδέσποτον καὶ οἱ ἀδέσποτοι. αὕτη οὖν ἡ ἀδέσποτος εὐθεῖα ἔχει κλητικὴν τὴν ἀδέσποτε, ἥτις γίνεται κατὰ μεταπλασμὸν εἰς ᾱ, ὦ ἀδέσποτα, καὶ εὐλόγως προπαροξύνεται· ὁμοτονεῖ γὰρ τῇ ἰδίᾳ εὐθείᾳ τῇ ἀδέσποτος. μετὰ οὖν τὸν μεταπλασμὸν γίνεται ἀπὸ τοῦ συνθέτου ἡ ἁπλῆ λέξις, οἷον δέσποτα, καὶ μένει προπαροξύτονος ἡ λέξις. τὸ μὲν ἀπὸ συνθέτου γίνεσθαι ἁπλοῦν οὐκ ἔστι ξένον· ἔχομεν γὰρ τοῦτο καὶ ἐπὶ φυσικῶν πραγμάτων, ὥσπερ ἀπὸ δένδρου ἐάν τις ἀποσπάσῃ κλάδον, γίνεται ἁπλοῦν ἀπὸ συνθέτου, καὶ ἐὰν ἀπὸ ζώου ἀποσπάσῃ τις χεῖρα ἢ πόδα, γίνεται ὁμοίως ἀπὸ συνθέτου ἁπλοῦν. καὶ ἐπὶ λέξεων δὲ τὸ αὐτὸ εὑρίσκομεν σχῆμα· ἀπὸ γὰρ τοῦ εὐστάδα λίμνην ἔχομεν ἁπλοῦν τὸ στάδα λίμνην, καὶ ἰδοὺ ἀπὸ συνθέτου λέξεως ἐγένετο ἁπλῆ λέξις (σημαίνει δὲ τὴν καλῶς ἱσταμένην). καὶ τὸ εἴρυσαν ἠνορέῃ ἀπὸ τοῦ εὐηνορέῃ γέγονε, καὶ τὸ δόμοις ἔνι ποιητοῖσιν ἀπὸ τοῦ εὐποιήτοισι γέγονε· τὸ γὰρ καλῶς πεποιημένον δηλοῖ. καὶ ἰδοὺ ἀπὸ συνθέτων λέξεων ἐγένοντο ἁπλαῖ λέξεις. οὕτως οὖν καὶ ἐπὶ τοῦ δέσποτα ἁπλῆ ἐγένετο ἡ λέξις ἀπὸ συνθέτου. Τοσαῦτα ἔχομεν εἰπεῖν.

Ἰστέον ὅτι προπαροξύνονται κατὰ τὴν κλητικὴν τὰ εἰς ης κύρια σύνθετα, ἔχοντα τὴν κλητικὴν εἰς ες, δηλονότι βαρυτονούμενα κατὰ τὴν εὐθεῖαν, οἷον Ἀριστοφάνης Ἀριστόφανες, Δημοσθένης Δημόσθενες, Διομήδης Διόμηδες, Πολυδεύκης Πολύδευκες, Διοπείθης Διόπειθες, Ἡρακλέης Ἡράκλεες καὶ κατὰ κρᾶσιν τῶν

δύο ῑε̄ εἰς τὴν ει̅ δίφθογγον Ἡράκλεις. περὶ δὲ τοῦ Λειώδης, ὅτι προπερισπᾶται κατὰ τὴν κλητικὴν, διὰ τὸν χαρακτῆρα ὃν ἐμάθομεν ἀνωτέρω, προπερισπᾶται. ἐμάθομεν γὰρ ὅτι τὰ διὰ τοῦ ωδης προπερισπῶνται κατὰ τὴν κλητικὴν, οἷον δυςώδης δυςῶδες, εὐώδης εὐῶδες· οὕτως οὖν καὶ Λειώδης Λειῶδες προπερισπωμένως κατὰ τὴν κλητικὴν, οἷον

Λειῶδες ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.

τοῦτο δὲ οὐ σύνθετόν ἐστι· περὶ τῶν εἰς ης συνθέτων ἐστὶν ὁ λόγος. ἰστέον δὲ ὅτι τινὲς θέλουσι λέγειν τὸ Λειώδης εἶναι σύνθετον παρὰ τὸ ἅδειν τῷ λαῷ, τουτέστιν ἀρέσκειν τῷ ὄχλῳ· ἐμίσει γὰρ τὴν μάχην, ὡς καὶ ὁ ποιητὴς δηλοῖ λέγων

ἀτασθαλίαι δέ οἱ οἴῳ
ἦσαν ἐχθραί.

οὗτοι οὐ καλῶς λέγουσιν, ἀλλ᾽ ἔστιν εἰπεῖν ὅτι τὸ Λειώδης ἁπλοῦν ἦν· παρὰ γὰρ τὸ λεῖον (τὸ ὁμαλόν) ἐγένετο Λειώδης κατὰ παραγωγήν· λέγει γὰρ ὁ ποιητής

ὁ δ᾽ ἐπεὶ κάμε χεῖρας ἀνέλκων
ἀτρίπτους ἁπαλάς.

παρὰ τὸ λεῖον οὖν ἐστὶ Λειώδης παράγωγον. οὐδὲ γὰρ δύναται εἶναι σύνθετον, ἐπειδὴ καθόλου τὰ διὰ τοῦ ωδης ἅπαντα ἢ ἁπλᾶ εἰσὶν ἢ παρασύνθετα, οὐδέποτε δὲ σύνθετα. ἢ γὰρ ἀπὸ ἁπλῶν παράγονται καὶ εἰσὶν ἁπλᾶ, οἷον πετρῶν πετρώδης, λίθων λιθώδης, γεῶν γεώδης, ἢ ἀπὸ συνθέτων παράγονται καὶ εἰσὶ παρασύνθετα, ὡς ἐπὶ τοῦ δυςώδης καὶ εὐώδης· ἀπὸ γὰρ συνθέτων τῶν δυσάων καὶ εὐάων γεγόνασι δυσαώδης καὶ εὐαώδης, καὶ κατὰ κρᾶσιν τοῦ α̅ καὶ ω̅ εἰς ω̅ δυσώδης καὶ εὐώδης. εἰ οὖν τὸ Λειώδης οὐκ ἔστι παρασύνθετον (οὐδὲ γὰρ παρήχθη ἀπὸ συνθέτου, ἀλλ᾽ ἀπὸ ἁπλοῦ τοῦ λείου), δηλονότι ἁπλοῦν ἐστί. πάντα δὲ τὰ διὰ τοῦ ωδης, ὡς εἴρηται, προπερισπῶνται κατὰ τὴν κλητικήν, οἷον ὦ λιθῶδες, ὦ πετρῶδες, ὦ Λειῶδες, ὦ δυσῶδες, ὦ εὐῶδες. Καὶ τὰ διὰ τοῦ ωλης δὲ καὶ τὰ διὰ τοῦ ηρης καὶ τὰ διὰ τοῦ ωρης, παροξυνόμενα κατὰ τὴν εὐθεῖαν, ἐν τῇ κλητικῇ προπερισπῶνται, οἷον ἐξώλης ἐξῶλες, πανώλης πανῶλες, ξιφήρης ξιφῆρες, χαλκήρης χαλκῆρες, Διώρης Διῶρες (ἔστι δε ὄνομα κύριον), ὑλώρης ὑλῶρες. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς ης ἐπίθετα βαρύτονα σύνθετα ἀπὸ οὐδετέρων, ἔχοντα τὴν κλητικὴν εἰς ες, προπαροξύνονται κατὰ τὴν κλη-

τικήν, οἷον εὐμήκης εὔμηκες, ἐπιμήκης ἐπίμηκες, κακοήθης κακόηθες, συνήθης σύνηθες, παμμεγέθης παμμέγεθες. τούτοις ἠκολούθησαν καὶ τὸ φιλαλήθης φιλάληθες καὶ μισαλήθης μισάληθες. Δεῖ δὲ καὶ τοῦτο γινώσκειν ὅτι τὰ παρὰ τὸ ἔτος παρ᾽ ἡμῖν μέν, ὀξυνόμενα κατὰ τὴν εὐθεῖαν, καὶ κατὰ τὴν κλητικὴν ὀξύνονται, οἷον ὁ τριετής ὦ τριετές, ὁ πενταετής ὦ πενταετές, ὁ ἑξαετής ὦ ἑξαετές, παρὰ δὲ τοῖς Ἀθηναίοις παροξυνόμενα κατὰ τὴν εὐθεῖαν ἐν τῇ κλητικῇ προπαροξύνονται, οἷον ὁ πενταέτης ὦ πεντάετες, ὁ ἑξαέτης ὦ ἑξάετες.

Δεῖ δὲ γινώσκειν ὅτι τὰ παρὰ τὸ ἀντῶ καὶ τὰ παρὰ τὸ ἀρκῶ καὶ τὰ παρὰ τὸ ἄδειν (ὃ σημαίνει τὸ ἀρέσκειν) καὶ τὰ παρὰ τὸ ἀκή (ὃ σημαίνει τὴν ὀξύτητα τοῦ σιδήρου), βαρυτονούμενα κατὰ τὴν εὐθεῖαν, ἔχουσι τὴν κλητικὴν προπαροξύτονον, οἷον κατάντης κάταντες, προςάντης πρόςαντες, αὐτάρκης αὔταρκες, ὀλιγάρκης ὀλίγαρκες, αὐθάδης αὔθαδες, τανυήκης τανύηκες, ἀμφήκης ἄμφηκες. οὕτω γὰρ κάλλιόν ἐστι λέγειν ὅτι χαρακτῆρι ταῦτα ὑποπίπτουσιν, καὶ μὴ σημειοῦσθαι, ὡς ἐποίησεν ὁ παρὼν τεχνικός.

Καὶ τὰ εἰς ηρ δὲ παροξύτονα, ὅταν ἔχωσι τὴν κλητικὴν εἰς ερ, προπαροξύνονται κατὰ τὴν κλητικήν, δηλονότι ὑπὲρ δύο συλλαβὰς ὄντα, οἷον θυγάτηρ θύγατερ, Δημήτηρ Δήμητερ, εἰνάτηρ εἴνατερ. πρόςκειται „ὑπὲρ δύο συλλαβὰς ὄντα" διὰ τὸ μήτηρ μῆτερ· τοῦτο γὰρ οὐ προπαροξύνεται κατὰ τὴν κλητικήν, ἀλλ᾽ οὐκ ἔστιν ὑπὲρ δύο συλλαβάς.

Ἰστέον δὲ ὅτι πταίουσιν οἱ λέγοντες ὦ παντόκρατορ κατὰ τὴν κλητικὴν προπαροξυτόνως· δέον γὰρ ὁμοτόνως τῇ εὐθείᾳ λέγειν παροξυτόνως, οἷον ὦ παντοκράτορ. οὐ γάρ ἐστι τοῦτο εἰς ηρ, ἵνα ἀναβιβάσῃ τὸν τόνον ἐν τῇ κλητικῇ καὶ προπαροξυνθῇ.

Δεῖ γινώσκειν ὅτι αἱ εἰς ορ περατούμεναι κλητικαὶ ἐν ταύτῃ τῇ συλλαβῇ φυλάττουσι τὸν τόνον ἐν ᾗ συλλαβῇ ἔχει αὐτὸν καὶ ἡ εὐθεῖα. καὶ εἰ μὲν παραλήγονται φύσει μακρᾷ, προπερισπῶνται, οἷον ὁ Πολυμήστωρ ὦ Πολυμῆστορ, ὁ Ἀδμήτωρ ὦ Ἀδμῆτορ, ὁ οἰκήτωρ ὦ οἰκῆτορ· εἰ δὲ μὴ παραλήγονται φύσει μακρᾷ, παροξύνονται, οἷον ὁ Νέστωρ ὦ Νέστορ, ὁ Ἕκτωρ ὦ Ἕκτορ. οὕτως οὖν καὶ ὁ παντοκράτωρ ὦ παντοκράτορ ὁμοτόνως τῇ εὐθείᾳ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς ων σύνθετα διὰ τοῦ ω, δηλονότι ὅταν ἔχωσι τὴν κλητικὴν εἰς ον διὰ τοῦ ο, προπαροξύνονται κατὰ τὴν κλη-

κλητικὴν ὑπὲρ δύο συλλαβὰς ὄντα, οἷον Ἀγαμέμνων ὦ Ἀγάμεμνον, ὀλβιοδαίμων ὦ ὀλβιόδαιμον, κυλλοποδίων ὦ κυλλοπόδιον, χαμαιλέων ὦ χαμαίλεον, ἐνοσίχθων ὦ ἐνόσιχθον. πρόςκειται „ὅταν ἔχωσι τὴν κλητικὴν εἰς $\overline{\text{ον}}$ διὰ τοῦ $\overline{\text{ο}}$" διὰ τὸ ὦ χαλκοχίτων, ὦ φιλοπλάτων· ταῦτα γὰρ οὐ προπαροξύνονται ἐν τῇ κλητικῇ, ἀλλ' οὐκ εἰσὶ διὰ τοῦ $\overline{\text{ο}}$, ἀλλὰ διὰ τοῦ $\overline{\text{ω}}$. πρόςκειται „ὑπὲρ δύο συλλαβὰς" διὰ τὸ ἄκμων ἄκμονος ὦ ἄκμον· τοῦτο γὰρ σύνθετόν ἐστι παρὰ τὸ $\overline{\text{α}}$ ἐπιτατικὸν μόριον καὶ τὸ καμών, ἀκάμων καὶ κατὰ συγκοπὴν ἄκμων, οἱονεὶ ὁ πάνυ κάμνων, καὶ διὰ τοῦ $\overline{\text{ο}}$ ἔχει τὴν κλητικήν, καὶ ὅμως οὐ προπαροξύνεται κατὰ τὴν κλητικήν, ἐπειδὴ δισύλλαβόν ἐστι. πρόςκειται „σύνθετα" διὰ τὸ ὦ Ἱκετᾶον καὶ ὦ Ἀρεῖον καὶ ὦ Μαχᾶον· ταῦτα γὰρ οὐ προπαροξύνονται κατὰ τὴν κλητικὴν ἀλλὰ προπερισπῶνται ὑπὲρ δύο συλλαβὰς ὄντα καὶ εἰς $\overline{\text{ον}}$ διὰ τοῦ $\overline{\text{ο}}$, ἀλλ' οὐκ εἰσὶ σύνθετα ἀλλ' ἁπλᾶ.

Σημειοῦται δὲ ὁ τεχνικὸς καὶ λέγει χωρὶς τῶν παρὰ τὸ φρήν· ταῦτα δὲ πρὸ μιᾶς ἔχουσι τὸν τόνον ἐν τῇ κλητικῇ καὶ οὐ προπαροξύνονται, οἷον ὦ δαΐφρον, ὦ περίφρον, ὦ καρτερόφρον, ὦ Λυκόφρον παροξυτόνως. καὶ τὸ ὦ Λακεδαῖμον· οὐδὲ γὰρ προπαροξύνεται τοῦτο κατὰ τὴν κλητικὴν ἀλλὰ προπερισπᾶται. ἔστι δὲ σύνθετον· οὕτω γάρ φασι λέγεσθαι τὴν πόλιν, ἐπειδὴ ἐν αὐτῇ πρῶτον οἱ θεοὶ ἔλαχον καὶ ἐκληρώσαντο τὰς πόλεις, οἱονεὶ Λαχεδαίμων τις οὖσα. σημειούμεθα δὲ καὶ τὸ ὦ Παλαῖμον προπερισπώμενον κατὰ τὴν κλητικὴν καὶ οὐ προπαροξυνόμενον· ἔστι δὲ σύνθετον παρὰ τὴν πάλην καὶ τὸ αἵμων, ὃ σημαίνει τὸν ἐπιστήμονα. θέλουσι δὲ καὶ τὸ ΕΥΔΑΙΜΟΝ τὸ κύριον μὴ προπαροξύνειν κατὰ τὴν κλητικὴν ἀλλὰ προπερισπᾶν, οἷον ὦ εὐδαῖμον, πρὸς ἀντιδιαστολὴν τοῦ ἐπιθέτου· ἐκεῖνο γὰρ προπαροξύνεται κατὰ τὴν κλητικήν, οἷον ὦ εὔδαιμον, ὥςπερ τὸ κακόδαιμον καὶ ὀλβιόδαιμον. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς $\overline{\text{ων}}$ συγκριτικὰ ὑπὲρ δύο συλλαβὰς ὄντα προπαροξύνονται κατὰ τὴν κλητικήν, οἷον ὁ βελτίων ὦ βέλτιον καὶ τὸ βέλτιον, καὶ ὁ ἀμείνων ὦ ἄμεινον καὶ τὸ ἄμεινον, ὁ γλυκίων ὦ γλύκιν καὶ τὸ γλύκιον,

ὡς οὐδὲν γλύκιον οὗ πατρίδος ἠδὲ τοκήων,

ὁ διπλασίων ὦ διπλάσιον καὶ τὸ διπλάσιον, ὁ ἀρείων ὦ ἄρειον καὶ τὸ ἄρειον,

παυρότερον λαὸν ἀγαγόντες ὑπὸ τεῖχος ἄρειον.

πρόσκειται „ὑπὲρ δύο συλλαβάς" διὰ τὸ κρείττων ὦ κρεῖττον· τοῦτο γὰρ οὐ προπαροξύνεται κατὰ τὴν κλητικήν, ἀλλ' οὐκ ἔστιν ὑπὲρ δύο συλλαβάς. Καὶ ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα τὰ εἰς ων ἁπλᾶ οὐκ ἀναβιβάζουσι τὸν τόνον τῆς εὐθείας κατὰ τὴν κλητικήν, οἷον ὁ Φιλήμων ὦ Φίλημον, ὁ Νοήμων ὦ Νόημον, ὁ Μαχάων ὦ Μαχᾶον, ὁ Ἱκετάων ὦ Ἱκετᾶον, ποίῳ λόγῳ τὰ εἰς ων συγκριτικὰ ὑπὲρ δύο συλλαβὰς ὄντα προπαροξύνονται κατὰ τὴν κλητικήν, οἷον ὁ βελτίων ὦ βέλτιον, ὁ γλυκίων ὦ γλύκιον· ὅτι γὰρ ταῦτα προπαροξύνονται κατὰ τὴν κλητικήν, δηλοῦσι τὰ οὐδέτερα τούτων προπαροξυνόμενα, οἷον τὸ βέλτιον, τὸ γλύκιον. ἔστιν οὖν εἰπεῖν τὴν αἰτίαν ταύτην, ἥν φησιν ὁ Ἀπολλώνιος ἐν τῷ περὶ κατηναγκασμένων τόνων, ὅτι τὰ συγκριτικὰ προπαροξύνεσθαι θέλουσιν, οἷον ὀξύτερος, ταχύτερος, σοφώτερος, λογιώτερος· ἐπειδὴ οὖν ταῦτα τὰ εἰς ων συγκριτικά, φημὶ δὲ τὸ βελτίων καὶ ἀμείνων, διὰ τὴν ἐπὶ τέλους μακρὰν οὐκ ἠδύναντο προπαροξυνθῆναι κατὰ τὴν εὐθεῖαν (ἔχομεν γὰρ ὅτι φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς οὐδέποτε τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα ἤγουν οὐ προπαροξύνεται ἡ λέξις, οἷον Ὁμήρου, Ἀριστάρχου, Ἡροδότου), τούτου οὖν χάριν ἐν τῇ κλητικῇ τῆς μακρᾶς συσταλείσης, ἤγουν τοῦ ω εἰς τὸ ο, ἡ κεχρεωστημένη τάσις ἐν τῇ εὐθείᾳ προῆλθεν ἐν τῇ κλητικῇ, φημὶ δὲ ἡ προπαροξύτονος, καὶ λοιπὸν εὐλόγως προπαροξύνεται κατὰ τὴν κλητικὴν ἡ τούτων ἀκολουθία.

Τούτων οὕτως ἐχόντων δεῖ γινώσκειν ὅτι τὰ εἰς ω θηλυκά, ἐὰν μὲν ἔχωσι τὴ κλητικὴν εἰς ω, ὀξύνονται κατὰ τὴν κλητικὴν ὁμοίως τῇ εὐθείᾳ, οἷον ἡ Ἐρατώ ὦ Ἐρατώ,

εἰ δ' ἄγε νῦν Ἐρατώ,

ἐὰν δὲ εἰς τὴν οι δίφθογγον ἔχωσι τὴν κλητικήν, περισπῶνται κατὰ τὴν κλητικὴν ὁμοίως τῇ δοτικῇ, οἷον τῇ Λητοῖ ὦ Λητοῖ,

Λητοῖ ἐγὼ δέ τι οὔτι μαχέσομαι·

ἔχομεν γὰρ ἐν τοῖς προλαβοῦσιν ὅτι πᾶσα πτῶσις ὁμοφωνήσασα ἑτέρᾳ πτώσει κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ τὸν αὐτὸν ἐπιδέχεται τόνον.

Τοσαῦτα ἔχομεν εἰπεῖν περὶ τοῦ τόνου τῆς κλητικῆς.

ΠΕΡΙ ΤΟΥ ΤΟΝΟΥ ΤΗΣ ΕΥΘΕΙΑΣ ΤΩΝ ΔΥΙΚΩΝ.

Ἰστέον ὅτι αἱ εἰς ε λήγουσαι εὐθεῖαι τῶν δυϊκῶν ὁμοτόνως ἔχουσι τῇ εἰς α ληγούσῃ αἰτιατικῇ τῶν ἑνικῶν, οἷον ἀβλῆτα ἀβλῆτε,

λιμένα λιμένε, γυναῖκα γυναῖκε, θυγατέρα θυγατέρε, χῆνα χῆνε, Αἴαντα Αἴαντε, λέβητα λέβητε, Ξενοφῶντα Ξενοφῶντε, Ποσειδῶνα Ποσειδῶνε, Ὀδυσσέα Ὀδυσσέε. ἰστέον δὲ ὅτι ἡ εἰς ε̄ λήγουσα εὐθεῖα τῶν δυϊκῶν παροξυνομένη μὲν ἐν τῇ ἐντελείᾳ καὶ συναιρουμένη περισπᾶται, οἷον εὐγενέε εὐγενῆ, εὐσεβέε εὐσεβῆ· ἔχομεν γὰρ ἐν τοῖς προλαβοῦσιν ὅτι ἡ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, ποιέω ποιῶ· προπαροξυνομένη δὲ ἐν τῇ ἐντελείᾳ καὶ συναιρουμένη παροξύνεται, οἷον Δημοσθένεε Δημοσθένη, Διομήδεε Διομήδη· ἔχομεν γὰρ ὅτι ἡ ὀξεῖα καὶ αἱ δύο βαρεῖαι εἰς ὀξεῖαν καὶ βαρεῖαν συνέρχονται ἤγουν συναιροῦνται, οἷον Δημοσθένεος Δημοσθένους, Διομήδεος Διομήδους, τείχεα τείχη (τὸ γὰρ ἔαρος ἦρος καὶ κέαρος κῆρος διὰ τὸ εἶναι φύσει μακρὰν πρὸ μιᾶς βραχείας προπεριεσπάσθησαν). Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ἡ εὐθεῖα τῶν δυϊκῶν τὼ πρέσβη παρὰ τοῖς ῥήτορσι βαρυτόνως ἀναγινώσκεται, ὡς ἀπὸ τοῦ πρέσβυς πρέσβεος πρέσβεε πρέσβη, παρὰ δὲ Ἀριστοφάνει περισπωμένως

ἡκέτον πρέσβη δύο,

ὡς ἀπὸ εὐθείας ὀξυτόνου, οἷον ὡς ἀπὸ τοῦ ὁ πρεσβεύς τοῦ πρεσβέος τὼ πρεσβέε τὼ πρεσβῆ. Ταῦτα μὲν ἐν τούτοις.

Προσέθηκε δὲ ὁ τεχνικὸς λέγων ὅτι εἰ δὲ ἄλεκτος εὑρεθῇ (τουτέστιν εἰ μὴ λέγεται) εἰς ᾱ ἡ αἰτιατικὴ τῶν ἑνικῶν, ὁμότονος γίνεται ἡ εἰς ε̄ λήγουσα εὐθεῖα τῶν δυϊκῶν τῇ γενικῇ τῶν ἑνικῶν, οἷον πόλεως πόλεε, μάντεως μάντεε, βέλεος βέλεε, τείχεος τείχεε· οὐδὲ γάρ ἐστιν ἐπὶ τούτων εἰς ᾱ ἡ αἰτιατικὴ τῶν ἑνικῶν. δεῖ προσθεῖναι „χωρὶς τῶν εἰς ος ὀξυτόνων γενικῶν·“ ἐπὶ τούτων γὰρ οὐχ ὁμοτονεῖ ἡ εἰς ε̄ λήγουσα εὐθεῖα τῶν δυϊκῶν τῇ γενικῇ τῶν ἑνικῶν, οἷον μυός μύε, συός σύε, δρυός δρύε, κιός κίε (σημαίνει δὲ τὸν σκώληκα), λιός λίε (σημαίνει δὲ τὸν λέοντα)· οὐδέποτε γὰρ ἡ εἰς ε̄ λήγουσα εὐθεῖα τῶν δυϊκῶν ὀξύνεται, ὡς δηλοῦσι τὰ προλεχθέντα παραδείγματα. τὸ γὰρ τίνε καὶ τινέ πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὸν τόνον· τὸ μὲν γὰρ πευστικὸν βαρύνεται, οἷον τίνε, τὸ δὲ ἀνταποδοτικὸν ἤγουν ἀόριστον ὀξύνεται, οἷον τινέ.

Ταῦτα μὲν περὶ τῆς εἰς ε̄ ληγούσης εὐθείας τῶν δυϊκῶν.

Ἡ δὲ εἰς ω̄ λήγουσα καὶ εἰς ᾱ εὐθεῖα τῶν δυϊκῶν ἐν τῇ αὐτῇ συλλαβῇ ἔχει τὸν τόνον ἐν ᾗ καὶ ἡ γενικὴ τῶν ἑνικῶν, οἷον Ὁμήρου Ὁμήρω, ἀνθρώπου ἀνθρώπω, Ἀριστάρχου Ἀριστάρχω, ἀέλλης

ἀέλλα, τραπέζης τράπεζα, ἁμάξης ἅμαξα, καλοῦ καλὼ, σοφοῦ σοφώ. καὶ ταῦτα μὲν ἐν τῇ αὐτῇ συλλαβῇ ἔχουσι τὸν τόνον, οὐ τὸν αὐτὸν δὲ τόνον ἐπεδέξαντο· τὸ μὲν γὰρ καλοῦ καὶ σοφοῦ περισπᾶται, τὸ δὲ καλώ καὶ σοφώ ὀξύνεται. τὸ γὰρ ω̄ ἐν τοῖς δυϊκοῖς ἀποστρέφεται τὴν περισπωμένην τάσιν, οἷον σεμνώ, ἀγαθώ, καλώ, σοφώ, πτωχώ, δειλώ. ὅτι γὰρ τὸ ω̄ τὸ ἐν τοῖς δυϊκοῖς ἀποστρέφεται τὴν περισπωμένην τάσιν, δῆλον, εἴγε τὸ μὲν οἵ καὶ τὸ τούς ὀξυνόμενα καὶ προςλαμβάνοντα τὴν τῆς δε συλλαβῆς ἔκτασιν προπερισπῶνται, οἷον οἷδε, τοῖςδε, τῷ κανόνι τῷ λέγοντι ὅτι πᾶσα φύσει μακρὰ πρὸ μιᾶς συλλαβῆς βραχείας ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον περισπᾶται, ἡ δὲ εὐθεῖα τῶν δυϊκῶν γενομένη κατ' ἐπέκτασιν, οἷον τώδε οἱ ἄνθρωποι, οὐ προπερισπᾶται ἀλλὰ παροξύνεται διὰ τὸ [τὸ] ω̄ τὸ ἐν τοῖς δυϊκοῖς ἀποστρέφεσθαι τὴν περισπωμένην τάσιν, οἷον καλώ, σοφώ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἡ εἰς ᾱ λήγουσα εὐθεῖα τῶν δυϊκῶν ἀεὶ μακρὸν ἔχει τὸ ᾱ καὶ ἢ παροξύνεται ἢ ὀξύνεται ἢ περισπᾶται· οὐδέποτε γὰρ προπαροξύνεται ἢ προπερισπᾶται διὰ τὴν ἐπὶ τέλους φύσει μακράν. ὡς γὰρ ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, οὔτε πρὸ φύσει μακρᾶς τίθεται περισπωμένη, οὔτε φύσει μακρᾶς τῆς ἐπὶ τέλους οὔσης προπαροξύνεται ἡ λέξις. καὶ ἰστέον ὅτι εἰ μὲν παροξύνεται ἡ εἰς ᾱ λήγουσα εὐθεῖα τῶν δυϊκῶν, τῇ γενικῇ τῶν ἑνικῶν συντονοῦται, οἷον Ἀτρείδου Ἀτρείδα, Ὀρέστου Ὀρέστα, θυέλλης θυέλλα, ἁμάξης ἁμάξα· εἰ δὲ ἐπὶ τέλους ἔχει τὸν τόνον ἡ εἰς ᾱ λήγουσα εὐθεῖα τῶν δυϊκῶν, οὐκέτι τῇ γενικῇ τῶν ἑνικῶν συντονοῦται ἀλλὰ τῇ εὐθείᾳ τῶν ἑνικῶν· καὶ εἰ μὲν ἡ εὐθεῖα τῶν ἑνικῶν ὀξύνεται, καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν ὀξύνεται, οἷον κριτής κριτά, ποιητής ποιητά, αὐλητής αὐλητά, εὑρετής εὑρετά, λῃστής λῃστά· εἰ δὲ περισπᾶται ἡ εὐθεῖα τῶν ἑνικῶν, καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν περισπᾶται, οἷον Μηνᾶς Μηνᾶ, Ἑρμῆς Ἑρμᾶ, Φιλητᾶς Φιλητᾶ, χρυσῆ χρυσᾶ, χαλκῆ χαλκᾶ. Ταῦτα μὲν ἐν τούτοις.

Φησὶ δὲ ὁ τεχνικὸς ὅτι τὸ ἄμφω καὶ δύο θεματικά εἰσι, τουτέστιν οὐκ ἐγένοντο ἀπὸ ἑνικῶν· τὸ γὰρ σημαινόμενον κωλύει· πῶς γὰρ ὁ δύο ἀριθμὸς δύναται ἑνικῷ ἀριθμῷ θεωρεῖσθαι; Ἰστέον δὲ ὅτι τὸ μὲν ἄμφω ἀεὶ διὰ τοῦ ω̄ γράφεται καὶ χωρὶς ἄρθρου λέγεται, τὸ δὲ δύο καὶ διὰ τοῦ ο̄ γράφεται καὶ διὰ τοῦ ω̄, καὶ κοινῶς μὲν διὰ τοῦ ο̄ γράφεται, Ἀττικῶς δὲ διὰ τοῦ ω̄ καὶ ἀναλόγως τῷ δυϊκῷ ἀριθμῷ· τὸ γὰρ ω̄ τελικόν ἐστι τῆς εὐθείας

τῶν δυϊκῶν, οἷον Ὁμήρω, ἀνθρώπω. ἰστέον δὲ ὅτι ἐν μέτρω εὕρηται διὰ τοῦ ο̅ καὶ διὰ τοῦ ω̅, οἷον

παρώχηκε δὲ πλεονὶξ

τῶν δύο μοιράων

διὰ τοῦ ο̅, καὶ

δύω δὲ δυσὶν ἀντιφέρεσθαι

διὰ τοῦ ω̅. ἔστι δὲ καὶ δοιώ ἡ εὐθεῖα τῶν δυϊκῶν κατὰ διάλεκτον ὀξυτόνως διὰ τῆς ο̅ι̅ διφθόγγου, ὡς παρὰ τῷ ποιητῇ

δοιὼ δ᾽ οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν

καὶ πάλιν

δοιαὶ μὲν Μενελάῳ ἀρηγόνες εἰσὶ θεάων

καὶ πάλιν

δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει·

καὶ ἔστιν ἀπὸ τοῦ ὁ δοιάς τοῦ δοιοῦ, τοῦ σημαίνοντος τὸ ὁ διπλοῦς.

ΠΕΡΙ ΤΗΣ ΕΙΣ Α̅Ι̅Ν̅ ΛΗΓΟΥΣΗΣ ΓΕΝΙΚΗΣ ΤΩΝ ΔΥΙΚΩΝ.

Ἰστέον ὅτι ἡ εἰς α̅ι̅ν̅ λήγουσα γενικὴ τῶν δυϊκῶν ἀκολουθεῖ τῇ ἰδίᾳ εὐθείᾳ, τουτέστιν ἐν τῇ αὐτῇ συλλαβῇ ἔχει τὸν τόνον ἐν ᾗ καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν, οἷον Πέρσα Πέρσαιν, Αἰνεία Αἰνείαιν, Παπία Παπίαιν, κοχλία κοχλίαιν, τοξότα τοξόταιν, οὐ πάντως δὲ τὸν αὐτόν. πρόσκειται „οὐ πάντως δὲ τὸν αὐτόν" διὰ τὸ ποιητά ποιηταῖν, καλά καλαῖν· τὸ μὲν γὰρ ποιητά καὶ καλά ὀξύνονται πρὸς τὴν εὐθεῖαν τῶν ἑνικῶν τὴν ποιητής καὶ καλή, τὸ δὲ ποιηταῖν καὶ καλαῖν περισπᾶται τῷ κανόνι τῷ λέγοντι ὅτι πᾶσα γενικὴ καὶ δοτικὴ μακροκατάληκτος ἐπ᾽ ὀνομάτων, ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχουσα τὸν τόνον, περισπωμένην δέχεται. τὸν δὲ κανόνα τοῦτον εἰρήκαμεν ἐν τῇ περὶ τῆς γενικῆς τῶν ἑνικῶν διδασκαλίᾳ, ἡνίκα περὶ τῆς ἰᾶς καὶ μιᾶς διελάβομεν. ὅμως δὲ ἐν τῇ αὐτῇ συλλαβῇ ἐφυλάχθη ὁ τόνος. τὸ δὲ Πέρσα Πέρσαιν ἐν τῇ αὐτῇ συλλαβῇ ἐφυλάχθη ὁ τόνος καὶ ὁ αὐτός.

Ἔστι δὲ καὶ οὕτω λέγειν περὶ τῆς εἰς α̅ι̅ν̅ ληγούσης γενικῆς τῶν δυϊκῶν. αἱ εἰς αιν λήγουσαι γενικαὶ τῶν δυϊκῶν ἀπὸ μὲν βαρυνομένων εὐθειῶν δυϊκῶν οὖσαι συμβαρύνονται αὐταῖς, οἷον Ἀτρείδα Ἀτρείδαιν, Ὀρέστα Ὀρέσταιν, συκοφάντα συκοφάνταιν, τοξότα τοξόταιν, πολῖτα πολίταιν, τέχνα τέχναιν, κόρα κόραιν· ἀπὸ δὲ ὀξυνομένων ἢ περισπωμένων εὐθειῶν δυϊκῶν οὖσαι περισπῶνται, ἀπὸ μὲν

ὀξυνομένων οἷον κηδεστά κηδεσταῖν, ποιητά ποιηταῖν, αὐλητά αὐληταῖν, εὑρετά εὑρεταῖν, λῃστά λῃσταῖν, κριτά κριταῖν, ὑβριστά ὑβρισταῖν, ἀπὸ δὲ περισπωμένων οἷον Ἑρμᾶ Ἑρμαῖν, Ἀπελλᾶ Ἀπελλαῖν, Φιλητᾶ Φιληταῖν, χαλκᾶ χαλκαῖν, χρυσᾶ χρυσαῖν.

Καὶ ἀποροῦσί τινες λέγοντες διὰ τί ἡ Ἀτρείδαιν γενικὴ τῶν δυϊκῶν οὐ περισπᾶται ὁμοίως τῇ Ἀτρειδῶν γενικῇ τῶν πληθυντικῶν; καὶ ἐπιλύεται ὁ Ἡρωδιανὸς ἐν τῇ καθόλου, λέγων ὅτι ἡ Ἀτρείδαιν γενικὴ τῶν δυϊκῶν μᾶλλον τῇ Ἀτρείδαις δοτικῇ τῶν πληθυντικῶν ἀκολουθεῖ ἤπερ τῇ Ἀτρειδῶν γενικῇ τῶν πληθυντικῶν· κατὰ γὰρ τὴν φωνὴν τῇ δοτικῇ τῶν πληθυντικῶν πλησιάζει· τὴν αὐτὴν γὰρ δίφθογγον ἔχει. ἄλλως τε δὲ πᾶσαι αἱ πτώσεις βαρύνονται, οἷον Ἀτρείδης Ἀτρείδου Ἀτρείδῃ Ἀτρείδην, δυϊκὰ Ἀτρείδα Ἀτρείδαιν, πληθυντικὰ Ἀτρείδαις Ἀτρείδας· οὕτως οὖν καὶ Ἀτρείδαιν βαρυτόνως. μόνη δὲ ἡ Ἀτρειδῶν γενικὴ τῶν πληθυντικῶν περιεσπάσθη, ἐπειδὴ καὶ μόνη διῃρέθη, οἷον Ἀτρειδέων. ἐὰν βούλωνται οὖν περισπᾶν τὴν Ἀτρείδαιν γενικὴν τῶν δυϊκῶν ὁμοίως τῇ Ἀτρειδῶν γενικῇ τῶν πληθυντικῶν, καὶ μὴ βαρύνειν ὁμοίως ταῖς ἄλλαις πτώσεσι, δότωσαν ἐπ' αὐτῆς τὸ ἐξαίρετον ὅπερ ἔσχεν ἡ γενικὴ τῶν πληθυντικῶν, τουτέστι τὴν διαίρεσιν· εἰ δὲ οὐ διαιρεῖται, ἄρα οὐδὲ τὸν τόνον ἕξει τῆς γενικῆς τῶν πληθυντικῶν. Ταῦτα μὲν περὶ τῆς εἰς $\overline{\alpha\iota\nu}$ ληγούσης γενικῆς τῶν δυϊκῶν.

ΠΕΡΙ ΤΟΥ ΤΟΝΟΥ ΤΗΣ ΕΙΣ $\overline{\text{ΟΙΝ}}$ ΓΕΝΙΚΗΣ ΤΩΝ ΔΥΙΚΩΝ.

Ἡ δὲ εἰς $\overline{\text{οιν}}$ λήγουσα γενικὴ τῶν δυϊκῶν ἀπὸ μὲν εὐθείας τῆς εἰς $\overline{\omega}$ ληγούσης οὖσα ἐν τῇ αὐτῇ συλλαβῇ φυλάττει τὸν τόνον ἐν ᾗ καὶ ἡ εἰς $\overline{\omega}$ λήγουσα εὐθεῖα τῶν δυϊκῶν, οἷον καλλίστω καλλίστοιν, ἐρήμω ἐρήμοιν, ἀνθρώπω ἀνθρώποιν, ὤμω ὤμοιν, ἡμιόνω ἡμιόνοιν καὶ ποιητικῶς ἡμιόνοιιν ἀπὸ τοῦ ὄνω ὄνοιν, καλώ καλοῖν, σοφώ σοφοῖν. ταῦτα μὲν ἐν τῇ αὐτῇ συλλαβῇ ἐφύλαξαν τὸν τόνον, οὐ τὸν αὐτὸν δέ· τὸ μὲν γὰρ καλώ καὶ σοφώ ὀξύνεται πρὸς τὸν χαρακτῆρα τῶν εἰς $\overline{\omega}$ δυϊκῶν, τὸ δὲ καλοῖν καὶ σοφοῖν περισπῶνται τῷ κανόνι τῷ λέγοντι ὅτι πᾶσα γενικὴ καὶ δοτικὴ μακροκατάληκτος ἐπ' ὀνομάτων, ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχουσα τὸν τόνον, περισπωμένην δέχεται. δεῖ προσθεῖναι τῷ ἀνωτέρω κανόνι „πλὴν τοῦ ἄμφω ἀμφοῖν καὶ δύο δυοῖν·" ταῦτα

γὰρ οὐκ ἐφύλαξαν τὸν τόνον ἐν τῇ αὐτῇ συλλαβῇ· ἡ μὲν γὰρ εὐθεῖα τῶν δυϊκῶν βαρύνεται, ἡ δὲ γενικὴ περισπᾶται. τὸ δὲ δυοῖν γίνεται καὶ δυεῖν κατὰ τροπὴν τοῦ ο εἰς τὸ ε. δυνάμεθα δὲ ταῦτα θεματικὰ λέγειν, φημὶ δὲ τὸ ἀμφοῖν καὶ δυοῖν, ὥςπερ καὶ τὴν εὐθεῖαν τῶν δυϊκῶν θεματικὴν λέγομεν, φημὶ δὲ τὸ ἄμφω καὶ δύο.

Ἔστι δὲ καὶ οὕτως εἰπεῖν περὶ τῆς εἰς οιν ληγούσης γενικῆς τῶν δυϊκῶν. αἱ εἰς οιν λήγουσαι γενικαὶ τῶν δυϊκῶν ἀπὸ τῶν εἰς ω ληγουσῶν δυϊκων εὐθειῶν πεπτωκυῖαι ἀπὸ μὲν βαρυτόνων συμβαρύνονται, οἷον φηγίνω φηγίνοιν, δακτύλω δακτύλοιν, ὁμωνύμω ὁμωνύμοιν, ἡμιόνω ἡμιόνοιν, ἀνθρώπω ἀνθρώποιν, Ὁμήρω Ὁμήροιν, Ἀριστάρχω Ἀριστάρχοιν (περὶ γὰρ τοῦ ἄμφω ἀμφοῖν καὶ δύο δυοῖν εἰρήκαμεν), ἀπὸ δὲ ὀξυνομένων περισπῶνται, οἷον καλώ καλοῖν, σοφώ σοφοῖν, σεμνώ σεμνοῖν, ἀγαθώ ἀγαθοῖν, χαλεπώ χαλεποῖν, γεωργώ γεωργοῖν. εἰ δὲ ἔστιν εἰς οιν λήγουσα ἡ γενικὴ τῶν δυϊκῶν ἀπὸ τῆς εἰς ε ληγούσης εὐθείας τῶν δυϊκῶν, ὁμοτονεῖ τῇ γενικῇ τῶν πληθυντικῶν, καὶ εἰ μὲν περισπᾶται ἡ γενικὴ τῶν πληθυντικῶν, περισπᾶται καὶ ἡ γενικὴ τῶν δυϊκῶν, οἷον ἀνδρῶν ἀνδροῖν, φωτῶν φωτοῖν (ἐπὶ τῶν ἀνδρῶν), βοῶν βοοῖν, χειρῶν χειροῖν, μηνῶν μηνοῖν, χηνῶν χηνοῖν, δρυῶν δρυοῖν, συῶν συοῖν, φρενῶν φρενοῖν, χθονῶν χθονοῖν, γυναικῶν γυναικοῖν, θυγατρῶν θυγατροῖν, τινῶν τινοῖν, Δημοσθενῶν Δημοσθενοῖν, τειχῶν τειχοῖν, βελῶν βελοῖν, Διομηδῶν Διομηδοῖν, Ἀριστοφανῶν Ἀριστοφανοῖν, εἰ δὲ βαρύνεται ἡ γενικὴ τῶν πληθυντικῶν, συμβαρύνεται καὶ ἡ γενικὴ τῶν δυϊκῶν, οἷον παίδων παίδοιν, πάντων πάντοιν, Αἰάντων Αἰάντοιν, Λαχήτων Λαχήτοιν, λεβήτων λεβήτοιν, πενήτων πενήτοιν, Παρίδων Παρίδοιν, Δημοσθενέων Δημοσθενέοιν, βελέων βελέοιν, τειχέων τειχέοιν, καὶ κατὰ κρᾶσιν Δημοσθενῶν Δημοσθενοῖν, βελῶν βελοῖν, τειχῶν τειχοῖν περισπωμένως· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται ἤγουν συναιροῦνται, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, Ἡρακλέης Ἡρακλῆς. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες λέγοντες πῶς τὴν γενικὴν τῶν δυϊκῶν ἀπὸ τῆς γενικῆς τῶν πληθυντικῶν κανονίζει, μήπω τῆς γενικῆς τῶν πληθυντικῶν κανονισθείσης; ἔστιν οὖν εἰπεῖν ὅτι ἡ γενικὴ τῶν πληθυντικῶν σαφεστέρα ἐστὶ τῆς γενικῆς τῶν δυϊκῶν· μᾶλλον γὰρ πᾶσι δῆλόν ἐστι τὸ πάντων καὶ Αἰάντων ἤπερ τὸ πάντοιν καὶ

Αἰάντοιν. εἰκότως οὖν ἐκ τοῦ πᾶσι δήλου καὶ σαφεστέρου τὸ ἀσαφὲς ἐκανόνισεν.

Τούτων οὕτως ἐχόντων τὰ Ἀττικὰ τὸν τόνον τῆς εὐθείας τῶν δυϊκῶν φυλάττουσι καὶ τὸν αὐτὸν καὶ ἐν τῇ αὐτῇ συλλαβῇ, οἷον τὼ Μενέλεω τοῖν Μενέλεων, τὼ εὔγεω τοῖν εὔγεων, τὼ νεὼ τοῖν νεῷν, τὼ λεὼ τοῖν λεῷν.

Ταῦτα μὲν λέγομεν περὶ τῆς γενικῆς τῶν δυϊκῶν. περὶ δὲ τῆς κλητικῆς τῶν δυϊκῶν ἔστιν εἰπεῖν ὅτι ἡ αὐτή ἐστι τῇ εὐθείᾳ τῶν δυϊκῶν, ὥσπερ καὶ ἡ κλητικὴ τῶν πληθυντικῶν ἡ αὐτή ἐστι τῇ ἰδίᾳ εὐθείᾳ· τῶν γὰρ δυϊκῶν καὶ τῶν πληθυντικῶν ὡς ἡ ὀρθή, οὕτω καὶ ἡ κλητική.

ΠΕΡΙ ΤΟΥ ΤΟΝΟΥ ΤΗΣ ΕΥΘΕΙΑΣ ΤΩΝ ΠΛΗΘΥΝΤΙΚΩΝ.

Δεῖ γινώσκειν ὅτι πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ες λήγουσα βαρύνεσθαι θέλει, οἷον μῆνες, χῆνες, πάντες, παῖδες, Τρῶες, χθόνες, Αἴαντες, Λάχητες, Ξενοφῶντες, Ποσειδῶνες. τὸ γὰρ τίνες καὶ τινές πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὸν τόνον· τὸ μὲν γὰρ πευστικὸν βαρύνεται, οἷον τίνες εἰσί; τὸ δὲ ἀνταποδοτικὸν ἤγουν ἀόριστον ὀξύνεται, οἷον τινές. ἰστέον δὲ ὅτι πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ες λήγουσα ὁμότονός ἐστι τῇ εὐθείᾳ τῶν δυϊκῶν, οἷον μῆνε μῆνες, χῆνε χῆνες, πάντε πάντες, παῖδε παῖδες, Τρῶε Τρῶες, χεῖρε χεῖρες, χθόνε χθόνες, τίνε τίνες, Ἕκτορε Ἕκτορες, Αἴαντε Αἴαντες, λέβητε λέβητες, Πάριδε Πάριδες, γυναῖκε γυναῖκες, μητέρε μητέρες, θυγατέρε θυγατέρες. τούτων οὖν οὕτως ἐχόντων τὰ ἔχοντα σύμφωνον πρὸ τοῦ ε οὐ συναιροῦνται διὰ τὸ κωλύειν αὐτὰ τὸ σύμφωνον συναιρεῖσθαι, οἷον Ἕκτορες, Πάριδες, ὑπεσταλμένων τῶν εἰς ων συγκριτικῶν· ἐπὶ τούτων γὰρ κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν ἔνδεια γίνεται τοῦ ν καὶ κρᾶσις τῶν φωνηέντων, οἷον μείζων μείζονος μείζονες μείζοες μείζους, βελτίων βελτίονος βελτίονες βελτίοες βελτίους, κρείσσων κρείσσονος κρείσσονες κρείσσοες κρείσσους, ἀρείων ἀρείονος ἀρείονες ἀρείοες ἀρείους. τὰ μέντοι καθαρεύοντα κρᾶσιν ἀναδέχονται, καὶ εἰ μὲν προπαροξύνονται ἐν τῇ ἐντελείᾳ, ἐν τῇ συναιρέσει παροξύνονται, οἷον Δημοσθένεες Δημοσθένεις, Διομήδεες Διομήδεις, εὐμήκεες εὐμήκεις παροξυτόνως· ἡ γὰρ ὀξεῖα καὶ αἱ δύο βαρεῖαι εἰς ὀξεῖαν καὶ βαρεῖαν συνέρχονται, ὡς εἴρηται, οἷον τεῖχεος τείχους, βέλεος βέλους, ἤθεα ἤθη. εἰ δὲ

παροξύνονται ἐν τῇ ἐντελείᾳ, ἐν τῇ συναιρέσει περισπῶνται, οἷον εὐγενέες εὐγενεῖς, εὐσεβέες εὐσεβεῖς, εὐτυχέες εὐτυχεῖς περισπωμένως· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα, ὡς εἴρηται, εἰς περισπωμένην συνέρχονται, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, νοέω νοῶ. καὶ πάλιν ἔστιν ἐπιτηδέες καὶ κατὰ κρᾶσιν ἐπιτηδεῖς, καὶ βιοπλανέες καὶ κατὰ κρᾶσιν βιοπλανεῖς, καὶ λοιπὸν κατὰ ἀποβολὴν τοῦ ῑ γίνεται ἐπιτηδές καὶ βιοπλανές, ὡς παρὰ Καλλιμάχῳ

οὔτε βιοπλανὲς ἀγρὸν ἀπ' ἀγροῦ
φοιτῶσιν

καὶ παρὰ τῷ ποιητῇ

ἐς δ' ἐρέτας ἐπιτηδὲς ἀγείρομεν.

ἔστι δὲ αὕτη ἡ χρῆσις αἰτιατική, ἀπὸ τοῦ ἐπιτηδεῖς καὶ κατὰ ἀποβολὴν τοῦ ῑ ἐπιτηδές.

Αἱ μέντοι εἰς τὴν ōι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν ὁμότονοί εἰσι τῇ εὐθείᾳ τῶν ἑνικῶν καὶ ἐν τῇ αὐτῇ συλλαβῇ τὸν αὐτὸν τόνον φυλάττουσιν, οἷον Ὅμηρος Ὅμηροι, ἄνθρωπος ἄνθρωποι, λίθινος λίθινοι, Ἀρίσταρχος Ἀρίσταρχοι, φιλόσοφος φιλόσοφοι, φήγινος φήγινοι, δρύϊνος δρύϊνοι, πίσυνος πίσυνοι, ἀγκύλος ἀγκύλοι, ποικίλος ποικίλοι, ἐναντίος ἐναντίοι (ὅθεν καὶ εἰ μεγάλοι, δηλονότι καὶ ἡ σεσιγημένη εὐθεῖα ὁ μεγάλος), φίλος φίλοι, ξένος ξένοι, καλός καλοί, οἶκος οἶκοι, δῆμος δῆμοι, κῆπος κῆποι, δοῦλος δοῦλοι, σοφός σοφοί, σεμνός σεμνοί, ἀγαθός ἀγαθοί, ἐαρινός ἐαρινοί, χειμερινός χειμερινοί, Σαπφώ Σαπφοί, Καλυψώ Καλυψοί, Λητώ Λητοί, ἁγνός ἁγνοί, σιδηροῦς σιδηροῖ, ἀργυροῦς ἀργυροῖ, πορφυροῦς πορφυροῖ. ὅθεν τὸ ΧΑΛΚΟΙ καὶ ΧΡΥΣΟΙ διαφόρως τονοῦνται· ἀπὸ μὲν γὰρ τοῦ χαλκός καὶ χρυσός ὀξύνονται, οἷον χρυσοί χαλκοί, ἀπὸ δὲ τοῦ χρυσοῦς καὶ χαλκοῦς περισπῶνται, οἷον χρυσοῖ χαλκοῖ. Ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες λέγοντες διὰ τί τὸ μὲν οἶκοι καὶ δῆμοι προπερισπῶνται τῷ λόγῳ τῆς κοινῆς, τὸ δὲ χαλκοῖ καὶ χρυσοῖ περισπῶνται τῷ λόγῳ τῆς μακρᾶς; καὶ ἔστιν εἰπεῖν ὅτι ἐπὶ βαρυτόνων ἡ ōι καὶ ἡ ᾱι δίφθογγος ἐν τῇ εὐθείᾳ τῶν πληθυντικῶν ἀντὶ κοινῆς παραλαμβάνονται. καὶ δῆλον, εἴ γε τούτων ἐπὶ τέλους οὐσῶν πολλάκις τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα, οἷον Ὅμηροι, ἅμαξαι. οὕτως οὖν καὶ τὸ δῆμοι καὶ οἶκοι τῷ λόγῳ τῆς κοινῆς προπερισπῶνται. τὸ χαλκοῖ καὶ χρυσοῖ περισπῶνται ὁμοίως τῇ εὐθείᾳ τῶν ἑνικῶν τῇ χρυσοῦς καὶ χαλκοῦς.

Ταῦτα μὲν περὶ τῆς εἰς οι δίφθογγον ληγούσης εὐθείας τῶν πληθυντικῶν.

Αἱ δὲ εἰς αι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν μονογενεῖς μὲν οὖσαι ὁμοτονοῦσι τῇ εὐθείᾳ τῶν ἑνικῶν, ὁπότε μὴ εἴη πρὸ τέλους φύσει μακρὰ ἐπὶ βαρυτόνων. ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, οἷον κοχλίας κοχλίαι, Βορέας Βορέαι, τοξότης τοξόται, νίσσα νίσσαι, ἄελλα ἄελλαι, δόξα δόξαι, τράπεζα τράπεζαι, ἅμαξα ἅμαξαι, εὐνέτης εὐνέται, φυλέτης φυλέται, δεσπότης δεσπόται, γαμέτης γαμέται, ἡδονή ἡδοναί, ποιητής ποιηταί, ἀθλητής ἀθληταί, ἀγυιά ἀγυιαί,

σκιόωντό τε πᾶσαι ἀγυιαί,

ἡμέρα ἡμέραι. Πρόσκειται „ὁπότε μὴ εἴη πρὸ τέλους φύσει μακρὰ ἐπὶ βαρυτόνων," ἐπειδὴ ἐπὶ τούτων ἡ ὀξεῖα εἰς περισπωμένην μεθίσταται κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, οἷον Ἀτρείδης Ἀτρεῖδαι, Αἰνείας Αἰνεῖαι, πλανήτης πλανῆται, Θήβη Θῆβαι. ἰδοὺ γὰρ ἐπὶ τούτων ἡ μὲν εὐθεῖα τῶν ἑνικῶν παροξύνεται, ἐπειδὴ φύσει μακρά ἐστιν ἡ τελευταία συλλαβή. οὐδέποτε δέ, ὡς εἴρηται, πρὸ φύσει μακρᾶς τίθεται περισπωμένη, οἷον ἀνθρώπου, Ὁμήρου, κήπου, τείχους, ἡ δὲ εὐθεῖα τῶν πληθυντικῶν προπερισπᾶται, ἐπειδὴ φύσει μακρά ἐστι πρὸ μιᾶς βραχείας· ἡ γὰρ αι δίφθογγος ἐνταῦθα ἀντὶ κοινῆς παραλαμβάνεται. παρεσχηματισμέναι δὲ ἀρσενικοῖς οὖσαι αἱ εἰς τὴν αι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν ὁμοτονοῦσι τοῖς ἰδίοις ἀρσενικοῖς, τουτέστιν ἐν τῇ αὐτῇ συλλαβῇ φυλάττουσι τὸν τόνον ἐν ᾗ καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν ἀρσενικῶν ἔχει αὐτόν, οἷον τύπτοντες τύπτουσαι, χαρίεντες χαρίεσσαι, βοῶντες βοῶσαι, ποιοῦντες ποιοῦσαι, ταχέες ταχεῖαι, βραδέες βραδεῖαι. ταῦτα μὲν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν, οὐ τὸν αὐτὸν δέ· τὸ μὲν γὰρ ταχέες βραδέες παροξύνονται, τὸ δὲ ταχεῖαι καὶ βραδεῖαι προπερισπῶνται διὰ τὸ εἶναι φύσει μακρὰν πρὸ μιᾶς βραχείας. σοφοί σοφαί, καλοί καλαί, σεμνοί σεμναί, ἐναντίοι ἐναντίαι, λίθινοι λίθιναι, δρύϊνοι δρύϊναι, Βυζάντιοι Βυζάντιαι, Κνίδιοι Κνίδιαι, Ῥόδιοι Ῥόδιαι, τίμιοι τίμιαι, ὅσιοι ὅσιαι, δειλοί δειλαί, λόγιοι λόγιαι, πεντακόσιοι πεντακόσιαι, διακόσιοι διακόσιαι, ἥμεροι ἥμεραι τὸ τριγενές, τουτέστιν οἱ μὴ ὄντες ἄγριοι· ἐπὶ γὰρ τοῦ μονογενοῦς ἡμέρα ἡμέραι παροξυτόνως. οἱ μέντοι Ἀθηναῖοι ἐπὶ ταύτης τῆς λέξεως, καὶ μάλιστα οἱ νεώτεροι, προπαροξύνουσι· πέντε γὰρ ἥμεραι καὶ δέκα

ἡμέραι φασὶ προπαροξυτόνως, ὡς ἀπαγγέλλουσιν οἱ περὶ Ἀττικῆς συνηθείας γράψαντες. οὐ μόνον δὲ ἐπὶ ταύτης τῆς λέξεως τοῦτο ποιοῦσιν, λέγω δὲ προπαροξύνουσιν, ἀλλὰ καὶ ἐπὶ τῶν παραληγομένων τῷ ῑ, οἷον εὐπράξιαι, τιμώριαι, αἴτιαι, τραγῴδιαι, ὁμίλιαι, κωμῴδιαι· οὕτω γὰρ ἐπὶ τῶν μονογενῶν προπαροξυτόνως λέγουσιν οἱ Ἀθηναῖοι. πάλιν ἔστιν ἡ Ῥοδία ὄνομα κύριον καὶ ἡ Ῥοδία ἐθνικόν, καὶ ἐπὶ μὲν τοῦ ὀνόματος τοῦ κυρίου τὴν εὐθεῖαν τῶν πληθυντικῶν αἱ Ῥοδίαι φαμὲν παροξυτόνως, ὡς πρὸς τὴν εὐθεῖαν τῶν ἑνικῶν, ἐπειδὴ μονογενές ἐστιν, ἐπὶ δὲ τοῦ ἐθνικοῦ αἱ Ῥόδιαι φαμεν προπαροξυτόνως, ὡς πρὸς τὴν εὐθεῖαν τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ τὴν οἱ Ῥόδιοι. καὶ πάλιν ὑπάτη καὶ ὑπάται παροξυτόνως ἐπὶ τῆς χορδῆς· μονογενὲς γάρ ἐστιν· οἱ ὕπατοι δὲ καὶ αἱ ὕπαται ἐπὶ τοῦ ὑψηλοῦ προπαροξυτόνως· παρεσχημάτισται γὰρ ἀρσενικῷ. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ὁ Ἡρωδιανὸς ἐν τῇ καθόλου οὕτω κανονίζει τὰς εἰς τὴν ᾱι δίφθογγον ληγούσας εὐθείας τῶν πληθυντικῶν παρεσχηματισμένας ἀρσενικοῖς. φησὶ γὰρ ὅτι αἱ εἰς τὴν ᾱι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν παρεσχηματισμέναι ἀρσενικοῖς, ἐὰν μὲν ὦσιν ἀπὸ τῶν εἰς ο̄ς, τῷ τόνῳ τοῦ ἀρσενικοῦ ἀκολουθοῦσι, τουτέστι τῆς εὐθείας τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ, οἷον ποικίλοι ποικίλαι, ἐναντίοι ἐναντίαι, σοφοὶ σοφαί, καλοὶ καλαί, λίθινοι λίθιναι, δρύϊνοι δρύϊναι, ἅγιοι ἅγιαι, τίμιοι τίμιαι, ὅσιοι ὅσιαι, Λύκιοι Λύκιαι τὸ τριγενές· Λυκίαι δὲ τὸ μονογενὲς πρὸς τὸ Λυκία. ἐὰν δὲ μὴ ὦσιν ἀπὸ τῶν εἰς ος, τοῖς ἑνικοῖς ἑαυτῶν ἀκολουθοῦσι κατὰ τὸν τόνον, οἷον Θρῇσσα Θρῇσσαι, θῆσσα θῆσσαι (ἡ μισθῷ δουλεύουσα), τύπτουσα τύπτουσαι, χαρίεσσα χαρίεσσαι, τετυφυῖα τετυφυῖαι, ταχεῖα ταχεῖαι, βραδεῖα βραδεῖαι, μέλαινα μέλαιναι. τὸ δὲ Τρῳαὶ καὶ δμῳαὶ ὀξυνόμενα ὁμολογοῦσι πεπτωκέναι ἀπὸ ὀξυτόνου ἑνικοῦ Τρωὶ καὶ δμωί.

Τούτων οὕτως ἐχόντων τὰ Ἀττικὰ εἰς ω̄ καὶ εἰς ῑ λήγουσι κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν καὶ ὁμοτονοῦσι τῇ εὐθείᾳ τῶν ἑνικῶν, οἷον ὁ Εὔνεως οἱ Εὔνεῳ, ὁ Μενέλεως οἱ Μενέλεῳ, ὁ νεὼς οἱ νεῴ, ὁ λεὼς οἱ λεῴ.

Αἱ μέντοι εἰς ᾱ λήγουσαι εὐθεῖαι πληθυντικαὶ τῶν οὐδετέρων τριγενεῖς μὲν οὖσαι (τουτέστι παρεσχηματισμέναι ἀρσενικοῖς) ὁμοτονοῦσι τοῖς ἀρσενικοῖς ἤγουν τῇ εὐθείᾳ τῶν πληθυντικῶν τοῦ ἀρσενικοῦ, οἷον σεμνοὶ σεμνά, ἐναντίοι ἐναντία, δειλοὶ δειλά, λό-

φιοι λόγια, ἄξιοι ἄξια, τύπτοντες τύπτοντα, βοῶντες βοῶντα, κοῦφοι κοῦφα, σοφοὶ σοφά, φοβεροὶ φοβερά, χάλκεοι χάλκεα, χρύσεοι χρύσεα, ἀργύρεοι ἀργύρεα, σιδήρεοι σιδήρεα. μονογενεῖς δὲ οὖσαι, εἰ μὲν ἀπὸ ἰσοσυλλάβου γενικῆς ὦσι, συντονοῦνται τῇ ἰδίᾳ εὐθείᾳ τῶν ἑνικῶν, οἷον ξύλον ξύλα, δένδρον δένδρα, ξηρόν ξηρά, κάνεον κάνεα, κανοῦν κανᾶ, ὀστέον ὀστέα, ὀστοῦν ὀστᾶ, σφυρόν σφυρά, πλευρόν πλευρά, πυρόν πυρά. καὶ δῆλον ὅτι παρὰ τὸ πυρόν ἐστι τὰ πυρά, οἷον

χίλια ἄρα ἐν πεδίῳ πυρὰ καίετο.

ἐὰν δὲ ἀπὸ περιττοσυλλάβου γενικῆς ὦσιν αἱ εἰς $\overline{α}$ λήγουσαι εὐθεῖαι πληθυντικαὶ τῶν οὐδετέρων, ἀεὶ βαρύνονται, οἷον φίλημα φιλήματος φιλήματα, βῆμα βήματος βήματα, ὡς ὠτός ὦτα. καὶ παρὰ τὴν πυρός οὖν γενικὴν ἐὰν γένηται εὐθεῖα πληθυντικῶν, πύρα γίνεται καὶ βαρυτόνως ἀναγινώσκεται. κρέας κρέατος κρέατα, τεῖχος τείχεος τείχεα καὶ κατὰ κρᾶσιν τείχη, βέλος βέλεος βέλεα καὶ κατὰ κρᾶσιν βέλη.

ΠΕΡΙ ΤΟΥ ΤΟΝΟΥ ΤΗΣ ΓΕΝΙΚΗΣ ΤΩΝ ΠΛΗΘΥΝΤΙΚΩΝ.

Κανονίζει τὴν γενικὴν τῶν πληθυντικῶν τοῦτον τὸν τρόπον. πᾶσα εὐθεῖα πληθυντικῶν εἰς $\overline{ες}$ λήγουσα δισύλλαβος ἐπ' ὀνομάτων περισπᾷ τὴν ἰδίαν γενικήν, οἷον μῆνες μηνῶν, χῆνες χηνῶν, φῶτες φωτῶν, ἄνδρες ἀνδρῶν, χεῖρες χειρῶν, βόες βοῶν, σύες συῶν, μύες μυῶν. Πρόσκειται „δισύλλαβος" διὰ τὸ Αἴαντες Αἰάντων, Θόαντες Θοάντων, Λάχητες Λαχήτων, λέβητες λεβήτων· ταῦτα γὰρ οὐ περισπῶσι τὴν γενικὴν τῶν πληθυντικῶν, ἀλλ' οὐκ εἰσὶ δισύλλαβα. Πρόσκειται „ἐπ' ὀνομάτων" διὰ τὰς μετοχάς· αὗται γὰρ βαρύνονται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον δόντες δόντων, θέντες θέντων, φθάντες φθάντων, στάντες στάντων,

στάντων μὲν Μενέλαος ὑπείρεχεν εὐρέας ὤμους.

Σημειούμεθα ἐν τῷ κανόνι ἐννέα τινὰ ὡς μὴ περισπασθέντα κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν· εἰσὶ δὲ ταῦτα Τρῶες Τρώων, τίνες τίνων, πάντες πάντων, δμῶες δμώων, παῖδες παίδων, θῶες θώων (ἔστι δὲ θηρίου εἶδος· οἱ γὰρ ταχεῖς θοοὶ λέγονται), κρᾶτες κράτων (αἱ κεφαλαί), δᾷδες δᾴδων, λᾶες λάων. ταῦτα δὲ τὰ σεσημειωμένα δοκοῦσί τινες ὑπὸ ἀναλογίαν ἄγειν. λέγουσι γὰρ ὅτι τὸ Τρῶες Τρώων καὶ δμῶες δμώων καὶ θῶες θώων καὶ παῖδες παίδων ἐβαρύνθησαν πρὸς ἀντιδιαστολὴν τοῦ αἱ Τρωαὶ (ση-

μαίνει δὲ τὰς Τρωϊκὰς γυναῖκας) καὶ αἱ δμωαί (σημαίνει δὲ τὰς δούλας) καὶ αἱ θωαί ἐπὶ τῆς ζημίας καὶ αἱ πέδαι ἐπὶ τῶν δεσμῶν· ταῦτα γὰρ περισπῶσι τὰς γενικὰς τῶν πληθυντικῶν, οἷον Τρωῶν, δμωῶν, πεδῶν, θωῶν. πρὸς οὓς ἔστιν εἰπεῖν ὅτι κακῶς λέγετε· εἰ γὰρ καὶ τῷ τόνῳ συνέπιπτον, ἀλλ᾽ οὖν τῇ γραφῇ διεστέλλοντο. ἡ γὰρ γραφὴ οὐκ ἔστιν ἡ αὐτή· τὸ μὲν γὰρ Τρωαί καὶ δμωαί καὶ θωαί ἔχουσι τὸ ῑ προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν, τὸ δὲ Τρῶες δμῶες θῶες οὐκ ἔχουσι τὸ ῑ προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν· καὶ πάλιν τὸ παῖδες κατὰ τὴν παραλήγουσαν διὰ τῆς αι διφθόγγου γράφεται, τὸ δὲ πέδαι διὰ τοῦ ε ψιλοῦ. τὸ δὲ τίνες τίνων πρὸς ἀντιδιαστολὴν τοῦ τινῶν λέγουσι βαρύνεσθαι· δεῖ γὰρ γινώσκειν ὅτι τοῦτο πευστικὸν μὲν ὂν βαρύνεται, ἀνταποδοτικὸν δὲ ἤγουν ἀόριστον περισπᾶται, οἷον τίνων ἤκουσας; τινῶν. καὶ τὸ λᾶες δὲ λάων πρὸς ἀντιδιαστολὴν τοῦ οἱ λαοί τῶν λαῶν λέγουσι βαρύνεσθαι· τοῦτο δὲ καλῶς ἔχει. καὶ τὸ κρᾶτες δὲ κράτων πρὸς ἀντιδιαστολὴν τοῦ τὰ κράτη τῶν κρατῶν λέγουσι βαρύνεσθαι. τὸ δὲ δᾶδες δᾴδων οὐκ ἔστι φύσει δισύλλαβον· ἀπὸ γὰρ τοῦ δαΐδων κατὰ συναίρεσιν ἐγένετο δᾴδων, καὶ ἐφύλαξε τὴν αὐτὴν τάσιν. μηδεὶς δὲ οἰέσθω τὴν δᾳδός γενικὴν τῶν ἑνικῶν ἀπὸ ἐντελοῦς τῆς δαΐδος γενέσθαι κατὰ συναίρεσιν, ἐπεὶ εἶχε καὶ αὐτὴ βαρύνεσθαι· ἀλλ᾽ ἐν τῇ εὐθείᾳ ἐγένετο ἡ συναίρεσις, οἷον δαῒς δᾷς, κἀκεῖθεν ἡ κλίσις. τὸ δὲ πάντων λέγουσιν ὅτι ἀπὸ τοῦ ἅπαντες ἁπάντων ἐγένετο κατ᾽ ἀφαίρεσιν, καὶ ἐφύλαξε τὴν βαρεῖαν τάσιν. τοῦτο δὲ οὐκ ἔστι καταναγκαστικόν· ἰδοὺ γὰρ καὶ ἐπὶ τοῦ ἅπας ἅπαντος ἡ γενικὴ τῶν ἑνικῶν ἡ παντός, γινομένη κατὰ ἀφαίρεσιν τοῦ α, οὐκ ἐφύλαξε τὴν βαρεῖαν τάσιν ἀλλ᾽ ἐγένετο ἐν ὀξείᾳ τάσει, παντός, πρὸς τὸν χαρακτῆρα τῶν εἰς ος δισυλλάβων γενικῶν ὀνομάτων, οἷον ὥσπερ μηνός, χηνός, γραός, παιδός, φωτός, βοός, φρενός, χθονός. ἕτεροι δὲ λέγουσιν ὅτι, ἐπειδὴ ἡ δοτικὴ τῶν πληθυντικῶν ἡ πᾶσι βαρύνεται, τούτου χάριν καὶ ἡ γενικὴ τῶν πληθυντικῶν ἡ πάντων βαρύνεται. οὐδ᾽ οὗτοι δὲ ἀκριβῶς λέγουσιν· ἰδοὺ γὰρ καὶ ἡ Τρωσί καὶ παισί δοτικὴ τῶν πληθυντικῶν ὀξύνεται, καὶ ὅμως ἡ Τρώων καὶ παίδων γενικὴ τῶν πληθυντικῶν βαρύνεται. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι μὴ μόνον ταῦτα τὰ ἐννέα σεσημειωμένα, ἀλλὰ καὶ τὸ σέες σέων ἐπὶ τῶν σκωλήκων, ὡς παρὰ Ἀριστοφάνει

ὑπὸ τῶν σέων καταπονούμενον

καὶ τὸ φῴδων, ὡς παρ' Ἀριστοφάνει

πλὴν φῴδων ἐκ βαλανείου.

σημαίνει δὲ τὰ καύματα τῶν χειρῶν. ἔστι δὲ καὶ τὸ οὐδένες οὐδένων· καὶ τοῦτν γὰρ βαρυτόνως ἐπεκράτησεν ἀναγινώσκεσθαι. καὶ τοῦ Φθάς Φθάντος κυρίου ὀνόματος ἐὰν κλίνωμεν τὰ πληθυντικά, βαρυτόνως λέγομεν τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον Φθάντων, τῷ λόγῳ τῶν μετοχῶν, ὥσπερ στάντες στάντων, βάντες βάντων, δόντες δόντων· μετοχικὸν γάρ ἐστι, καὶ λοιπὸν τὸν τόνον τῆς φθάντος φθάντων μετοχῆς ἀνεδέξατο, φημὶ δὲ τῆς σημαινούσης τὸ προλαβόντων. Ἔστιν οὖν ἀπολογήσασθαι περὶ ὅλων τῶν σεσημειωμένων οὕτως. τὰ εἰς σ λήγοντα μονοσύλλαβα περιττοσυλλάβως κλινόμενα ταύτην ἔχουσι τὴν διαίρεσιν. τὰ μὲν ὀξύτονα ἐὰν μὲν διὰ συμφώνου κλίνωνται, περισπῶσι τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον σής σητός σῆτες σητῶν, Κρής Κρητός Κρῆτες Κρητῶν, θής θητός θῆτες θητῶν (σημαίνει δὲ τὸν μισθωτόν), γνής γνητός γνῆτες γνητῶν· ἐὰν δὲ διὰ καθαροῦ τοῦ ος κλιθῶσι, βαρύνονται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον Τρώς Τρωός Τρῶες Τρώων, δμώς δμωός δμῶες δμώων, θώς θωός θῶες θώων (ἔστι δὲ εἶδος θηρίου), σεύς σέος σέες σέων (σημαίνει δὲ τοὺς σκώληκας)· τούτῳ γὰρ τῷ κανόνι βαρύνονται. τὸ δὲ τίνων καὶ κράτων πρὸς διάφορον σημασίαν διάφορον ἔχουσι καὶ τὸν τόνον· τὸ γὰρ τίνων πευστικὸν μὲν ὑπάρχον βαρύνεται, ἀνταποδοτικὸν δὲ ἤγουν ἀόριστον περισπᾶται, οἷον τίνων ἤκουσας; τινῶν. καὶ τὸ κράτων δὲ ἀπὸ τοῦ κρᾶτες (ὃ σημαίνει τὴν κεφαλήν) ὑπάρχον βαρύνεται, ἀπὸ δὲ τοῦ τὰ κράτη ὑπάρχον περισπᾶται, οἷον τὰ κράτη τῶν κρατῶν. τὸ δὲ φῴδων καὶ δᾴδων ἀπὸ τοῦ φωΐδων καὶ δαΐδων γινόμενα κατὰ συναίρεσιν τὴν βαρεῖαν τάσιν ἐφύλαξαν. Ταῦτα μὲν περὶ τῶν ὀξυνομένων. τὰ δὲ περισπώμενα ἐκ τοῦ ἐναντίου γίνονται· ἐὰν μὲν γὰρ διὰ καθαροῦ τοῦ ος κλίνωνται, περισπῶσι τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον μῦς μυός μύες μυῶν, βοῦς βοός βόες βοῶν, σῦς συός σύες συῶν, δρῦς δρυός δρύες δρυῶν, ἐὰν δὲ διὰ συμφώνου κλίνωνται, βαρύνονται ἐν τῇ γενικῇ τῶν πληθυντικῶν, οἷον παῖς παιδός παῖδες παίδων, πᾶς παντός πάντες πάντων. τὰ δὲ λάων ἐβαρύνθη πρὸς ἀντιδιαστολὴν τοῦ οἱ λαοί τῶν λαῶν. ἄλλως τε δὲ οὔτε ἔστι τοῦτο ἀπὸ μονοσυλλάβου εὐθείας τῆς λᾶς, ἀλλ' ἀπὸ δισυλλάβου τῆς λᾶας· ἀπὸ γὰρ τοῦ λᾶας γέγονεν ἡ γενικὴ λάαος, καὶ κατὰ κρᾶσιν τῶν δύο

αᾶ εἰς ἓν ᾶ, δηλονότι μακρόν, λᾶος, οἷον

λᾶος ὑπὸ ῥιπῆς·

καὶ λοιπὸν ἡ εὐθεῖα τῶν πληθυντικῶν λάαες λᾶες καὶ ἡ γενικὴ λαάων λάων. Ταῦτα μὲν ἐν τούτοις.

Δοκεῖ δὲ ὁ Ἡρωδιανὸς λαμβάνεσθαι τούτου τοῦ κανόνος, καὶ λέγει ὅτι κακῶς λαμβάνει τὸν κανόνα. πρῶτον μὲν γὰρ ὅτι ἀπὸ τῶν σεσημειωμένων πλέκει τὸν κανόνα, δεύτερον δὲ ὅτι ἀντίκειται τούτοις τὸ κίς κιός καὶ λίς λιός· ταῦτα γὰρ ὀξύνονται κατὰ τὴν εὐθεῖαν τῶν ἑνικῶν καὶ διὰ καθαροῦ τοῦ ος κλίνονται, καὶ ὅμως οὐ βαρύνονται ἐν τῇ γενικῇ τῶν πληθυντικῶν ἀλλὰ περισπῶνται· κιῶν γὰρ καὶ λιῶν περισπωμένως. Ἔστι δὲ εἰπεῖν πρὸς αὐτὸν ὅτι κακῶς κατατρέχει τοῦ κανόνος. πρῶτον μὲν γὰρ ὅτι, εἰ καί, ὡς λέγεις, ἀπὸ τῶν σεσημειωμένων πέπλεκται ὁ κανών, οὐκ ἄτοπον καὶ ἀπὸ τριῶν καὶ ἀπὸ τεσσάρων πλέκειν κανόνα· καὶ σὺ γὰρ κέχρησαι διαφόροις κανόσι τοιούτοις· πλέκεις γὰρ κανόνα καὶ ἀπὸ δύο παραδειγμάτων. πολλῷ οὖν μᾶλλον ἀπὸ πλειόνων πλεκόμενος ὁ κανὼν οὐδεμίαν μέμψιν ἑαυτῷ προσφέρει. δεύτερον δὲ οὐχ ὡς λέγεις αὐτός, ἀπὸ τῶν σεσημειωμένων πέπλεκται ὁ κανών, ἀλλὰ καθόλου πάντα τὰ εἰς σ λήγοντα μονοσύλλαβα περιττοσυλλάβως κλινόμενα περιλαμβάνει ὁ κανών, εἴτε ὀξύτονά εἰσιν εἴτε περισπώμενα, ὡς ἐπὶ τοῦ Κρής Κρητός, σής σητός, δρῦς δρυός, μῦς μυός, βοῦς βοός· ταῦτα δὲ οὐκ εἰσὶν ἐκ τῶν σεσημειωμένων. περὶ μέντοι τοῦ κίς κιός καὶ λίς λιός, ὅτι λέγει ταῦτα ἀντικεῖσθαι τῷ κανόνι, αὐτὸς ἐν ἑτέροις ἐσημειώσατο λέγων ἡμαρτημένα εἶναι εἴτε κατὰ τόνον εἴτε κατὰ κλίσιν· ἢ γάρ, φησίν, ὀξύτονα ὄντα ὤφειλον διὰ συμφώνου κλίνεσθαι, εἴτε διὰ καθαροῦ τοῦ ος κλινόμενα οὐκ ὤφειλον ὀξυτονεῖσθαι κατὰ τὴν εὐθεῖαν· τὰ γὰρ εἰς ις ὀξύτονα οὐδέποτε διὰ καθαροῦ τοῦ ος κλίνονται, ἀσπίς ἀσπίδος, βολίς βολίδος, κρηπίς κρηπῖδος, κνημίς κνημῖδος, βασιλίς βασιλίδος. καὶ κέχρηται τοιούτῳ παραδείγματι, ὅτι ὥσπερ Πάρις Πάριδος καὶ Θέτις Θέτιδος καὶ μῆνις μήνιδος, ἐπειδὴ βαρύτονά εἰσι κατὰ τὴν εὐθεῖαν, γίνονται παρὰ τοῖς Ἴωσι διὰ καθαροῦ τοῦ ος κατὰ τὴν γενικήν, οἷον Πάριος, Θέτιος, μήνιος (ἴδιον γάρ ἐστι τῶν εἰς ις βαρυτόνων τὸ διὰ καθαροῦ τοῦ ος κλίνεσθαι, οἷον ὄφις ὄφιος, μάντις μάντιος, πόλις πόλιος), τὰ μέντοι εἰς ις ὀξύτονα, οἷον κρηπίς κρηπῖδος, ἀσπίς ἀσπίδος, ῥανίς ῥανίδος, οὐ γίνονται παρὰ τοῖς Ἴωσι διὰ καθαροῦ τοῦ ος (τοῦτο γὰρ ἀλλό-

τριόν ἐστι τῶν εἰς ις ὀξυτόνων, λέγω δὲ τὸ ἔχειν γενικὴν διὰ καθαροῦ τοῦ ος ἐκφερομένην), οὕτω καὶ τὸ κίς καὶ τὸ λίς ὀξυνόμενα καὶ εἰς ις λήγοντα οὐκ ὤφειλον ἔχειν τὴν γενικὴν διὰ καθαροῦ τοῦ ος, ἢ ἔχοντα τὴν γενικὴν διὰ καθαροῦ τȣ̃ ος ȣ̓κ ὤφειλον ὀξύνεσθαι κατὰ τὴν εὐθεῖαν ἀλλὰ δηλονότι περισπᾶσθαι. εἰ ἄρα ȣ̓̃ν αὐτὸς παρέθετο τὸ κίς καὶ τὸ λίς παράλογα ἢ κατὰ τόνον ἢ κατὰ κλίσιν, πῶς λέγει ταῦτα ἐναντιοῦσθαι τῷ κανόνι τούτῳ, φημὶ δὲ τῷ περὶ τῆς γενικῆς τῶν πληθυντικῶν; ὥστε ȣ̓̃ν ȣ̓χ ὑγιῶς τέθεικε ταῦτα τὰ παραδείγματα ἐναντιȣ̃μενα τῷ κανόνι τȣ́τῳ. Ταῦτα μὲν ἐν τȣ́τοις.

Ἰστέον δὲ ὅτι αἱ εἰς τὴν αι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν ἀρσενικαὶ μὲν οὖσαι περισπῶσι τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον Ὀρέσται Ὀρεστῶν, τοξόται τοξοτῶν, Ἀτρεῖδαι Ἀτρειδῶν, Αἰνεῖαι Αἰνειῶν, πολῖται πολιτῶν, χρυσαῖ χρυσῶν, Πέρσαι Περσῶν, Σκύθαι Σκυθῶν, ναῦται ναυτῶν, δημόται δημοτῶν, χωρὶς τοῦ χλοῦναι χλούνων καὶ χρῆσται χρήστων καὶ ἐτησίαι ἐτησίων· ταῦτα γὰρ οὐ περισπῶνται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν ἀλλὰ βαρύνονται. Θέλουσι δέ τινες ἀπολογεῖσθαι περὶ τούτων οὕτως, ὅτι ἀπὸ τοῦ χλοεῦναι χλοεύνων ἐγένετο χλοῦναι χλούνων, καὶ ἐφύλαξε τὴν βαρεῖαν τάσιν· χλοῦναι δέ εἰσιν οἱ σύαγροι οἱ ἐν ταῖς χλόαις εὐναζόμενοι καὶ διατρίβοντες. τὸ δὲ χρῆσται χρήστων λέγουσι πρὸς ἀντιδιαστολὴν τοῦ οἱ χρηστοί τῶν χρηστῶν ἐπὶ τῶν καλῶν· χρῆσται δέ εἰσιν οἱ δανείζοντες καὶ οἱ δανειζόμενοι. τὸ δὲ ἐτησίαι ἐτησίων λέγουσιν ὅτι συνέδραμε κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν τοῦ ἐτήσιοι ἐτησίων· ἐτησίαι δέ εἰσιν οἱ ἄνεμοι οἱ κατ᾽ ἔτος πνέοντες. Θηλυκαὶ δὲ οὖσαι αἱ εἰς τὴν αι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν, εἰ μέν εἰσι μονογενεῖς, περισπῶνται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον Μοῦσαι Μουσῶν, ἄελλαι ἀελλῶν, ἅμαξαι ἁμαξῶν, τράπεζαι τραπεζῶν, ἄκανθαι ἀκανθῶν, εὔθυναι εὐθυνῶν, ἕρσαι ἑρσῶν, κλῖναι κλινῶν, Ἀφροδῖται Ἀφροδιτῶν, χωρὶς τοῦ ἀφύαι ἀφύων· τοῦτο γὰρ πρὸς ἀντιδιαστολὴν τοῦ οἱ ἀφυεῖς τῶν ἀφυῶν ἐβαρύνθη· ἀφύαι δέ εἰσιν εἶδος ἰχθύος μικροῦ. εἰ δέ εἰσι παρεσχηματισμέναι ἀρσενικοῖς, ἐὰν μὲν ὁμοφωνῶσι τῇ γενικῇ τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ, καὶ ὁμοτονοῦσιν αὐτῇ, οἷον οἱ Ῥόδιοι τῶν Ῥοδίων καὶ αἱ Ῥόδιαι τῶν Ῥοδίων· μία φωνὴ καὶ εἷς ὁ τόνος· οἱ Βυζάντιοι τῶν Βυζαντίων καὶ αἱ Βυζάντιαι τῶν Βυζαντίων, οἱ ἅγιοι τῶν ἁγίων καὶ αἱ ἅγιαι τῶν ἁγίων, οἱ δίκαιοι τῶν δικαίων καὶ αἱ δί-

καιαι

καιαι τῶν δικαίων, οἱ φίλοι τῶν φίλων καὶ αἱ φίλαι τῶν φίλων, οἱ δοῦλοι τῶν δούλων καὶ αἱ δοῦλαι τῶν δούλων, οἱ καλοὶ τῶν καλῶν καὶ αἱ καλαὶ τῶν καλῶν, οἱ σοφοὶ τῶν σοφῶν καὶ αἱ σοφαὶ τῶν σοφῶν, οἱ Λύκιοι τῶν Λυκίων καὶ αἱ Λύκιαι τῶν Λυκίων. περὶ δὲ τῆς χώρας αἱ Λυκίαι τῶν Λυκιῶν περισπωμένως· μονογενὲς γάρ. οἱ ὕπατοι καὶ αἱ ὕπαται τῶν ὑπάτων,

κοῦραι πετράων ἔῤῥιπον ἐξ ὑπάτων,

ἐπὶ δὲ τῆς χορδῆς ἡ ὑπάτη τῆς ὑπάτης καὶ αἱ ὑπάται τῶν ὑπατῶν περισπωμένως· μονογενὲς γάρ. ἐὰν δε παραλλάξωσι κατὰ τὴν φωνὴν πρὸς τὴν γενικὴν τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ, καὶ τῷ τόνῳ παραλλάσσουσι καὶ περισπῶνται αἱ θηλυκαὶ γενικαὶ τῶν πληθυντικῶν, οἷον οἱ μέλανες τῶν μελάνων καὶ αἱ μέλαιναι τῶν μελαινῶν, οἱ μάκαρες τῶν μακάρων καὶ αἱ μάκαιραι τῶν μακαιρῶν, οἱ πάντες τῶν πάντων καὶ αἱ πᾶσαι τῶν πασῶν, οἱ γράφοντες τῶν γραφόντων καὶ αἱ γράφουσαι τῶν γραφουσῶν, οἱ χαρίεντες τῶν χαριέντων καὶ αἱ χαρίεσσαι τῶν χαριεσσῶν, οἱ ὀξεῖς τῶν ὀξέων καὶ αἱ ὀξεῖαι τῶν ὀξειῶν, οἱ ποιοῦντες τῶν ποιούντων καὶ αἱ ποιοῦσαι τῶν ποιουσῶν. ἰδοὺ αὗται αἱ θηλυκαὶ γενικαὶ τῶν πληθυντικῶν, παραλλάξασαι τῇ φωνῇ πρὸς τὴν γενικὴν τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ, καὶ τῷ τόνῳ παρήλλαξαν καὶ περιεσπάσθησαν. ἀμέλει ἐὰν μέν, ὡς εἴρηται, ὁμοφωνοῶιν αἱ θηλυκαὶ γενικαὶ τῶν πληθυντικῶν ταῖς πληθυντικαῖς γενικαῖς τῶν ἀρσενικῶν, παρ' ἡμῖν δηλονότι, καὶ ὁμότονοι γίνονται· ἐὰν δὲ παρὰ ταῖς διαλέκτοις τρέψωσι τὸ ω̄ εἰς τὸ ᾱ αἱ θηλυκαὶ γενικαί, οὐκέτι φυλάττουσι τὴν αὐτὴν τάσιν ἀλλὰ περισπῶνται, οἷον κυάνεοι κυανέων καὶ κυάνεαι κυανέων, ἀμφότεροι ἀμφοτέρων καὶ ἀμφότεραι ἀμφοτέρων. ἰδοὺ γὰρ ταῦτα ὁμοτονοῦσιν, ἐπειδὴ καὶ ὁμοφωνοῦσιν. ὅταν δὲ γένωνται κατὰ τροπὴν Δωρικὴν τοῦ ω̄ εἰς τὸ ᾱ, τότε καὶ περισπῶνται, οἷον κυανεᾶν καὶ ἀμφοτερᾶν ἀντὶ τοῦ κυανεῶν καὶ ἀμφοτερῶν. καὶ ἐπὶ τῶν ὁμοίων ὁ αὐτὸς λόγος. Λέγει δὲ ὁ τεχνικὸς ὅτι δοκεῖ ἀντικεῖσθαι τὸ πόρνοι πόρνων καὶ πόρναι πορνῶν, καὶ τὸ βάκχοι βάκχων καὶ βάκχαι βακχῶν, καὶ τὸ ὄχθοι ὄχθων καὶ ὄχθαι ὀχθῶν, καὶ τὸ πέτροι πέτρων καὶ πέτραι πετρῶν, καὶ τὸ χῆροι χήρων καὶ χῆραι χηρῶν, καὶ τὸ κοῦροι κούρων καὶ κοῦραι κουρῶν· ἐπὶ τούτων γὰρ μία φωνὴ τῆς γενικῆς τῶν πληθυντικῶν τοῦ ἀρσενικοῦ καὶ θηλυκοῦ, καὶ οὐκ ἔστιν εἷς ὁ τόνος· τὰ γὰρ θηλυκὰ περισπῶν-

ται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν. καὶ ἐπιφέρει ἀπολογίαν, λέγων ὅτι οὐκ ἔστιν ἐπὶ τούτων τὰ θηλυκὰ παρεσχηματισμένα ἀπὸ τῶν ἀρσενικῶν, ἀλλὰ ταῦτα πάντα τὰ θηλυκὰ μονογενῆ εἰσὶ καὶ ὡς μονογενῆ περιεσπάσθησαν, τὰ δὲ ἀρσενικὰ τοὐναντίον παρωνύμως ἐγένοντο ἀπὸ τῶν θηλυκῶν· ἡ γὰρ σημασία τούτων μᾶλλον τοῖς θηλυκοῖς ἁρμόζει. τοιοῦτον δέ ἐστι καὶ τὸ παιδίσκη· ὥσπερ γὰρ ἀπὸ τοῦ λεκάνη γίνεται λεκανίσκη, οὕτω καὶ ἀπὸ τοῦ παῖς κοινοῦ ὄντος τῷ γένει (ὁ παῖς γὰρ καὶ ἡ παῖς) γίνεται ὁ παιδίσκος καὶ οἱ παιδίσκοι τῶν παιδίσκων βαρυτόνως, ἀπὸ δὲ τοῦ θηλυκοῦ τοῦ παῖς γίνεται ἡ παιδίσκη καὶ αἱ παιδίσκαι τῶν παιδισκῶν περισπωμένως ὡς μονογενές,

τῶν παιδισκῶν τινὶ δούς

παρὰ τῷ Μενάνδρῳ ἐν τῷ Ἥρωϊ. Ταῦτα μὲν ἐν τούτοις.

Λέγουσι δέ τινες ὅτι δεῖ προςθεῖναι „χωρὶς τῶν εἰς $\overline{\epsilon\varsigma}$ θηλυκῶν·" ἔστι γὰρ οἱ Δαναΐδαι τῶν Δαναϊδῶν καὶ οἱ Πριαμίδαι τῶν Πριαμιδῶν περισπωμένως, αἱ Δαναΐδες δὲ τῶν Δαναΐδων καὶ αἱ Πριαμίδες τῶν Πριαμίδων βαρυτόνως, καὶ ἰδοὺ ὁμοφωνοῦσι ταῦτα κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν καὶ οὐχ ὁμοτονοῦσιν. οὗτοι δὲ οὐκ ἐσκέψαντο τὸν κανόνα· ὁ γὰρ κανὼν περὶ τῶν εἰς $\overline{\alpha\iota}$ θηλυκῶν λέγει τῶν παρεσχηματισμένων ἀρσενικοῖς, οὐ μὴν περὶ οἱουδήποτε θηλυκοῦ παρεσχηματισμένου ἀρσενικοῖς. ταῦτα δὲ οὐκ εἰσὶν εἰς τὴν $\overline{\alpha\iota}$ δίφθογγον λήγοντα ἀλλ' εἰς $\overline{\epsilon\varsigma}$, καὶ λοιπὸν τῷ λόγῳ τῶν εἰς $\overline{\epsilon\varsigma}$ θηλυκῶν πληθυντικῶν τῶν ὑπὲρ δύο συλλαβὰς ὑπάγεται, περὶ ὧν εὐθέως ἐροῦμεν. αἱ μέντοι εἰς $\overline{\epsilon\varsigma}$ λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν ὑπὲρ δύο συλλαβὰς οὖσαι βαρύνουσι τὰς γενικὰς τῶν πληθυντικῶν, οἷον ἀσπίδες ἀσπίδων, βολίδες βολίδων, ῥανίδες ῥανίδων, Ξενοφῶντες Ξενοφώντων, Ποσειδῶνες Ποσειδώνων, Αἴαντες Αἰάντων, Θόαντες Θοάντων, Λάχητες Λαχήτων, πένητες πενήτων, Κίλικες Κιλίκων, Αἰθίοπες Αἰθιόπων, πήχεες πηχέων, πελέκεες πελεκέων, τοῦ τόνου κατεβιβασθέντος ἐπὶ τούτων μίαν συλλαβὴν διὰ τὴν ἐπὶ τέλους φύσει μακράν. δεῖ προςθεῖναι „χωρὶς τοῦ γυναῖκες γυναικῶν καὶ θυγατέρες θυγατρῶν,"

Λαοδίκην ἐπάγουσαν θυγατρῶν εἶδος ἀρίστην·

ταῦτα γὰρ οὐ μόνον κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν εἰσὶ παράλογα ὡς περισπασθέντα, ἀλλὰ καὶ κατὰ τὴν γενικὴν τῶν ἑνικῶν ὡς ὀξυνόμενα, φημὶ δὴ τὴν γυναικός καὶ θυγατρός, ὡς ἐν τῷ περὶ αὐτῆς λόγῳ μεμαθήκαμεν. Λέγουσι δέ τινες τῶν

τεχνικῶν προστιθέναι „χωρὶς τῶν ἀριθμητικῶν παρὰ τοῖς Ἀθηναίοις τοῖς μεταγενεστέροις·” ἔστι γὰρ χιλιάδες καὶ μυριάδες, καὶ παρ᾽ ἡμῖν μὲν χιλιάδων καὶ μυριάδων λέγεται βαρυτόνως ἡ γενικὴ τῶν πληθυντικῶν, παρὰ δὲ τοῖς Ἀθηναίοις χιλιαδῶν καὶ μυριαδῶν περισπωμένως. Ἰστέον δὲ ὅτι κἂν εὑρεθῶσιν ὁμοφωνοῦσαι αἱ ἀπὸ τῶν εἰς $\overline{\text{ες}}$ πληθυντικῶν εὐθειῶν γενικαὶ θηλυκαὶ ταῖς ἀρσενικαῖς ταῖς ἀπὸ τῶν εἰς $\overline{\text{αι}}$ εὐθειῶν περισπωμέναις, οὐκ ἀναγκάζονται συντονοῦσθαι αὐταῖς, οἷον οἱ Ἰλιάδαι τῶν Ἰλιαδῶν περισπωμένως καὶ οἱ Δαναΐδαι τῶν Δαναϊδῶν καὶ οἱ Πριαμίδαι τῶν Πριαμιδῶν. τὰ μέντοι θηλυκὰ βαρυτόνως ἀναγινώσκονται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον αἱ Ἰλιάδες τῶν Ἰλιάδων καὶ αἱ Δαναΐδες τῶν Δαναΐδων καὶ αἱ Πριαμίδες τῶν Πριαμίδων, καὶ ὅσα τοιαῦτα τῷ προλεχθέντι κανόνι τῶν εἰς $\overline{\text{ες}}$ ὑπὲρ δύο συλλαβὰς ἀκολουθοῦσιν.

Αἱ μέντοι εἰς $\overline{\text{εις}}$ διὰ τῆς $\overline{\text{ει}}$ διφθόγγου εὐθεῖαι πληθυντικαί, δηλονότι ἀπὸ συναιρέσεως γενόμεναι, ἔχουσαι τὴν γενικὴν τῶν πληθυντικῶν συναιρουμένην περισπῶσιν αὐτήν, οἷον Δημοσθένεες Δημοσθένεις Δημοσθενέων Δημοσθενῶν, Διομήδεες Διομήδεις Διομηδέων Διομηδῶν, εὐμήκεες εὐμήκεις εὐμηκέων εὐμηκῶν, εὐσεβέες εὐσεβεῖς εὐσεβέων εὐσεβῶν. λέγει δὲ ὁ τεχνικὸς ὅτι τὸ δυσώδων Ἀρίσταρχος ἀλόγως ἐβάρυνεν· ἔδει γὰρ δυσωδῶν περισπωμένως, ἐπειδὴ ἐκ τοῦ δυσωδέων γέγονε κατὰ κρᾶσιν, ὥσπερ ἀπὸ τοῦ Δημοσθενέων Δημοσθενῶν. τὸ τριηρῶν περισπωμένως οἱ Ἀθηναῖοι κατ᾽ ἀκολουθίαν ἀναγινώσκουσι· τινὲς δὲ καὶ τοῦτο παρ᾽ αὐτοῖς βαρυτόνως ἀναγινώσκουσιν, οἷον τῶν τριήρων. καὶ τὸ αὐταρκῶν δὲ παρὰ τοῖς Ἀθηναίοις βαρύνεται κατὰ τὴν ἀκρίβειαν, οἷον αὐτάρκων· καὶ τὸ ἐπίῤῥημα δὲ τὸ ἐξ αὐτοῦ γινόμενον αὐτάρκως βαρυτόνως ἀναγινώσκεται· καὶ λέγουσί τινες τῶν τεχνικῶν περισπωμένως αὐτὸ ἀναγινώσκειν. καὶ τὸ συνήθων δὲ καὶ κακοήθων βαρυτόνως ἐπεκράτησεν ἀναγινώσκεσθαι· ὡσαύτως δὲ καὶ τὰ ἐπιῤῥήματα τὰ ἐξ αὐτῶν γινόμενα βαρυτόνως ἐπεκράτησαν ἀναγινώσκεσθαι, οἷον συνήθως καὶ κακοήθως. πρόσκειται „ἔχουσαι τὴν γενικὴν τῶν πληθυντικῶν συναιρουμένην” διὰ τὸ οἱ ταχεῖς τῶν ταχέων καὶ οἱ βραδεῖς τῶν βραδέων· ταῦτα γὰρ οὐ περισπῶνται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν, ἀλλ᾽ οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὔτε συναιροῦνται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν. Ταῦτα μὲν ἐν τούτοις.

Αἱ μέντοι ὑπολειπόμεναι γενικαὶ πληθυντικαί, τουτέστιν αἱ μὴ ὑποπίπτουσαι τοῖς προλεχθεῖσι κανόσιν, ἀκολουθοῦσι τῇ γενικῇ των δυϊκῶν, οἷον φίλω φίλοιν φίλοι φίλων, ἀνθρώπω ἀνθρώποιν ἄνθρωποι ἀνθρώπων. Ἔστι δὲ καὶ οὕτως κανονίσαι τὴν γενικὴν τῶν πληθυντικῶν τὴν οὖσαν ἀπὸ εὐθείας πληθυντικῆς εἰς τὴν οι δίφθογγον ληγούσης. αἱ εἰς τὴν οι δίφθογγον λήγουσαι εὐθεῖαι πληθυντικαί, εἰ μὲν βαρύνονται, βαρύνουσι τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον λίθοι λίθων, δοῦλοι δούλων, κοῦφοι κούφων, ἐναντίοι ἐναντίων, νυμφίοι νυμφίων, πλούσιοι πλουσίων, Ὅμηροι Ὁμήρων, ἄνθρωποι ἀνθρώπων, τίμιοι τιμίων, Βυζάντιοι Βυζαντίων, τοῦ τόνου καταβιβασθέντος μίαν συλλαβὴν διὰ τὴν ἐπὶ τέλους φύσει μακράν· ὡς γὰρ ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς οὐδέποτε τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα ἤγουν οὐ θέλει προπαροξύνεσθαι ἡ λέξις, οἷον Ὁμήρων, ἀνθρώπων, Ἀριστάρχων, Διομηδέων. εἰ δὲ ὀξύνονται ἢ περισπῶνται αἱ εἰς τὴν οι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν, περισπῶσι τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον σοφοί σοφῶν, καλοί καλῶν, ἐχθροί ἐχθρῶν, σεμνοί σεμνῶν, χαλκοῖ χαλκῶν, χρυσοῖ χρυσῶν, σιδηροῖ σιδηρῶν, ἀργυροῖ ἀργυρῶν, πορφυροῖ πορφυρῶν.

Τούτων οὕτως ἐχόντων φησὶν ὁ τεχνικὸς ὅτι τὸ πόλεων καὶ πράξεων καὶ ὄφεων καὶ μάντεων καὶ τὰ τοιαῦτα λέγει ὁ Ἀμμώνιος ἀναγινώσκεσθαι προπαροξυτόνως παρὰ τοῖς Ἀθηναίοις, τοῦ λόγου, ὡς λέγει ὁ τεχνικός, ἀπαιτοῦντος πρὸ μιᾶς ἔχειν τὴν τάσιν διὰ τὴν ἐπὶ τέλους φύσει μακράν, ὥσπερ Δημοσθενέων καὶ Διομηδέων. καὶ θέλουσι λέγειν ὅτι πρὸς τὴν γενικὴν τῶν ἑνικῶν προπαροξύνονται· ἐπειδὴ γὰρ ἡ γενικὴ τῶν ἑνικῶν διὰ τοῦ ε καὶ ω ἐστὶ καὶ προπαροξύνεται, οἷον πόλεως, πράξεως, ὄφεως, μάντεως, τούτου χάριν καὶ ἡ γενικὴ τῶν πληθυντικῶν προπαροξύνεται, οἷον πόλεων, πράξεων, ὄφεων, μάντεων. εἰ δέ τις εἴποι διὰ τί γὰρ ἡ γενικὴ τῶν ἑνικῶν οὖσα διὰ τοῦ ε καὶ ω προπαροξύνεται; λέγομεν ὅπερ λέγει ὁ τεχνικὸς ἐν τῇ τῆς γενικῆς τῶν ἑνικῶν διδασκαλίᾳ, ὅτι τὸ πόλεως, πράξεως, ὄφεως, μάντεως Ἀττικὰ ἀπὸ τοῦ πόλιος, πράξιος, ὄφιος, μάντιος γεγονότα τῶν κοινῶν ἐφύλαξαν τὸν τόνον.

Τὰ μέντοι εἰς α οὐδέτερα, δηλονότι εὐθείας πληθυντικῆς ὄντα, εἰ μέν εἰσι τριγενῆ, ὁμότονον ἔχουσι τὴν ἰδίαν γενικὴν τῶν πλη-

θυντικῶν τῇ γενικῇ τῶν πληθυντικῶν τοῦ ἀρσενικοῦ, οἷον οἱ φίλοι τῶν φίλων τὰ φίλα τῶν φίλων, οἱ κοῦφοι τῶν κούφων τὰ κοῦφα τῶν κούφων, οἱ ἐναντίοι τῶν ἐναντίων τὰ ἐναντία τῶν ἐναντίων, οἱ πλούσιοι τῶν πλουσίων τὰ πλούσια τῶν πλουσίων, οἱ σοφοί τῶν σοφῶν τὰ σοφά τῶν σοφῶν, οἱ σεμνοί τῶν σεμνῶν τὰ σεμνά τῶν σεμνῶν, οἱ χαλκοῖ τῶν χαλκῶν τὰ χαλκᾶ τῶν χαλκῶν, οἱ ἀργυροῖ τῶν ἀργυρῶν τὰ ἀργυρᾶ τῶν ἀργυρῶν. εἰ δὲ μονογενῆ εὑρεθῶσιν, εἰ μὲν ἐν τῇ τελευταίᾳ συλλαβῇ τὰ εἰς ᾱ πληθυντικὰ οὐδέτερα ἔχουσι τὸν τόνον, τουτέστιν εἰ ὀξύνονται ἢ περισπῶνται, καὶ ἐν τῇ γενικῇ τῶν πληθυντικῶν ἐν τῇ τελευταίᾳ συλλαβῇ ἐστὶν ὁ τόνος καὶ περισπᾶται ἡ γενικὴ τῶν πληθυντικῶν, οἷον τὰ ξυρά τῶν ξυρῶν, τὰ πτερά τῶν πτερῶν, τὰ σφυρά τῶν σφυρῶν, τὰ πλευρά τῶν πλευρῶν, τὰ ὀστᾶ τῶν ὀστῶν, τὰ κανᾶ τῶν κανῶν. εἰ δὲ βαρύνονται τὰ εἰς ᾱ πληθυντικὰ οὐδέτερα, βαρύνεται καὶ ἡ γενικὴ τῶν πληθυντικῶν, οἷον τὰ ξύλα τῶν ξύλων, τὰ δένδρα τῶν δένδρων, τὰ ὀστέα τῶν ὀστέων, τὰ γοῦνα τῶν γούνων, τὰ δοῦρα τῶν δούρων, τὰ ὦτα τῶν ὤτων, τὰ φῶτα τῶν φώτων βαρυτόνως· ἰδοὺ ταῦτα πάντα, βαρυτονουμένας τὰς εὐθείας τῶν πληθυντικῶν ἔχοντα, καὶ τὴν γενικὴν τῶν πληθυντικῶν βαρυτονουμένην ἔχουσι. πάλιν τὰ φιλήματα τῶν φιλημάτων, τὰ νοήματα τῶν νοημάτων, δηλονότι διὰ τὴν ἐπὶ τέλους φύσει μακρὰν καταβιβαζομένης τῆς ὀξείας· τῆς γὰρ εὐθείας προπαροξυνομένης ἡ γενικὴ παροξύνεται, διὰ τὴν ἐπὶ τέλους φύσει μακρὰν τοῦ τόνου, ὡς εἴρηται, καταβιβασθέντος. ὡσαύτως δὲ καὶ τὰ τείχεα καὶ βέλεα, προπαροξυτονούμενα κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, ἐν τῇ γενικῇ διὰ τὴν ἐπὶ τέλους φύσει μακρὰν κατεβίβασε τὸν τόνον καὶ ἐγένετο τειχέων καὶ βελέων παροξυτόνως· ἅτινα συναιρεσιν ἀναδεξάμενα περισπῶνται, οἷον τειχῶν καὶ βελῶν· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον ποιέω ποιῶ, Δημοσθενέων Δημοσθενῶν, πάϊς παῖς, Ἡρακλέης Ἡρακλῆς.

Τούτων οὕτως ἐχόντων ἔστι φρέατα καὶ γίνεται κατὰ κρᾶσιν φρῆτα, τοῦ ε̄ καὶ ᾱ εἰς η̄ κραθέντος. καὶ τούτου βαρυνομένου κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν ὤφειλε καὶ ἡ γενικὴ τῶν πληθυντικῶν βαρύνεσθαι καὶ εἶναι φρήτων βαρυτόνως, ὥσπερ τὰ ὦτα τῶν ὤτων, τὰ φῶτα τῶν φώτων. ὅμως δέ, ὥς φησιν ὁ Ἡρωδιανὸς ἐν τῇ καθόλου, περισπῶσιν αὐτό, οἷον φρητῶν, ὁμοτόνως τῇ Κρητῶν καὶ σητῶν καὶ θητῶν γενικῇ.

ΠΕΡΙ ΤΟΥ ΤΟΝΟΥ ΤΗΣ ΔΟΤΙΚΗΣ ΤΩΝ ΠΛΗΘΥΝΤΙΚΩΝ.

Λέγει ὁ τεχνικὸς ὅτι ἡ δοτικὴ τῶν πληθυντικῶν ἐπ᾽ ἐκείνης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ᾽ ἧς καὶ ἡ δοτικὴ τῶν ἑνικῶν, οἷον καλῷ καλοῖς, σοφῷ σοφοῖς, Μενελάῳ Μενελάοις, Ὁμήρῳ Ὁμήροις, ἀνθρώπῳ ἀνθρώποις, Ὀρέστῃ Ὀρέσταις, παιδί παισί, μηνί μησί, φρενί φρεσίν, Αἴαντι Αἴασι, Θόαντι Θόασι, Πέλοπι Πέλοψι, Κίλικι Κίλιξι. λέγει ὁ τεχνικὸς „χωρὶς τοῦ παντί πᾶσιν,“ ἐπειδὴ ἡ δοτικὴ τῶν ἑνικῶν ὀξύνεται, οἷον παντί, ἡ δὲ δοτικὴ τῶν πληθυντικῶν βαρύνεται, οἷον πᾶσι προπερισπωμένως, καὶ ταῦτα κανόνος λέγοντος ὅτι πᾶσα δοτικὴ πληθυντικῶν δισύλλαβος ἀνεπέκτατος, εἰς ῑ λήγουσα, ἐπὶ μὲν μετοχῶν βαρύνεσθαι θέλει, οἷον βᾶσι, στᾶσι, δοῦσι, θεῖσιν, ἐπὶ δὲ ὀνομάτων ὀξύνεσθαι, οἷον βουσί, Τρωσί, παισί, μησί, χησί, φρεσί, χερσί, χωρὶς τοῦ πᾶσι δηλονότι καὶ σπέσσι, ἐν σπέσσι γλαφυροῖσιν, ὅπερ ἀπὸ τρισυλλάβου τοῦ σπέεσσι γέγονε κατὰ συγκοπήν. τὸ γὰρ τίσι καὶ τισί πρὸς διάφορον σημαινόμενον διάφορον καὶ τὸν τόνον ἔσχον· τὸ μὲν γὰρ πευστικὸν βαρύνεται, οἷον τίσι δέδωκας; τὸ δὲ ἀνταποδοτικὸν ἤγουν ἀόριστον ὀξύνεται, οἷον τισί. καὶ τοῦ Φθάς δὲ Φθάντος κυρίου ὀνόματος ἐὰν θέλωμεν τὴν δοτικὴν τῶν πληθυντικῶν σχηματίσαι, δηλονότι βαρύνεται τῷ λόγῳ τῶν μετοχῶν, οἷον Φθᾶσιν ὥσπερ στᾶσι, βᾶσι· μετοχικὸν γάρ ἐστι. Ταῦτα μὲν ἐν τούτοις.

Ἀπορεῖ δὲ ὁ Ἡρωδιανὸς ἐν τῇ ᾱ τῆς Ὀδυσσειακῆς ῥαψῳδίας, λέγων οὕτως ὅτι, ὥσπερ τὸ ἀνδρός καὶ πατρός καὶ μητρός ὠξύνθησαν πρὸς τὸν χαρακτῆρα, φημὶ δὲ ὁμοίως τοῦ μηνός, χηνός, γραός, διὰ τί μὴ τὸν αὐτὸν τρόπον ὠξύνθη τὸ σπέσσιν, ἀπὸ τοῦ σπέεσσι γενόμενον κατὰ συγκοπήν, πρὸς τὸν χαρακτῆρα τοῦ μησί, Τρωσί, βουσί; καὶ ἐπιλύεται λέγων ὅτι ὁ διπλασιασμὸς τοῦ σ̄ ἴδιός ἐστι τῶν ὑπὲρ δύο συλλαβὰς δοτικῶν πληθυντικῶν, αἵ τινες καὶ μόνως βαρύνονται, οἷον κύνεσσι, θήρεσσιν. οὕτως οὖν καὶ σπέσσι. τοῦτο τοίνυν συγκοπὲν καὶ γενόμενον σπέσσι διὰ μὲν τὴν δισυλλαβίαν ὤφειλεν ὀξύνεσθαι, διὰ δὲ τὸν διπλασιασμὸν τοῦ σ̄, ὅστις ἀεὶ ἐν βαρυνομέναις δοτικαῖς θεωρεῖται, κατὰ τοῦτο ἐβαρύνθη. τὸ ποσσὶ δὲ ὑπὸ λιπαροῖσιν ἐδήσατο ἔχει διπλασιασμὸν τοῦ σ̄ καὶ οὐ βαρύνεται, ἀλλ᾽ οὐ παραλήγοντος τοῦ ε̄, ὥσπερ ἐπὶ τῶν προλεχθέντων παραδειγμάτων, οἷον τοῦ κύνεσσι, θήρεσσι καὶ τῶν τοιούτων.

Τούτων οὕτως ἐχόντων δεῖ προσθεῖναι ἐν τῷ κανόνι τοῦ τεχνικοῦ „καὶ χωρὶς τοῦ οὐδενὶ οὐδέσι καὶ μηδενὶ μηδέσιν·" ἐπὶ τούτων γὰρ τῆς δοτικῆς τῶν ἑνικῶν ὀξυτονουμένης ἡ δοτικὴ τῶν πληθυντικῶν βαρύνεται· οὐδέσι γὰρ καὶ μηδέσι βαρυτόνως ἐπεκράτησαν ἀναγινώσκεσθαι.

Αἱ μέντοι, φησί, πλεονάσασαι δοτικαὶ πληθυντικαὶ τῷ ᾱ παροξύνονται, οἷον πατρὶ πατράσι, θυγατρὶ θυγατράσιν, ἀνδρὶ ἀνδράσιν, υἱῒ υἱάσιν. ἔστι γὰρ ὕϊς ὕϊος ὕϊϊ, καὶ κατὰ συναίρεσιν τοῦ ῡ καὶ ῑ εἰς τὴν υι δίφθογγον υἱι· καὶ ἐπειδὴ τοῦ σ̄ προσερχομένου ἀσυνταξία ἤμελλε γίνεσθαι (οὐδέποτε γὰρ μετὰ τὴν υι δίφθογγον σύμφωνον εὑρίσκεται ἐπιφερόμενον, οἷον μυῖα, ἅρπυια, υἱός), τούτου χάριν ἐπλεόνασε τὸ ᾱ καὶ γέγονεν υἱάσιν. αἱ μέντοι μεταπεπλασμέναι δοτικαὶ πληθυντικαὶ προπαροξύνεσθαι θέλουσιν, οἷον προβάτοις πρόβασιν, ἐγκάτοις ἔγκασιν, ἄστροις ἄστρασιν, ὑπεσταλμένου τοῦ ἀρῶξιν, ὥσπερ παρὰ Σοφοκλεῖ ἐν Ἀχιλλέως ἐρασταῖς

ὁ δὲ ἔνθ' ὅπλοις ἀρῶξιν Ἡφαίστου τεχνίτου·

τοῦτο γὰρ κατὰ μεταπλασμὸν ἀπὸ τοῦ ἀῤῥήκτοις γενόμενον, τοῦ η̄ τραπέντος εἰς τὸ ω̄, προπερισπᾶται καὶ οὐ προπαροξύνεται.

Αἱ εἰς αις λήγουσαι δοτικαὶ πληθυντικαὶ ἀπὸ μὲν βαρυτόνων εὐθειῶν οὖσαι βαρύνονται ἤγουν παροξύνονται, οἷον Ἀτρεῖδαι Ἀτρείδαις, ναῦται ναύταις, τράπεζαι τραπέζαις, ἅμαξαι ἁμάξαις, ἄκανθαι ἀκάνθαις, ἄελλαι ἀέλλαις, Μοῦσαι Μούσαις, ἀπὸ δὲ ὀξυτόνων εὐθειῶν πληθυντικῶν οὖσαι ἢ ἀπὸ περισπωμένων περισπῶνται, οἷον ἀθληταὶ ἀθληταῖς, κηδεσταὶ κηδεσταῖς, καλαὶ καλαῖς, σεμναὶ σεμναῖς, ἡδοναὶ ἡδοναῖς· ἰδοὺ ταῦτα ἀπὸ ὀξυτόνων εὐθειῶν περιεσπάσθησαν. ἀπὸ δὲ περισπωμένων, οἷον χαλκαῖ χαλκαῖς, χρυσαῖ χρυσαῖς, σιδηραῖ σιδηραῖς, ἀργυραῖ ἀργυραῖς, λεονταῖ λεονταῖς, Ἑρμαῖ Ἑρμαῖς.

Αἱ εἰς οις λήγουσαι δοτικαὶ πληθυντικαὶ ἀπὸ μὲν βαρυτόνων εὐθειῶν πληθυντικῶν οὖσαι παροξύνονται, οἷον δῆμοι δήμοις, ὄχλοι ὄχλοις, ἐναντίοι ἐναντίοις, πλησίοι πλησίοις, Ὅμηροι Ὁμήροις, Ἀρίσταρχοι Ἀριστάρχοις, ἄνθρωποι ἀνθρώποις, λίθινοι λιθίνοις, δρύϊνοι δρυΐνοις, ἀπὸ δὲ ὀξυτόνων εὐθειῶν πληθυντικῶν οὖσαι ἢ ἀπὸ περισπωμένων περισπῶνται, ἀπὸ ὀξυτόνων μὲν οἷον σοφοί σοφοῖς, ἀγαθοὶ ἀγαθοῖς, ἐαρινοὶ ἐαρινοῖς, σεμνοὶ σεμνοῖς, ἀπὸ δὲ περισπωμένων οἷον χαλκοῖ χαλκοῖς, ἀργυροῖ ἀργυροῖς, σιδηροῖ σιδηροῖς, πορφυροῖ πορφυροῖς.

Τὰ εἰς οις οὐδέτερα μονογενῆ ἀπὸ μὲν βαρυτόνων εὐθειῶν πληθυντικῶν ὄντα παροξύνονται, οἷον τέκνα τέκνοις, δένδρα δένδροις, ξύλα ξύλοις, μέτρα μέτροις, ἀπὸ δὲ ὀξυτόνων ἢ περισπωμένων περισπῶνται, ἀπὸ μὲν ὀξυτόνων οἷον σφυρά σφυροῖς, πλευρά πλευροῖς, πτερά πτεροῖς, ἀπὸ δε περισπωμένων οἷον κανᾶ κανοῖς, ὀστᾶ ὀστοῖς, χαλκᾶ χαλκοῖς.

Τὰ Ἀττικὰ ὁμοτονοῦσι τῇ εὐθείᾳ τῶν πληθυντικῶν, οἷον οἱ Μενέλεῳ τοῖς Μενέλεως, οἱ Νικόλεῳ τοῖς Νικόλεως, οἱ νεῴ τοῖς νεῴς.

ΠΕΡΙ ΤΟΥ ΤΟΝΟΥ ΤΗΣ ΑΙΤΙΑΤΙΚΗΣ ΤΩΝ ΠΛΗΘΥΝΤΙΚΩΝ.

Πᾶσα αἰτιατικὴ πληθυντικὴ ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον, ἐφ᾽ ἧς καὶ ἡ γενικὴ τῶν ἑνικῶν, οἷον Αἴαντος Αἴαντας, λέβητος λέβητας, κοχλίου κοχλίας, Ὁμήρου Ὁμήρους, Ἀριστάρχου Ἀριστάρχους, ἀνθρώπου ἀνθρώπους, καλοῦ καλούς, σοφοῦ σοφούς. ἐν μὲν τῇ αὐτῇ συλλαβῇ καὶ ταῦτα ἐφύλαξαν τὸν τόνον, οὐ τὸν αὐτὸν δέ· ἡ μὲν γὰρ γενικὴ περισπᾶται, ἡ δὲ αἰτιατικὴ ὀξύνεται πρὸς τὴν καλοί καὶ σοφοί εὐθεῖαν τῶν πληθυντικῶν. πάλιν χαλκοῦ χαλκοῦς, χρυσοῦ χρυσοῦς· ταῦτα καὶ ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν καὶ τὸν αὐτόν. πάλιν ἀθλητοῦ ἀθλητάς· τοῦτο δὲ ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξεν, οὐ τὸν αὐτὸν δέ· τὸ μὲν γὰρ ἀθλητοῦ περισπᾶται, τὸ δὲ ἀθλητάς ὀξύνεται πρὸς τὴν εὐθεῖαν ἀθληταί τῶν πληθυντικῶν. Δεῖ προσθεῖναι ἐν τῷ κανόνι „χωρὶς εἰ μὴ ὁμοφωνήσωσιν αἱ αἰτιατικαὶ συνῃρημέναις εὐθείαις," οἷον τοῦ ταχέος τοὺς ταχεῖς καὶ τοῦ βραδέος τοὺς βραδεῖς. ἰδοὺ γὰρ ἐνταῦθα οὐκ ἔχουσιν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον αἱ αἰτιατικαὶ πληθυντικαὶ ἐφ᾽ ἧς καὶ αἱ γενικαὶ τῶν ἑνικῶν· αἱ μὲν γὰρ γενικαὶ βαρύνονται τῶν ἑνικῶν, αἱ δὲ αἰτιατικαὶ τῶν πληθυντικῶν περισπῶνται. ἀλλ᾽ οὐκ ἀντίκεινται ἡμῖν ταῦτα, ἐπειδὴ ὡμοφώνησαν αἱ αἰτιατικαὶ συνῃρημέναις εὐθείαις πληθυντικαῖς καὶ λοιπὸν ἠναγκάσθησαν καὶ ὁμοτονῆσαι αὐταῖς, οἷον οἱ ταχέες οἱ ταχεῖς καὶ τοὺς ταχεῖς, οἱ βραδέες οἱ βραδεῖς καὶ τοὺς βραδεῖς. Ἔτι δεῖ προσθεῖναι ἐν τῷ κανόνι „καὶ χωρὶς τῶν εἰς ος ὀξυτονουμένων γενικῶν," ὅτι οὐχ ὁμοτονοῦσιν αἱ αἰτιατικαὶ ταῖς γενικαῖς καὶ ὀξύνονται ἀλλὰ βαρύνονται, οἷον γυναικός γυναῖκας, φωτός φῶτας, ἀνδρός ἄνδρας, παιδός παῖδας, μυός μύας, ῥοός

ῥόας, δμωός δμῶας, μηνός μῆνας, χηνός χῆνας. οὐδὲ γὰρ δύνανται αἱ αἰτιατικαὶ πληθυντικαὶ αὗται ὀξυτονεῖσθαι, ἐπειδὴ αἱ εἰς $\overline{\text{ας}}$ λήγουσαι αἰτιατικαὶ πληθυντικαὶ συνεσταλμένον ἔχουσαι τὸ $\overline{\text{α}}$ βαρύνονται, οἷον Αἴαντας, Θόαντας, Πάριδας, Λάχητας, Ξενοφῶντας, Ποσειδῶνας, ἀσπίδας, λαμπάδας. πρόςκειται „συνεσταλμένον ἔχουσαι τὸ $\overline{\text{α}}$" διὰ τὸ καλάς καὶ σοφάς· ἰδοὺ γὰρ ἐπὶ τούτων αἱ αἰτιατικαὶ πληθυντικαὶ εἰς $\overline{\text{ας}}$ λήγουσαι ὀξύνονται· ἀλλ' οὐκ ἔχουσι συνεσταλμένον τὸ $\overline{\text{α}}$ ἀλλ' ἐκτεταμένον· ταῦτα γὰρ τὸ $\overline{\text{α}}$ ἐκτεταμένον ἔχουσι. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι αἱ εἰς $\overline{\text{σ}}$ λήγουσαι μακροκατάληκτοι εὐθεῖαι, ἔχουσαι ὁμόφωνον τὴν αἰτιατικήν, καὶ ὁμότονον αὐτὴν ἔχουσιν, οἷον οἱ ταχεῖς τοὺς ταχεῖς, οἱ βραδεῖς τοὺς βραδεῖς, οἱ ἱππεῖς τοὺς ἱππεῖς, οἱ εὐσεβεῖς τοὺς εὐσεβεῖς, οἱ εὐγενεῖς τοὺς εὐγενεῖς, οἱ ἰχθῦς τοὺς ἰχθῦς, οἱ βότρυς τοὺς βότρυς, οἱ στάχυς τοὺς στάχυς, οἱ Δημοσθένεις τοὺς Δημοσθένεις, οἱ κακοήθεις τὰς κακοήθεις.

Αἱ εἰς $\overline{\text{ας}}$ λήγουσαι αἰτιατικαί, συνεσταλμένον ἔχουσαι τὸ $\overline{\text{α}}$, πᾶσαι βαρύνονται καὶ ἔχουσι τὸν τόνον τῶν εὐθειῶν τῶν πληθυντικῶν, οἷον Αἴαντες Αἴαντας, λέβητες λέβητας, Ξενοφῶντες Ξενοφῶντας, σωλῆνες σωλῆνας, γυναῖκες γυναῖκας, Ἀρκάδες Ἀρκάδας, ἀσπίδες ἀσπίδας, λαμπάδες λαμπάδας.

Αἱ εἰς $\overline{\text{ας}}$ λήγουσαι αἰτιατικαί, ἐκτεταμένον ἔχουσαι τὸ $\overline{\text{α}}$, ἀπὸ μὲν βαρυτόνων εὐθειῶν πληθυντικῶν οὖσαι παροξύνονται, οἷον ναῦται ναύτας, τοξόται τοξότας, Ἑλέναι Ἑλένας, περόναι περόνας, ἡμέραι ἡμέρας, ἄελλαι ἀέλλας, τράπεζαι τραπέζας, ἅμαξαι ἁμάξας, ἄκανθαι ἀκάνθας, ἀπὸ δὲ ὀξυνομένων ὀξύνονται, οἷον αὐληταί αὐλητάς, ἀθληταί ἀθλητάς, ποιηταί ποιητάς, ἡδοναί ἡδονάς, πλησμοναί πλησμονάς, καλαί καλάς, σοφαί σοφάς, ἀπὸ δὲ περισπωμένων περισπῶνται, οἷον Ἑρμαῖ Ἑρμᾶς, ἁπλαῖ ἁπλᾶς, λεονταῖ λεοντᾶς, χαλκαῖ χαλκᾶς, χρυσαῖ χρυσᾶς, ἀργυραῖ ἀργυρᾶς, σιδηραῖ σιδηρᾶς, συκαῖ συκᾶς.

Αἱ εἰς $\overline{\text{ους}}$ λήγουσαι αἰτιατικαὶ πληθυντικαὶ ἀπὸ μὲν βαρυτόνων εὐθειῶν πληθυντικῶν οὖσαι παροξύνονται, οἷον δῆμοι δήμους, πλησίοι πλησίους, ἐναντίοι ἐναντίους, Ὅμηροι Ὁμήρους, Ἀρίσταρχοι Ἀριστάρχους, ἄνθρωποι ἀνθρώπους, φήγινοι φηγίνους, δρύϊνοι δρυΐνους, ξύλινοι ξυλίνους, λίθινοι λιθίνους, ἀπὸ δὲ ὀξυνομένων ὀξύνονται, οἷον καλοί καλούς, σοφοί σοφούς, ἐαρινοί ἐαρινούς, ἀγαθοί ἀγαθούς, ἀπὸ δὲ περισπωμένων περισπῶνται, οἷον χαλκοῖ

χαλκοῦς, χρυσοῖ χρυσοῦς, ἀργύροῖ ἀργυροῦς, σιδηροῖ σιδηροῦς, πορφυροῖ πορφυροῦς.

Τὰ Ἀττικὰ ὁμοτονοῦσι ταῖς εὐθείαις τῶν πληθυντικῶν, οἷον οἱ εὔγεῳ τοὺς εὔγεως, οἱ Μενέλεῳ τοὺς Μενέλεως, οἱ νεῴ τοὺς νεώς, οἱ λεῴ τοὺς λεώς.

Ταῦτα μὲν ἐν τούτοις.

Ἡ δὲ κλητικὴ τῶν πληθυντικῶν ὁμοτονεῖν θέλει τῇ ἰδίᾳ εὐθείᾳ· ἔχομεν γὰρ ὅτι τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν, ὡς ἡ ὀρθή, οὕτω καὶ ἡ κλητική.

Τοσαῦτα ἔχομεν εἰπεῖν περὶ τῶν ἐν ταῖς πτώσεσι τόνων.

1008. ΣΧΟΛΙΑ ΣΤΝ ΘΕΩΙ ΕΙΣ ΤΟΤΣ ΡΗΜΑΤΙΚΟΤΣ ΚΑΝΟΝΑΣ ΑΠΟ ΦΩΝΗΣ ΓΕΩΡΓΙΟΤ ΤΟΤ ΧΟΙΡΟΒΟΣΚΟΤ *).

Ἐπειδὴ ἐν συντόμῳ παραδίδωσιν ἡμῖν ὁ Θεοδόσιος τοὺς προκειμένους κανόνας, φημὶ δὲ τὴν τῶν ῥημάτων διδασκαλίαν, μάθωμεν καὶ ἡμεῖς ἐν συντόμῳ τὰ προλεγόμενα τοῦ παρόντος συγγράμματος. σκοπὸν ἔχει ὁ τεχνικὸς περὶ κλίσεως ῥημάτων διαλαβεῖν. τὸ δὲ εἰδέναι τὴν κλίσιν τῶν ῥημάτων χρήσιμον εἰς τὸ μήτε βαρβαρίζειν μήτε σολοικίζειν, οἷον ἵνα μὴ ἀντὶ τοῦ εἰπεῖν τετυφας εἴπωμεν τέτυφες καὶ ἀντὶ τοῦ εἰπεῖν ἐτύψαμεν ἐτύψατε εἴπωμεν ἐτύψομεν ἐτύψετε, καὶ ἵνα μὴ ἀντὶ τοῦ εἰπεῖν ἤλθομεν ἤλθετε καὶ ἐλάβομεν ἐλάβετε καὶ ἐφάγομεν ἐφάγετε καὶ ἐδράμομεν ἐδράμετε εἴπωμεν διὰ τοῦ ᾱ, ὥς τινες λέγουσιν ἐν τῇ συνηθείᾳ, οἷον ἐφάγαμεν ἐφάγατε καὶ ἤλθαμεν ἤλθατε καὶ ἐδράμαμεν ἐδράματε καὶ ἐλάβαμεν ἐλάβατε. ἰστέον δὲ ὅτι ἄλλο βαρβαρισμὸς καὶ ἄλλο σολοικισμός. βαρβαρισμὸς μέν ἐστι τὸ ἁμαρτάνειν περὶ μίαν λέξιν εἴτε περὶ τόνον, ὡς ἐάν τις ἀντὶ τοῦ εἰπεῖν ἄνθρωπος προπαροξυτόνως εἴπῃ ἀνθρωπός ὀξυτόνως, εἴτε περὶ κλίσιν, ὡς ἐάν τις ἀντὶ τοῦ εἰπεῖν Δημοσθένης Δημοσθένεος Δημοσθένους εἴπῃ Δημοσθένης Δημοσθένου, εἴτε περὶ γραφήν, ὡς ἐάν τις τὸ γράφω ἢ λέγω καὶ τὰ ὅμοια γράψῃ διὰ τοῦ ο̄, εἴτε περὶ πνεῦμα, ὡς ἐάν τις τὴν ὑπὸ πρόθεσιν ψιλώσῃ ὀφείλουσαν δασυνθῆναι, εἴτε περὶ χρόνον, ὡς ἐάν τις τοῦ Θόας τὸ ᾱς συστείλῃ. σολοικισμὸς δέ ἐστι τὸ ἁμαρτάνειν περὶ

*) Habet haec etiam Cod. Vat. 1355 (membr. rescriptus, f. quadr., fol. 110) qui est ex libris Fulvii Ursini. Ei talem indicem addidit manus recentior: Θεοδοσίου γραμματικοῦ περὶ διδασκαλίας ῥημάτων καὶ περὶ κλίσεως αὐτῶν ἐν συντόμῳ.

τὴν σύνταξιν καὶ τὴν φράσιν, τοῦτ᾽ ἔστιν ὡς ὅταν ἑκάστη λέξις καθ᾽ ἑαυτὴν κειμένη καλῶς ἔχῃ, ἐν δὲ τῇ συντάξει καὶ τῇ φράσει ἀτάκτως καὶ ἀνακολούθως παραλαμβάνηται, οἷον ἐγὼ περιπατῶν ὁ τοῖχος ἔπεσεν ἀντὶ τοῦ εἰπεῖν ἐμοῦ περιπατοῦντος ὁ τοῖχος ἔπεσεν· ἰδοὺ γὰρ ἐνταῦθα ἑκάστη λέξις καθ᾽ ἑαυτὴν κειμένη καλῶς ἔχει; ἀλλ᾽ ἐν τῇ συντάξει καὶ τῇ φράσει ἀτάκτως καὶ ἀνακολούθως παραλαμβάνονται. ὅθεν καὶ σολοικισμὸς λέγεται οἱονεὶ σώου λόγου αἰκισμός, τοῦτ᾽ ἔστιν ὕβρις τοῦ ὁλοκλήρου λόγου. Καὶ κατ᾽ ἄλλο δὲ χρήσιμον τὸ εἰδέναι τὴν κλίσιν τῶν ῥημάτων, ἐπειδὴ οὐδέποτε τέλειος λόγος γίνεται χωρὶς ἑνὸς τῶν τριῶν ῥημάτων τούτων, τοῦτ᾽ ἔστιν ὁριστικοῦ, προστακτικοῦ, εὐκτικοῦ, ἢ λεγομένου ἢ νοουμένου, λεγομένου μὲν ὁριστικοῦ ὡς ἐπὶ τοῦ

τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·

ἔχει γὰρ τὸ προσέφη ὁριστικόν· προστακτικοῦ δὲ ὡς ἐπὶ τοῦ

ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον·

ἔχει γὰρ τὸ ἔννεπε προστακτικόν, καὶ πάλιν

μῆνιν ἄειδε, θεά, Πηληϊάδεω Ἀχιλῆος·

ἔχει δὲ τὸ ἄειδε προστακτικόν· εὐκτικοῦ δὲ ὡς ἐπὶ τοῦ

τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσσιν·

ἔχει γὰρ τὸ τίσειαν εὐκτικόν· νοουμένου δὲ ὡς ἐπὶ τοῦ

εἷς οἰωνὸς ἄριστος ἀμύνασθαι περὶ πάτρης·

νοεῖται γὰρ τὸ ἔστιν, καὶ ὡς ἐπὶ τοῦ

οὐκ ἀγαθὸν πολυκοιρανίη·

νοεῖται γὰρ τὸ ἔστιν, ἀντὶ τοῦ οὐκ ἀγαθόν ἐστι πολυκοιρανίη.

Τούτων οὕτως ἐχόντων ἐμάθομεν ἐν τοῖς προλαβοῦσιν ὅτι ὀκτὼ μέρη τοῦ λόγου εἰσίν, ὄνομα, ῥῆμα, μετοχή, ἄρθρον, ἀντωνυμία, πρόθεσις, ἐπίῤῥημα, σύνδεσμος, καὶ ὅτι προτέτακται τὸ ὄνομα τοῦ ῥήματος, καθὸ τὸ μὲν ὄνομα οὐσίας σημαντικόν, τὸ δὲ ῥῆμα συμβεβηκότος· καὶ γὰρ ὁ Σωκράτης προτερεύει τοῦ γράφειν αὐτὸν καὶ τύπτειν. εἰκότως οὖν τὸ ὄνομα ὡς σημαντικὸν ὂν οὐσίας προτερεύει τοῦ ῥήματος σημαντικοῦ ὄντος τῶν συμβεβηκότων. κατὰ δεύτερον δὲ λόγον προτερεύει τὸ ὄνομα τοῦ ῥήματος, ὅτι τὸ μὲν ὄνομα συναναιρεῖ, τὸ δὲ ῥῆμα συναναιρεῖται· καὶ γὰρ ἀναιρουμένου Σωκράτους συναναιρεῖται καὶ τὸ γράφειν αὐτὸν καὶ τὸ τύπτειν. τὰ δὲ συναναιροῦντα προτερεύουσι τῶν συναναιρουμένων, οἷον τὸ καθόλου φυτὸν προτερεύει τῆς ἐλαίας, ἐπειδὴ ἀναιρουμένου τοῦ φυτοῦ συναναιρεῖται καὶ ἡ ἐλαία (μὴ ὄντος γὰρ κα-

θόλου φυτοῦ οὐδὲ ἡ ἐλαία ἐστι), τῆς δὲ ἐλαίας ἀναιρουμένης οὐκ ἀναιρεῖται τὸ καθόλου φυτόν· οὐ γὰρ μόνον ἡ ἐλαία φυτόν, ἀλλὰ καὶ ἡ ἄμπελος καὶ ἡ συκῆ καὶ τὰ λοιπά. οὕτως οὖν καὶ τῆς οὐσίας ἀναιρουμένης συναναιρεῖται καὶ τὰ συμβεβηκότα· καὶ γὰρ ἀναιρουμένου Σωκράτους συναναιρεῖται καὶ τὸ τύπτειν αὐτὸν καὶ τὸ γράφειν. τῶν δὲ συμβεβηκότων ἀναιρουμένων οὐ συναναιρεῖται ἡ οὐσία· δύναται γὰρ Σωκράτης ἠρεμεῖν καὶ μήτε τύπτειν μήτε γράφειν. κατὰ τρίτον δὲ λόγον προτερεύει τὸ ὄνομα τοῦ ῥήματος ὅτι τὸ μὲν ὄνομα συνεισφέρεται, τὸ δὲ ῥῆμα συνεισφέρει. καὶ γὰρ ἐάν τις εἴπῃ τύπτει ἢ γράφει, πάντως συνεισφέρει καὶ τὴν οὐσίαν ἤγουν τὸν τύπτοντα καὶ τὸν γράφοντα. τὰ δὲ συνεισφερόμενα προτερεύουσι τῶν συνεισφερόντων, οἷον τὸ καθόλου φυτὸν προτερεύει τῆς ἐλαίας, ἐπειδὴ συνεισφέρεται. καὶ γὰρ ἐάν τις εἴπῃ ἐλαίαν, πάντως συνεισφέρει καὶ τὸ φυτόν· ἡ γὰρ ἐλαία φυτόν· ἐὰν δέ τις εἴπῃ φυτόν, οὐ πάντως συνεισφέρει καὶ τὴν ἐλαίαν· οὐ γὰρ μόνον ἡ ἐλαία φυτόν, ἀλλὰ καὶ ἄμπελος καὶ συκῆ καὶ ἄλλα τινά. τὸ δὲ συνεισφέρεται δεῖ νοεῖν ἀντὶ τοῦ συννοεῖται. περὶ δὲ τῆς τάξεως πάντων τῶν μερῶν τοῦ λόγου, ἔτι δὲ καὶ περὶ τῆς αἰτίας τῆς ὀνομασίας αὐτῶν, τοῦτ᾽ ἔστι διὰ τί οὕτως ὠνομάσθησαν, οἷον διὰ τί τὸ ὄνομα λέγεται ὄνομα ἢ τὸ ῥῆμα ῥῆμα καὶ τὰ λοιπὰ ὁμοίως, ἐν τοῖς προλεγομένοις τοῦ ὀνοματικοῦ Ἡρωδιανοῦ μαθησόμεθα. Ταῦτα μὲν ἐν τούτοις.

Ἐπειδὴ δὲ πᾶσα διδασκαλία ἐξ ὅρου καὶ παρεπομένων θέλει παραλαμβάνεσθαι, διαληπτέον πρῶτον περὶ τοῦ ὅρου τοῦ ῥήματος. ῥῆμα τοίνυν ἐστὶ μέρος λόγου ἄπτωτον ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρους χρόνους δηλοῦν μετ᾽ ἐνεργείας ἢ πάθους ἢ οὐδετέρου τούτων, προσώπου σημαντικὸν ὅτε καὶ τὰς τῆς ψυχῆς διαθέσεις δηλοῖ. „μέρος λόγου" πρόςκειται, ἐπειδὴ ἔχομεν ὅτι ὀκτὼ μέρη τοῦ λόγου εἰσί, τὸ δὲ ῥῆμα ἕν ἐστιν ἐκ τῶν ὀκτὼ μερῶν τοῦ λόγου. „ἄπτωτον" δὲ πρόςκειται πρὸς ἀντιδιαστολὴν τῶν μετοχῶν· αἱ μὲν γὰρ μετοχαὶ πτωτικαί εἰσι, τὰ δὲ ῥήματα ἄπτωτα. „ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρους χρόνους δηλοῦν" πρόςκειται διὰ τὰ χρονικὰ τῶν ἐπιῤῥημάτων, οἷον τὸ χθὲς σήμερον, αὔριον· ἰδοὺ γὰρ καὶ ταῦτα χρόνου σημαντικά εἰσι καὶ διαφόρους χρόνους δηλοῦσιν, ἀλλ᾽ ἐν ἀλλοτρίαις φωναῖς, οὐκ ἐν ἰδίοις μετασχηματισμοῖς· οὐδὲν γὰρ μετέχει κατὰ φωνὴν τὸ χθὲς τοῦ σήμερον καὶ τοῦ αὔριον, ἀλλὰ τελεία μεταλλαγὴ τῆς φωνῆς

ἐγένετο. τὰ μέντοι ῥήματα ἐν ἰδίαις φωναῖς διαφόρους χρόνους δηλοῦσι. καὶ γὰρ τύπτω ὁ ἐνεστώς, ὁ παρατατικὸς ἔτυπτον, τέτυφα ὁ παρακείμενος, ἐτετύφειν ὁ ὑπερσυντέλικος, ἔτυψα ὁ ἀόριστος, ὁ μέλλων τύψω· καὶ ἰδοὺ διαφόρους χρόνους δηλοῦσιν, οὐκ ἐν ἀλλοτρίαις δὲ φωναῖς ἀλλ᾽ ἐν ἰδίαις μεταλλαγαῖς τῶν λέξεων· μετέχει γὰρ ἑκάστη λέξις τούτων τῆς ἄλλης λέξεως καὶ οὐ τελείως παρετράπησαν. „μετ᾽ ἐνεργείας ἢ πάθους" πρόςκειται, ἐπειδὴ τῶς ῥημάτων τὰ μὲν ἐνέργειαν τὰ δὲ πάθος δηλοῦσι καὶ παριστῶσιν, οἷον τύπτω τύπτομαι. τὸ δὲ „οὐδετέρου" πρόςκειται διὰ τὴν ἀκρίβειαν, ἐπειδὴ εἰσί τινα ῥήματα ἃ οὔτε ἐνέργειαν οὔτε πάθος δηλοῦσιν, ὡς ἐπὶ τοῦ ζῶ, πλουτῶ, ὑπάρχω· ταῦτα γὰρ οὔτε ἐνέργειαν οὔτε πάθος δηλοῦσι. Καὶ ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα κακία ὅρου τὸ ἐλλείπειν καὶ πλεονάζειν, τί δήποτε τριῶν διαθέσεων οὐσῶν, ἐνεργείας φημὶ καὶ πάθους καὶ μεσότητος, ἐν τῷ ὅρῳ τῆς ἐνεργείας μόνης ἐμνημόνευσέ καὶ τοῦ πάθους ὁ τὸν ὅρον ὁρισάμενος, καὶ οὐχὶ καὶ τῆς μεσότητος. καὶ λέγομεν ὅτι μνημονεύσας τῆς ἐνεργείας καὶ τοῦ πάθους καὶ τὴν μεσότητα συμπεριέλαβε· καὶ γὰρ καὶ ἡ μεσότης ἢ ἐνέργειαν σημαίνει ἢ πάθος, ἕτερον δὲ οὐδὲν σημαίνει, ἐνέργειαν μὲν οὖν οἷον τέτυπα καὶ ἐγραψάμην ἀντὶ τοῦ τέτυφα καὶ ἔγραψα, πάθος δὲ οἷον τέτηκα καὶ ἐλουσάμην ἀντὶ τοῦ ἐτάκην καὶ ἐλούσθην. „προσώπων" δὲ „σημαντικόν" πρόςκειται, ἐπειδὴ τὰ ῥήματα πρόσωπα σημαίνουσι. πρόςκειται δὲ „ὅτε καὶ τὰς τῆς ψυχῆς διαθέσεις δηλοῖ," ἐπειδὴ τῶν ῥημάτων τὰ μὲν ἔχουσι πρόσωπα ὡς τὰ ὁριστικά, προστακτικά, εὐκτικά, ὑποτακτικά, ἅτινα καὶ διάθεσιν ψυχῆς ἔχουσι, τοῦτ᾽ ἔστι προαίρεσιν, τὰ δὲ οὐχί, ὥςπερ τὰ ἀπαρέμφατα, ἐπειδὴ οὐκ ἔχουσι διάθεσιν ψυχῆς, τοῦτ᾽ ἔστιν προαίρεσιν, οὔτε πρόσωπα ἔχουσιν. κάλλιον δὲ πρόςκειται τῷ προσώπων σημαντικὰ τὰ ῥήματα τὸ ὅτε καὶ ψυχῆς προαίρεσιν ἔχουσιν· ὅτε γὰρ μὴ ἔχουσι θέλημα ψυχῆς, οὔτε πρόσωπα ἔχουσι. Τοσαῦτα περὶ τοῦ ὅρου τοῦ ῥήματος ἐν συντόμῳ ἔχομεν εἰπεῖν.

Παρέπεται δὲ τῷ ῥήματι ὀκτώ, ἐγκλίσεις, διαθέσεις, εἴδη, σχήματα, ἀριθμοί, πρόσωπα, χρόνοι καὶ συζυγίαι. Ἐγκλίσεις μὲν οὖν εἰσὶ πέντε, ὁριστική, ἀπαρέμφατος, εὐκτική, προστακτική, ὑποτακτική· οὕτω γὰρ δοκεῖ τῷ Ἀπολλωνίῳ περὶ τῆς τάξεως αὐτῶν διαλαβεῖν. ἐγκλίσεις δὲ πέντε οὐ κυρίως ἀλλὰ καταχρηστικῶς· ὡς γὰρ ἡ εὐθεῖα οὐ κυρίως καλεῖται πτῶσις ἀλλὰ καταχρηστικῶς.

οὕτω καὶ ἡ ἀπαρέμφατος οὐ κυρίως καλεῖται ἔγκλισις ἀλλὰ καταχρηστικῶς· οὐ γὰρ ἔχει διάθεσιν ψυχῆς, τοῦτ᾽ ἔστι προαίρεσιν, ὅπερ ἴδιον ἐγκλίσεως· ἔγκλισις γὰρ ἡ ψυχικὴ προαίρεσις, τοῦτ᾽ ἔστι καθ᾽ ἣν ἐγκλίνεται ἡ ψυχὴ ἢ εἰς ὃ ῥέπει ἡ ψυχή· ἐγκλίνει γὰρ καὶ ῥέπει εἰς τὸ ὁρίσαι ἢ εἰς τὸ προστάξαι ἢ εἰς τὸ εὔξασθαι ἢ διστάσαι. ἰστέον δὲ ὅτι τὰς ἐγκλίσεις καὶ τὰς διαθέσεις οἱ παλαιοὶ κοινῶς διαθέσεις ἐκάλουν, καὶ λοιπὸν ὕστερον διεμέρισαν, καὶ τὰς μὲν ψυχικὰς ἐκάλεσαν ἐγκλίσεις, τὰς δὲ σωματικὰς διαθέσεις, οἷον τὸ μὲν ἐνθυμηθῆναι τύψαι ἔγκλισιν καλοῦσιν, εἰς ὃ ῥέπει ἡ ψυχή, τὸ δὲ ἐνεργῆσαι τύψαι διάθεσιν. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον ὅτι πρώτη ἡ ὁριστική, καίτοι ὀφειλούσης τῆς ἀπαρεμφάτου πρώτην ἔχειν τάξιν, ἐπειδὴ ἐξ αὐτῆς γίνονται πᾶσαι αἱ ἐγκλίσεις καὶ εἰς αὐτὴν ἀναλύονται. ὥσπερ γὰρ ἐκ τῶν τεσσάρων στοιχείων τὰ ἡμέτερα σώματα συνίστανται καὶ εἰς αὐτὰ πάλιν ἀναλύονται, οὕτω καὶ ἐκ τῆς ἀπαρεμφάτου συνίστανται αἱ ἄλλαι ἐγκλίσεις καὶ εἰς αὐτὴν ἀναλύονται. ἐκ γὰρ τοῦ τύπτειν μεταλαμβάνω καὶ λέγω τύπτω καὶ τύπτε καὶ τύπτοιμι καὶ ἐὰν τύπτω· καὶ ἰδοὺ ἐξ αὐτῆς συνίστανται. ἀλλὰ καὶ εἰς αὐτὴν ἀναλύονται· ἐὰν γὰρ λέγω τύπτω καὶ ἐρωτηθῶ τί ὡρισάμην, λέγω τὸ τύπτειν, καὶ πάλιν ἐὰν εἴπω τύπτε καὶ ἐρωτηθῶ τί προςέταξα, λέγω τὸ τύπτειν, καὶ ἐὰν εἴπω τύπτοιμι καὶ ἐρωτηθῶ τί ηὐξάμην, λέγω τὸ τύπτειν, καὶ ἐὰν εἴπω ἐὰν τύπτω καὶ ἐρωτηθῶ τί ἐδίσταζα, λέγω τὸ τύπτειν. ὡς εἴπομεν οὖν, ἐκ τῶν ἀπαρεμφάτων γίνονται αἱ ἄλλαι ἐγκλίσεις καὶ εἰς αὐτὴν πάλιν ἀναλύονται, ὡς ἐδείξαμεν, ὥσπερ καὶ ἐπὶ τῶν ἡμετέρων σωμάτων. ταῦτα δὲ ἐκ τῶν τεσσάρων στοιχείων γίνονται, πυρός, ἀέρος, ὕδατος καὶ γῆς, καὶ εἰς αὐτὰ ἀναλύονται, ὡς καὶ ὁ ποιητὴς ἐδήλωσεν εἰπὼν

ὕδωρ καὶ γαῖα γένοισθε.

ἀλλ᾽ ἐπειδὴ τὰ ἀπαρέμφατα ἀμφιβάλλονται εἰ ἄρα εἰσὶ ῥήματα ἢ οὐχί, οὐ δεῖ δὲ τὰς ἀρχὰς ποιεῖσθαι ἀπὸ τῶν ἀμφιβόλων, τούτου χάριν οὐ προετάγησαν τῶν ἄλλων ἐγκλίσεων. πῶς δὲ ἀμφιβάλλονται, μετ᾽ ὀλίγον εἰσόμεθα. Προτέτακται δὲ ἡ ὁριστικὴ κατὰ τρόπους τοιούτους, ἐπειδὴ οὐκ ἔχει συνεζευγμένους τοὺς χρόνους ἀλλὰ πάντας διακεχωρισμένους, τῶν ἄλλων ἐγκλίσεων μὴ ἐχουσῶν διακεχωρισμένους πάντας τοὺς χρόνους. ἔχομεν δὲ ἐν τοῖς ὁριστικοῖς ἐνεστῶτα ἰδίως οἷον τύπτω, καὶ παρατατικὸν ἰδίως οἷον ἔτυπτον, καὶ τοὺς λοιποὺς ὁμοίως· αἱ δὲ ἄλλαι ἐγκλίσεις ου-

νεζευγμένους ἔχουσι τοὺς χρόνους, καὶ εἰ μὴ πάντας, τινὰς ἐξ αὐτῶν. ἐν μὲν γὰρ τοῖς ἀπαρεμφάτοις καὶ τοῖς εὐκτικοῖς ἐνεστῶτα καὶ παρατατικὸν ὁμοῦ φαμέν, οἷον τύπτειν τύπτοιμι, καὶ παρακείμενον καὶ ὑπερσυντέλικον, οἷον τετυφέναι καὶ τετύφοιμι, ἀόριστον δὲ ἰδίως καὶ μέλλοντα, οἷον τύψαι τύψειν, τύψαιμι τύψοιμι· ἐν δὲ τοῖς προστακτικοῖς καὶ τοῖς ὑποτακτικοῖς πάντες οἱ χρόνοι συνημμένοι εἰσίν· ἐνεστῶτα γὰρ καὶ παρατατικὸν ὁμοῦ φαμέν, οἷον τύπτε – ἐὰν τύπτω, καὶ παρακείμενον καὶ ὑπερσυντέλικον ὁμοῦ, οἷον τέτυφε – ἐὰν τετύφω, καὶ ἀόριστον καὶ μέλλοντα, οἷον τύψον – ἐὰν τύψω. διὰ ταύτην οὖν τὴν αἰτίαν, ὡς ἔχουσα ἡ ὁριστικὴ πάντας τοὺς χρόνους διακεχωρισμένους, προτέτακται τῶν ἄλλων ἐγκλίσεων. κατὰ δεύτερον δὲ λόγον, ὅτι πᾶσα παραγωγὴ καὶ πᾶσα σύνθεσις ἀπὸ ῥήματος γινομένη ἐκ τῶν ὁριστικῶν γίνεται καὶ οὐκ ἐκ τῶν ἄλλων ἐγκλίσεων, οἷον πατροτύπτης ἀπὸ τοῦ τύπτω, Ἀριστοφάνης ἀπὸ τοῦ φαίνω, Διοπείθης ἀπὸ τοῦ πείθω, Διομήδης ἀπὸ τοῦ μήδω, ὃ σημαίνει τὸ βουλεύομαι, γράμμα ἀπὸ τοῦ γέγραμμαι, ψάλτης ἀπὸ τοῦ ἔψαλται, δοτης ἀπὸ τοῦ δέδοται, θύτης ἀπὸ τοῦ τέθυται. κατὰ τρίτον δὲ λόγον, ὅτι καὶ αἱ ἄλλαι ἐγκλίσεις σκοπὸν ἔχουσι προκόψαι εἰς τὴν ὁριστικὴν καὶ ἴσασι προϋπάρχουσαν αὐτήν. ὁ γὰρ λέγων τινὶ τύπτε γράφε διὰ τοῦτο λέγει, ἵνα εἴπῃ ἐκεῖνος γράφω ἢ ἔγραψα καὶ τύπτω ἢ ἔτυψα· καὶ ὁ λέγων ὑγιαίνοιμι διὰ τοῦτο εὔχεται, ἵνα ἔλθῃ εἰς αὐτὸ τὸ πρᾶγμα καὶ εἴπῃ ὑγίανα ὑγιαίνω· καὶ ὁ λέγων ἐὰν ὑγιάνω διὰ τοῦτο διστάζει, ἵνα ἔλθῃ εἰς αὐτὸ τὸ πρᾶγμα καὶ εἴπῃ ὑγιαίνω ὑγίανα. εἰκότως οὖν προτέτακται ἡ ὁριστικὴ τῶν ἄλλων ἐγκλίσεων.

Δευτέρα δὲ ἡ ἀπαρέμφατος, καὶ τοῦτο εὐλόγως, εἴ γε, ὡς εἴρηται, ὤφειλε καὶ πρώτη εἶναι, ἀλλ᾽ ἐπειδή, ὡς εἴπομεν, ἀμφιβάλλεται εἴτε ῥῆμά ἐστιν ἢ οὔ, οὐ δεῖ δὲ τὰς ἀρχὰς ἐκ τῶν ἀμφιβαλλομένων ποιεῖσθαι, διὰ τοῦτο οὐ προτέτακται. Ἔλθωμεν καὶ εἴπωμεν πῶς ἀμφιβάλλεται ἡ ἀπαρέμφατος εἰ ῥῆμά ἐστιν ἢ οὐχί. καὶ δεῖ γινώσκειν ὅτι πᾶν ῥῆμα θέλει ἔχειν πρόσωπα, θέλει ἔχειν θέλημα ψυχῆς, θέλει ἔχειν ἀριθμούς. τὰ δὲ ἀπαρέμφατα οὐδὲν ἐκ τούτων ἔχουσιν· οὔτε γὰρ πρόσωπα ἔχουσιν οὔτε θέλημα ψυχῆς οὔτε ἀριθμούς. ἐντεῦθεν οὐκ ἄρα ῥήματά εἰσιν. ἄλλως τε δὲ οὐδέποτε δύο ῥήματα ἄνευ συνδέσμου παραλαμβανόμενα τέλειον λόγον ἀποτελοῦσιν· οὐδεὶς γὰρ λέγει τύπτω ἀνάγνωθι ἢ τύπτω

ἀναγινώσκω, ἀλλὰ μετὰ συνδέσμου, οἷον τύπτω καὶ ἀνάγνωθι, καὶ τύπτω καὶ ἀναγινώσκω. τὰ μέντοι ἀπαρέμφατα παραλαμβάνονται ἄνευ συνδέσμου μετὰ ῥήματος καὶ ἀποτελοῦσι τέλειον λόγον, ὡς ἐπὶ τοῦ μέλλω γράφειν, ἐπιθυμῶ φιλοσοφεῖν, προθυμοῦμαι περιπατεῖν. οὐκ ἄρα οὖν ῥήματα τὰ ἀπαρέμφατα. καὶ γὰρ τὰ ῥήματα ἔχουσιν ἐνέργειαν, πάθος, μεσότητα, οἷον τύπτω τύπτομαι τέτυπα, ἔχουσι διαφόρους χρόνους ἐν ἰδίοις μετασχηματισμοῖς ἢ ἐν ἰδίαις ἐναλλαγαῖς τῶν λέξεων, οἷον τύπτω ἔτυπτον τέτυφα τέτυπα ἐτετύφειν ἐτετύπειν ἔτυψα ἔτυπον τύψω τυπῶ. ὁμοίως δὲ καὶ τὰ ἀπαρέμφατα ἔχουσι διαφόρους χρόνους ἐν ἰδίοις μετασχηματισμοῖς, οἷον τύπτειν τετυφέναι τετυπέναι τύψαι τυπεῖν τύψειν τυπεῖν τυπέσθαι. ἄρα οὖν ῥήματα τὰ ἀπαρέμφατα. Περὶ δὲ τοῦ μὴ ἔχειν τὰ ἀπαρέμφατα μήτε πρόσωπα μήτε ἀριθμοὺς μήτε θέλημα ψυχῆς λέγομεν ὅτι τὰ ἀπαρέμφατα ὀνόματά εἰσι τῶν πραγμάτων· ἀντὶ γὰρ τοῦ εἰπεῖν ὁ περίπατος λέγω τὸ περιπατεῖν καὶ ἀντὶ τοῦ εἰπεῖν ἡ φιλοσοφία λέγω τὸ φιλοσοφεῖν. τὸ δὲ πρᾶγμα αὐτὸ καθ' ἑαυτὸ νοούμενον οὐ θεωρεῖται ἔν τινι, ὥσπερ ἢ χρῶμα ἢ λευκότης ἔν τινι θεωρεῖται δὲ μὴ ἔν τινι θεωρεῖται χρῶμα ὡς ἂν εἴη οὐ συμβεβηκὸς θεωρηθήσεται ἀλλ' αὐθυπόστατον· αὕτη γὰρ αὐτὴ καθ' ἑαυτὴν οὖσα οὐ θεωρεῖται ἔν τινι. τὸν αὐτὸν οὖν τρόπον καὶ τὰ ἀπαρέμφατα ὡς ὀνόματα ὄντα τῶν πραγμάτων αὐτὰ καθ' ἑαυτὰ ὄντα οὐκ ἐγένοντο ἔν τινι, μὴ γενόμενα δὲ ἔν τινι εἰκότως οὐδὲ πρόσωπα ἔχουσι. τούτου χάριν οὐκ ἔχουσι τὰ ἀπαρέμφατα πρόσωπα. μὴ ὄντων δὲ προσώπων εἰκότως οὐδὲ θέλημα ψυχῆς δύναται εἶναι· πῶς γὰρ δύναται εἶναι θέλημα ψυχῆς ἄνευ προσώπων; τὸ γὰρ μὴ ὂν πῶς ἔχει θελῆσαι; εἰκότως οὖν οὔτε θέλημα ψυχῆς ἔχουσι τὰ ἀπαρέμφατα. ἀλλ' οὔτε δὲ ἀριθμὸς δύναται εἶναι προσώπων μὴ ὄντων· ἐκ γὰρ τῶν διαφόρων προσώπων τίκτεται καὶ ὁ διάφορος ἀριθμός, οἷον ἐκ τοῦ ἑνὸς προσώπου γίνεται ὁ ἑνικὸς ἀριθμὸς καὶ ἐκ τῶν δύο γίνεται ὁ δυϊκὸς καὶ ἐκ τῶν πλειόνων γίνεται ὁ πληθυντικός. τούτου χάριν οὔτε ἀριθμοὺς ἔχουσι τὰ ἀπαρέμφατα. εἰκότως οὖν οὔτε πρόσωπα οὔτε ἀριθμοὺς οὔτε θέλημα ψυχῆς. Περὶ δὲ τῆς συντάξεως, ὅτι ἄνευ συνδέσμου παραλαμβανόμενα τὰ ἀπαρέμφατα μετὰ ῥημάτων ἀποτελοῦσι τέλειον λόγον, οἷον θέλω γράφειν, βούλομαι ἀναγινώσκειν, ἔστιν εἰπεῖν ὅτι οὐ μετὰ πάντων τῶν ῥημάτων συντασσόμενα τέλειον λόγον ἀποτελοῦσιν (οὐ γὰρ λέγομεν

μεν τύπτω ἀναγινώσκειν ἢ περιπατῶ διαλέγεσθαι) ἀλλὰ μετὰ μόνων τῶν προαιρετικῶν, φημὶ δὲ τὸ θέλω καὶ βούλομαι καὶ προαιροῦμαι, καὶ τῶν ἐφετικῶν (ἐφετικὰ δὲ λέγονται τὰ ἐπιθυμίας δηλωτικά· ἔφεσις γὰρ τὸ ἐπιθυμεῖν) οἷον θέλω γράφειν, ἐπιθυμῶ φιλοσοφεῖν, προθυμοῦμαι περιπατεῖν, εὔχομαι ὑγιαίνειν, θέλω ἀναγινώσκειν, βούλομαι φιλοσοφεῖν, προαιροῦμαι ἐξηγεῖσθαι, καὶ ἁπλῶς εἰπεῖν μετὰ τῶν σημαινόντων ἔλλειψιν πράγματος, ὡς ἐπὶ τοῦ δεῖ γράφειν, χρὴ διαλέγεσθαι, χρεωστῶ παιδεύειν, ὀφείλω εὐεργετεῖν. δεύτερον δὲ διὰ τοῦτο μετὰ τούτων τὰ ἀπαρέμφατα συνταττόμενα τέλειον λόγον ἀποτελοῦσιν, ἐπειδὴ ταῦτα, λέγω δὴ τὸ θέλω καὶ βούλομαι καὶ προαιροῦμαι καὶ τὰ ὅμοια, ἔχουσι θέλημα ψυχῆς, ἔχουσι πρόσωπα, ἔχουσιν ἀριθμούς, πράγματι δὲ μόνῳ ἐλλείπουσιν (ὁ γὰρ βουλόμενος ἢ θέλων τι ποιῆσαι, ὡς λεῖπον τὸ πρᾶγμα, θέλει ποιῆσαι αὐτό), τὰ δὲ ἀπαρέμφατα ἐκ τοῦ ἐναντίου· πράγματος γὰρ μόνου δηλωτικά εἰσι, μὴ ἔχοντα μήτε πρόσωπα μήτε ἀριθμοὺς μήτε θέλημα ψυχῆς. εἴ τι οὖν λείπει τοῖς ἀπαρεμφάτοις, ἀναπληροῦται διὰ τούτων, καὶ εἴ τι λείπει τούτοις, ἀναπληροῦται διὰ τῶν ἀπαρεμφατων, καὶ ὡς ἔστιν εἰπεῖν, ἑκάτερον δι' ἑκατέρου ἀναπληροῦται. τούτου οὖν τὰ ἀπαρέμφατα χάριν μετὰ τούτων συνταττόμενα ἀποτελοῦσι τέλειον λόγον. Ἔχομεν τὰ περὶ τῆς ἀπαρεμφάτου.

Τρίτη δὲ ἡ εὐκτικὴ κατὰ Ἀπολλώνιον, ἐπειδὴ τελείας ἔχει φωνὰς ὡς πρὸς τὴν προστακτικήν· ἔχει γὰρ καὶ πρῶτον καὶ δεύτερον καὶ τρίτον πρόσωπον, τῆς προστακτικῆς δεύτερον καὶ τρίτον πρόσωπον μόνον ἐχούσης. τὰ γὰρ προστακτικὰ πρῶτα πρόσωπα οὐκ ἔχουσιν, ἐπειδὴ οὐδεὶς ἑαυτῷ προστάττων ἐστίν· οὐ γὰρ λέγομεν ἐγὼ τύπτε. πρόσκειται „κατὰ Ἀπολλώνιον,“ ἐπεὶ ὁ Διονύσιος καὶ ὁ Θεοδόσιος τὴν προστακτικὴν προτάσσουσι τῆς εὐκτικῆς, ὡς εἰ θεῷ φίλον ἐκεῖσε γινόμενοι μαθησόμεθα.

Ἡ δὲ προστακτικὴ προτέτακται τῆς ὑποτακτικῆς, ἐπειδὴ ἡ προστακτικὴ ἀποτελεῖ τέλειον λόγον, ἡ δὲ ὑποτακτικὴ οὐκ ἀποτελεῖ τέλειον λόγον· ἔχομεν γὰρ ἐν τοῖς προλαβοῦσιν ὅτι οὐδέ ποτε τέλειος λόγος γίνεται χωρὶς ἑνὸς τῶν τριῶν ῥημάτων τούτων, τουτέστιν ὁριστικοῦ προστακτικοῦ εὐκτικοῦ, ἢ λεγομένου ἢ νοουμένου. Τοσαῦτα περὶ τῶν ἐγκλίσεων ἔχομεν εἰπεῖν.

Διαθέσεις δέ εἰσι τρεῖς, ἐνέργεια, πάθος, μεσότης, ἐνέργεια μὲν οὖν οἷον τύπτω, πάθος δὲ οἷον τύπτομαι, μεσότης δὲ ἡ ποτὲ

μὲν ἐνέργειαν δηλοῦσα, ποτὲ δὲ πάθος παριστῶσα, ὡς ἐπὶ τοῦ τέτηκα καὶ τέτυπα· τὸ μὲν γὰρ τέτυπα ἐνέργειαν δηλοῖ ἀντὶ τοῦ ἔτυψα, τὸ δὲ τέτηκα πάθος· ἀντὶ γὰρ τοῦ ἐτάκην. καὶ πάλιν ἐγραψάμην ἐλουσάμην· τὸ μὲν γὰρ ἐγραψάμην ἐνέργειαν δηλοῖ· ἀντὶ γὰρ τοῦ ἔγραψα· τὸ δὲ ἐλουσάμην πάθος παρίστησιν· ἀντὶ γὰρ τοῦ ἐλούσθην. Καὶ ἀποροῦσί τινες λέγοντες διὰ ποίαν αἰτίαν [φημὶ δὴ] τὰ λεγόμενα μέσα μὴ ἐκ τοῦ σημαινομένου ἐκλήθησαν, ἵνα ὅταν μὲν σημαίνωσιν ἐνέργειαν λέγωνται ἐνεργητικά, ὡς ἐπὶ τοῦ τέτυπα καὶ ἐγραψάμην, ὅταν δὲ σημαίνωσι πάθος, λέγωνται παθητικά, ὡς ἐπὶ τοῦ τέτηκα καὶ ἐλουσάμην. ἔστιν οὖν εἰπεῖν ὅτι ὁ χαρακτὴρ ἤγουν ὁ τύπος τῆς φωνῆς ἐπεκράτησεν ἐπὶ τούτων. ὥσπερ γὰρ ἐν τοῖς ὀνόμασι πολλάκις τοῦ σημαινομένου ἐπικρατεῖ ὁ χαρακτήρ, (ἰδοὺ γὰρ τὸ παιδίον εἰ καὶ ἄῤῥεν καὶ θῆλυ δηλοῖ, ὅμως οὔτε ἀρσενικὸν οὔτε θηλυκὸν καλεῖται, ἀλλ' οὐδέτερον πρὸς τὸν χαρακτῆρα τῆς φωνῆς, ἐπειδὴ οὔτε ἀρσενικὸν χαρακτῆρα ἔχει οὔτε θηλυκόν), τὸν αὐτὸν οὖν τρόπον καὶ ἐπὶ τῆς μέσης διαθέσεως ὁ χαρακτὴρ τῆς φωνῆς ἐπεκράτησε τοῦ σημαινομένου. Διὰ τί δὲ καλεῖται διάθεσις, προϊόντες, εἰ θεῷ φίλον, μαθησόμεθα. Ταῦτα μὲν ἐν τούτοις.

Εἴδη δέ εἰσι δύο, πρωτότυπον καὶ παράγωγον, καὶ πρωτότυπον μὲν οἷον ἄρδω, παράγωγον δὲ οἷον ἀρδεύω. τινὲς δὲ ἠθέλησαν λέγειν μὴ ἔχειν τὰ ῥήματα εἴδη, λέγοντες ὅτι οὐκ ἔχουσιν ἐναλλαγὴν τοῦ σημαινομένου· τὸ αὐτὸ γὰρ σημαίνει καὶ τὸ ἱστῶ καὶ τὸ ἵστημι, ὁμοίως καὶ τὸ τιθῶ καὶ τίθημι καὶ τὸ διδῶ καὶ δίδωμι· ἐν δὲ τοῖς εἴδεσι τῶν ὀνομάτων ἐναλλαγὴ γίνεται σημαινομένου, οἷον πατρωνυμικοῖς, κτητικοῖς, συγκριτικοῖς, ὑπερθετικοῖς, ὑποκοριστικοῖς, παρωνύμοις, ῥηματικοῖς. ἔστι δὲ εἰπεῖν ὅτι, εἰ καὶ μὴ γίνεται ἐναλλαγὴ σημαινομένων, ἀλλ' οὖν ἐναλλαγὴ φωνῆς γίνεται, ὡς ἐν τῷ ἄρχω ἀρχεύω, ἄρδω ἀρδεύω, τιθῶ τίθημι, ἱστῶ ἵστημι. ἄλλως τε δὲ πολλάκις καὶ ἐναλλαγὴ σημαινομένων γίνεται. καὶ ἀπὸ ὀνομάτων γίνονται παράγωγα ῥήματα καὶ ἐναλλάσσουσι τὸ σημαινόμενον, οἷον πόλεμος πολεμίζω, Ἀντίγονος ἀντιγονίζω, Φίλιππος φιλιππίζω, Μῆδος μηδίζω. ἰδοὺ ταῦτα ἀπὸ ὀνομάτων παραχθέντα ἐναλλαγὴν ἐποιήσαντο τοῦ σημαινομένου· τὸ μὲν γὰρ πόλεμος σημαίνει τὸν πόλεμον, τὸ δὲ πολεμίζω τὰ τοῦ πολέμου φρονῶ, καὶ πάλιν τὸ μὲν Ἀντίγονος τὸν Ἀντίγονον σημαίνει, τὸ δὲ ἀντιγονίζω τὰ τοῦ Ἀντιγόνου φρονῶ,

καὶ πάλιν τὸ μὲν Φίλιππος τὸν Φίλιππον σημαίνει, τὸ δὲ φιλιππίζω τὰ τοῦ Φιλίππου φρονῶ. καὶ ἀπὸ ῥημάτων δὲ γίνονται ὁμοίως παράγωγα ῥήματα καὶ ἐναλλάσσουσι τὸ σημαινόμενον, οἷον βρώσω βρωσείω· τὸ μὲν γὰρ βρώσω τὸ μέλλω φαγεῖν σημαίνει, τὸ δὲ βρωσείω τὸ ἐπιθυμίαν ἔχω τῆς βρώσεως. καὶ πάλιν πολεμήσω πολεμησείω· τὸ μὲν γὰρ πολεμήσω τὸ μέλλω πολεμῆσαι δηλοῖ, τὸ δὲ πολεμησείω τὸ ἐπιθυμίαν ἔχω τοῦ πολέμου. καὶ πάλιν ὄψω ὀψείω· τὸ μὲν γὰρ ὄψω τὸ μέλλω θεωρῆσαι δηλοῖ, τὸ δὲ ὀψείω τὸ ἐπιθυμίαν ἔχω τοῦ θεωρῆσαι. καὶ ταῦτα μὲν ἀπὸ μελλόντων παραγόμενα ἐνεστῶτος χρόνου γίνονται.

Σχήματα δέ εἰσι τρία, ἁπλοῦν, σύνθετον, παρασύνθετον, ἁπλοῦν μὲν οἷον φρονῶ, σύνθετον δὲ οἷον καταφρονῶ, παρασύνθετον δὲ οἷον καταφρονῶ, παρασύνθετον δὲ τὸ ἀπὸ συνθέτου γινόμενον, ὡς ἀπὸ τοῦ Ἀντίγονος συνθέτου γίνεται τὸ ἀντιγονίζω παρασύνθετον.

Ἀριθμοὶ δέ εἰσι τρεῖς, ἑνικός, δυϊκός, πληθυντικός, ἑνικὸς μὲν οἷον τύπτω, δυϊκὸς δὲ οἷον τύπτετον, πληθυντικὸς δὲ οἷον τύπτομεν.

Πρόσωπα δέ εἰσι τρία, πρῶτον, δεύτερον, τρίτον. καὶ λέγει ὁ Διονύσιος ὅτι πρῶτον μέν ἐστιν ἀφ' οὗ ὁ λόγος, οἷον τύπτω, δεύτερον δὲ πρὸς ὃν ὁ λόγος, οἷον τύπτεις, τρίτον δὲ περὶ οὗ ὁ λόγος, οἷον τύπτει. λαμβάνεται δὲ ὁ Ἀπολλώνιος τοῦ προκειμένου λόγου, λέγων ὅτι δέον ἐστὶ καὶ προσθεῖναί τινα καὶ εἰπεῖν οὕτως, ὅτι πρῶτον μέν ἐστι πρόσωπον ἀφ' οὗ ὁ λόγος καὶ περὶ ἐμοῦ τοῦ προσφωνοῦντος, δεύτερον δὲ πρόσωπον πρὸς ὃν ὁ λόγος καὶ περὶ αὐτοῦ τοῦ προσφωνουμένου, τρίτον δέ ἐστι πρόσωπον περὶ οὗ ὁ λόγος μήτε προσφωνοῦντος μήτε προσφωνουμένου. δύναται δὲ κατὰ τὴν ἀκρίβειαν τὸ μὲν πρῶτον καὶ δεύτερον πρόσωπον καλῶς ἔχειν ὡς καὶ ὁ Διονύσιος εἶπεν ὅτι πρῶτον μέν ἐστιν πρόσωπον ἀφ' οὗ ὁ λόγος· ἀεὶ γὰρ ἀπὸ πρώτου ἐστὶν ὁ λόγος καὶ οὐδεπώποτε ἀπὸ δευτέρου οὔτε ἀπὸ τρίτου, δεύτερον δὲ πρὸς ὃν ὁ λόγος· ἀεὶ γὰρ πρὸς δεύτερον πρόσωπόν ἐστιν ὁ λόγος, καὶ οὐδέποτε οὔτε πρὸς πρῶτον οὔτε πρὸς τρίτον· τὸ δὲ τρίτον πρόσωπον οὐκ ἔχει καλῶς, λέγω δὲ τὸ περὶ οὗ ὁ λόγος, ὡς ὁ Διονύσιος ἐδόξασε. δύναται δὲ καὶ περὶ πρώτου εἶναι ὁ λόγος καὶ περὶ δευτέρου· ἐὰν γὰρ εἴπω τύπτω, περὶ τινός ἐστιν ὁ λόγος, τοῦτ' ἔστι περὶ ἐμοῦ, καὶ πάλιν ἐὰν εἴπω τύπτεις, περί τινός ἐστιν ὁ λόγος, τοῦτ' ἔστι περὶ σοῦ. τούτου οὖν χάριν δέον ἐστὶ προσθεῖναι ἐν τῷ τρίτῳ προσ-

ώπῳ προσδιορισμόν τινα; καὶ εἰπεῖν ὅτι τρίτον ἐστὶ πρόσωπον περὶ οὗ ὁ λόγος μήτε προσφωνοῦντος μήτε προσφωνουμένου· διὰ μὲν γὰρ τοῦ εἰπεῖν μήτε προσφωνοῦντος χωρίζομεν τὸ πρῶτον πρόσωπον, διὰ δὲ τοῦ εἰπεῖν μήτε προσφωνουμένου χωρίζομεν τὸ δεύτερον πρόσωπον. χάριν δὲ σαφηνείας οὐκ ἄτοπόν ἐστι προσθεῖναι καὶ ἐν τῷ πρώτῳ καὶ ἐν τῷ δευτέρῳ διορισμούς τινας, καὶ εἰπεῖν ὅτι πρῶτον μέν ἐστι πρόσωπον ἀφ' οὗ ὁ λόγος καὶ περὶ ἐμοῦ τοῦ προσφωνοῦντος, δεύτερον δὲ πρὸς ὃν ὁ λόγος καὶ περὶ αὐτοῦ τοῦ προσφωνουμένου, τρίτον δὲ περὶ οὗ ὁ λόγος μήτε προσφωνοῦντος μήτε προσφωνουμένου. Ταῦτα μὲν ἐν τούτοις. ἰστέον δὲ ὅτι ὥσπερ ἐν τοῖς ἀριθμοῖς τὰ ἀπὸ τριῶν καὶ ἐπέκεινα πληθυντικὰ γίνονται, οὕτω καὶ ἐν τοῖς προσώποις τὰ ἀπὸ τριῶν καὶ ἐπέκεινα τρίτα λέγονται. Διὰ τί δὲ ἐν ταῖς ἀντωνυμίαις διάφορα τρίτα εὑρίσκεται, οἷον ἐκεῖνος οὗτος, αὐτός, ὅδε,

ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει,

ἐν τῷ περὶ ἀντωνυμιῶν, εἰ θεῷ φίλον, μαθησόμεθα.

Χρόνοι καθολικοί εἰσι τρεῖς, ἐνεστώς, παρεληλυθώς, μέλλων. ἐκ τούτων ὁ ἐνεστὼς οὐκ ἐπιδέχεται διαίρεσιν, ἐπειδὴ κινδυνεύει καὶ εἶναι χρόνος. λέγουσι γάρ τινες ὅτι, εἰ ἄρα ὁ χρόνος ἀεὶ κινεῖται, οὐκ ἄρα δύναται ἵστασθαι· εἰ δὲ μὴ ἵσταται, οὐκ ἄρα ἔστιν ὁ ἐνεστὼς χρόνος. ἀλλὰ λέγομεν ὅτι οἱ χρόνοι εἰ μὴ ἐνεστήκασιν, οὐδὲ παρήρχοντο· πῶς γὰρ δύναται παρελθεῖν τὸ μὴ σταθέν; καὶ γὰρ ἡ χθεσινὴ ἡμέρα, εἰ μὴ πρότερον ἐνέστη, οὐδὲ παρήρχετο· καὶ πάλιν ἐάν τις βρέξῃ τὸν δάκτυλον αὐτοῦ εἰς κρουνὸν ἀεὶ ῥέοντα ἢ τὸν πόδα αὐτοῦ εἰς ποταμὸν ἀεὶ ῥέοντα, δῆλον ὅτι οὔτε ἐν τῷ παρελθόντι οὔτε ἐν τῷ μέλλοντι δύναται βρέξαι αὐτόν, ἀλλ' ἐν τῷ ἐνεστῶτι χρόνῳ. καὶ ἡ διαχάραξις ἡ γινομένη ἐκ τοῦ τροχοῦ δῆλον ὅτι ἐν τῷ ἐνεστῶτι χρόνῳ γίνεται καὶ οὔτε ἐν τῷ παρελθόντι οὔτε ἐν τῷ μέλλοντι. καὶ πάντα δὲ τὰ γινόμενα καὶ πάντα τὰ λεγόμενα ἐν τῷ ἐνεστῶτι χρόνῳ καὶ γίνονται καὶ λέγονται. ἔστι δὲ ὁ ἐνεστὼς ἀκαριαῖος, τουτ' ἔστιν ἅμα τῷ λέγεσθαι ἔχει καὶ τὸ εἶναι. εἰκότως οὖν οὐκ ἐπιδέχεταί τινα διαίρεσιν. (ἰστέον δὲ ὅτι παρὰ μὲν τοῖς γραμματικοῖς πλατικός ἐστιν ὁ ἐνεστώς, τουτ' ἔστιν ἐν πλάτει, ὡς ὅταν εἴπωμεν ὅτι ὁ ἐνεστὼς ἐνιαυτὸς τοιόσδε ἐστί, παρὰ δὲ τοῖς φιλοσόφοις ἀκαριαῖός ἐστι, τουτ' ἔστιν ἅμα τῷ λέγεσθαι ἔχει καὶ τὸ εἶναι.) ὁ δὲ παρῳχημένος, τουτ' ἔστιν ὁ παρεληλυθώς, πλάτος ἔχων ἐπιδέχεται διαφό-

ρους διαιρέσεις. τὰ γὰρ παρελθόντα ἢ ἐν μέρει παρῆλθον καὶ οὔπω ἐπληρώθησαν, καὶ ἀποτελοῦσι τὸν λεγόμενον παρατατικόν, οἷον ἔτυπτον ἔτρωγον, καὶ οὔπω ἐπληρώθη τὸ πρᾶγμα, ἀλλ' ἐν μέρει παρῆλθεν· ὅθεν καὶ παρατατικὸς λέγεται παρὰ τὸ τεταμένην καὶ ἀπλήρωτον ἔχειν τὴν σημασίαν. εἰ δὲ νεωστὶ παρῆλθον τὰ παρελθόντα καὶ νεωστὶ ἐπληρώθη τὸ πρᾶγμα, ἀποτελεῖ τὸν λεγόμενον παρακείμενον, οἷον τέτυφα πεποίηκα, ὅς τις καὶ διὰ τοῦτο καλεῖται παρακείμενος, ἐπειδὴ παράκειται αὐτῷ ἡ πλήρωσις, τοῦτ' ἔστι νεωστὶ ἐπληρώθη. ἢ πρὸ πολλοῦ παρῆλθον τὰ παρελθόντα, καὶ ἀποτελεῖ τὸν λεγόμενον ὑπερσυντέλικον, οἷον ἐτετύφειν, ὅς τις καὶ διὰ τοῦτο ὑπερσυντέλικος λέγεται παρὰ τὸ πρὸ πολλοῦ πληρωθῆναι· συντέλικος γὰρ ὁ πεπληρωμένος. ἰστέον δὲ ὅτι ὁ μὲν παρακείμενος ἔχει ἐν ἑαυτῷ τὸ ἄρτι· τὸ γὰρ τέτυφα τὸ ἄρτι πληρωθὲν δηλοῖ· ὁ δὲ ὑπερσυντέλικος ἔχει ἐν ἑαυτῷ τὸ πάλαι· τὸ γὰρ ἐτετύφειν τὸ πάλαι πληρωθὲν δηλοῖ. ἐὰν δὲ τὰ παρελθόντα ἄδηλα ὦσι πότε παρῆλθον, ἀποτελεῖ τὸν λεγόμενον ἀόριστον, οἷον ἔτυψα· ἄδηλον γὰρ εἴτε νεωστὶ εἴτε πρὸ πολλοῦ· διὰ τοῦτο καὶ ἀόριστος λέγεται. ἰστέον δὲ ὅτι ὁ ἀόριστος, ἐὰν μὲν προσλάβῃ τὸ ἄρτι, ἰσοδυναμεῖ τῷ παρακειμένῳ· τὸ γὰρ ἔτυψα ἄρτι ἐν ἴσῳ ἐστὶ τῷ τέτυφα· ἐὰν δὲ προσλάβῃ τὸ πάλαι, ἰσοδυναμεῖ τῷ ὑπερσυντελίκῳ· τὸ γὰρ ἔτυψα πάλαι ἐν ἴσῳ ἐστὶ τῷ ἐτετύφειν. ὁ δὲ μέλλων καὶ αὐτὸς ἔχων πλάτος ὀφείλει ἐπιδέξασθαι διαίρεσιν· τὰ γὰρ μέλλοντα ἢ μετ' ὀλίγον μέλλουσι γενέσθαι ἢ μετὰ πολύ. ἀλλ' ἐπειδὴ τὰ μέλλοντα ἄγνωστά εἰσι, τὰ δὲ ἄγνωστα οὐ δύνανται ἅτε δὴ ἀγνοούμενα διαίρεσιν ἐπιδέξασθαι, διὰ τοῦτο οὐκ ἐπιδέχεται διαίρεσιν ὁ μέλλων. ὅμως δὲ αὐτὸν διεῖλον οἱ Ἀθηναῖοι εἰς μέλλοντα καὶ μετ' ὀλίγον μέλλοντα. εὑρίσκονται οὖν ἓξ χρόνοι, ὁ ἐνεστὼς καὶ ὁ μέλλων καὶ αἱ τέσσαρες διαιρέσεις τοῦ παρῳχημένου χρόνου κ. τ. λ.

5. εἰσὶ τὰ ὀξύτονα ἄχρι λ̅β̅. καὶ μὴ νομίσωμεν ταῦτα τὰ λ̅β̅ πολλὰ εἶναι πρὸς δ̅ χιλιάδας ἢ δ̅ μυριάδας μὴ ὀξυτονουμένων. εἰσὶ δὲ τὰ ὀξυτονούμενα ταῦτα, δός, θές, σχές, σπές, φρές, ἕς — χρή — ἐλθέ, εὑρέ, εἰπέ, — εἰμί, φημί, ἠμί. τὰ δὲ λοιπὰ ὀξυνόμενα ἀπὸ κλίσεώς εἰσι τούτων τῶν δύο, λέγω δὴ τοῦ φημί καὶ τοῦ εἰμί. — τὸ δὲ λαβέ καὶ ἰδέ παρ' ἡμῖν βαρύνονται, παρὰ δὲ τοῖς Ἀττικοῖς ὀξύνονται. τὰ δὲ κατὰ διάλεκτον οὐ θέλομεν συναριθμεῖν, ἐπειδὴ πολλὰ εὑρίσκομεν, καὶ μάλιστα παρὰ τοῖς Δω-

ριεῦσι, κατὰ πάθος ὀξυνόμενα. τὸ γὰρ δασμηφορεῖν ἀποβάλλει τὸ ῑ παρὰ τοῖς Δωριεῦσι καὶ γίνεται ἐν ὀξείᾳ τάσει, δασμηφορέν.

7. οἱ Δωριεῖς καὶ οἱ Αἰολεῖς τρέπουσι τὴν ει δίφθογγον εἰς η, οἷον λέγης· οἱ δὲ Δωριεῖς ἔσθ' ὅτε τὸ ῑ ἀποβάλλουσιν ἐκ τῆς ει διφθόγγου, οἷον συρίζεις συρίσδες, ὡς παρὰ Θεοκρίτῳ

ἁδὺ δὲ καὶ σὺ

συρίσδες.

11. παρὰ τοῖς Δωριεῦσιν εἰς η κιρνᾶται τὸ α καὶ ε, οἷον τὰ ἐμά τημά. ὁμοίως οὖν καὶ ἐν τῷ ὁράεις ποιοῦσι τὰ α καὶ ε εἰς η κατὰ κρᾶσιν καὶ λέγουσιν ὁρῆς· καὶ πάλιν διψάεις διψῆς, πεινάεις πεινῆς, καὶ μένει το ῑ προσγεγραμμένον. κέχρηνται δὲ τούτοις ἀπὸ Δωρίδος διαλέκτου καὶ οἱ Ἀθηναῖοι, φημὶ δὴ τῷ πεινῆς καὶ διψῆς καὶ ὁρῆς. τοιοῦτόν ἐστι καὶ τὸ ἐν τῇ κοινῇ διαλέκτῳ ἐπικρατῆσαν, λέγω δὲ τὸ ζῆς.

22. ζητοῦμεν κατὰ ποῖον τρόπον ἐπιλιμπάνει τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν ἐνταῦθα· ἔχομεν γὰρ ἐν τοῖς προλαβοῦσιν ὅτι κατὰ τέσσαρας τρόπους ἐπιλιμπάνουσιν αἱ φωναί· ἢ γὰρ διὰ σημασίαν ἢ δι' ἀσυνταξίαν ἢ κατὰ τὸ φορτικὸν ἢ κατὰ τύχην. καὶ ὅτι δὲ οὐ διὰ σημασίαν ἐπιλιμπάνει τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν, ὥσπερ ἐν τοῖς προστακτικοῖς, δῆλον ἐκ τοῦ καὶ τὰ ἑνικὰ καὶ τὰ πληθυντικὰ ἔχειν πρῶτον πρόσωπον. εἰ γὰρ διὰ σημασίαν ἐπιλιμπάνει τὸ πρῶτον πρόσωπον, καὶ ἐν τοῖς ἑνικοῖς καὶ ἐν τοῖς πληθυντικοῖς ἔμελλεν ἐπιλιμπάνειν τὸ πρῶτον πρόσωπον. ἰδὲ γὰρ ἐν τοῖς προστακτικοῖς διὰ σημασίαν ἐπιλιμπάνει τὸ πρῶτον πρόσωπον, ἐπειδὴ οὐδεὶς ἑαυτῷ προστάσσει, καὶ πανταχοῦ ἐπιλιμπάνει, τουτέστιν ἑνικοῖς καὶ δυϊκοῖς καὶ πληθυντικοῖς. ἔστιν οὖν εἰπεῖν ὅτι διὰ τὴν ἀσυνταξίαν ἐπιλιμπάνει ἐνταῦθα τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν. ἀσυνταξίαν γὰρ λέγομεν τὸ μὴ ἔχειν χαρακτῆρα Ἑλληνικόν. ἔστι γὰρ κανὼν τοιοῦτος. πᾶν δυϊκὸν ῥῆμα θέλει χαρακτηρίζεσθαι ἢ διὰ τοῦ τ ἢ διὰ τοῦ θ, οἷον τύπτετον τυπτόμεθον. ἔστι δὲ καὶ ἄλλος κανὼν λέγων ὅτι πᾶν μέρος λόγου ἐπιδεχόμενον ἀριθμοὺς θέλει χαρακτηρίζεσθαι δι' ἐκείνου τοῦ στοιχείου ἐν τοῖς δυϊκοῖς, δι' οὗ καὶ τὸ πληθυντικὸν χαρακτηρίζεται, χωρὶς τῶν πρωτοτύπων ἀντωνυμιῶν· αὗται γὰρ θεματικαί εἰσι καὶ οὐκ ἔχουσιν ἀκολουθίαν πρὸς ἀλλήλας· ἔστι γὰρ ἡμεῖς τὸ πληθυντικὸν διὰ τοῦ μ, καὶ τὸ δυϊκὸν νῶϊ, καὶ οὐκ ἔχει τὸ μ. ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα. τὸ Αἴαντες ἔχει τὸ ν καὶ τὸ τ, ἀλλὰ καὶ τὸ Αἴαντε ἔχει τὸ ντ. τὸ Πάριδες ἔχει τὸ δ, ἀλλὰ καὶ τὸ Πά-

ρισθε ἔχει τὸ δ. πάλιν ἐν τῷ γυναῖκες καὶ ἐν τῷ γυναῖκε ἐφυλάχθη τὸ μ, καὶ ἐν τῷ μεγάλοι καὶ ἐν τῷ μεγάλω τὸ λ. ἀλλὰ καὶ τὸ ὕδατα καὶ τὸ ὕδατε τὸ αὐτὸ τ ἐφύλαξαν. διὰ τοῦτο οἱ Δωριεῖς ἀναλογώτεροί εἰσι τὰ πληθυντικὰ ἄρθρα λέγοντες μετὰ τοῦ τ, οἷον τοὶ ποιμένες καὶ ταὶ Μοῦσαι, ἵνα τὸ αὐτὸ φυλαχθῇ καὶ ἐν τοῖς πληθυντικοῖς καὶ ἐν τοῖς δυϊκοῖς· τὰ γὰρ δυϊκὰ τὼ καὶ τὰ, οἷον τὼ Αἴαντε τὰ Μούσα. ὁμοίως δὲ καὶ ἐν τοῖς ῥήμασι τυπτόμεθά ἐστι τὸ πληθυντικὸν διὰ τοῦ θ, καὶ τυπτόμεθον τὸ δυϊκὸν διὰ τοῦ θ. ἔχομεν οὖν τοὺς δύο κανόνας· ἔχομεν γὰρ ὅτι τὸ δυϊκὸν ῥῆμα ἢ διὰ τοῦ τ χαρακτηρίζεται ἢ διὰ τοῦ θ, καὶ ὅτι τὸ ἐν τοῖς πληθυντικοῖς σύμφωνον φυλάττεσθαι θέλει καὶ ἐν τοῖς δυϊκοῖς. οἷον τύπτομεν τὸ πληθυντικόν, καὶ ἔχει τὸ μ ἐν τῇ τελευταίᾳ συλλαβῇ· ἀναγκάζεται δὲ τοῦτο τὸ μ φυλαχθῆναι καὶ ἐν τοῖς δυϊκοῖς. εἶχεν οὖν γενέσθαι τύπτομον τὸ πρῶτον τῶν δυϊκῶν τροπῇ τῆς μεν εἰς μον, ὥσπερ καὶ ἀπὸ τοῦ τυπτόμεθα γίνεται τυπτόμεθον τροπῇ τῆς θα εἰς θον. ἀλλ' ἐπειδὴ οὐκ ἔχει τὸ χαρακτηριστικὸν τῶν δυϊκῶν ῥημάτων, λέγω δὲ τὸ τ ἢ τὸ θ, οὐκ ἠδύνατο γενέσθαι τύπτομον. ἀλλ' οὔτε δὲ τύπτοθον ἢ τύπτοτον, ἐπειδὴ οὐ φυλάσσει τὸ ἐν τοῖς πληθυντικοῖς σύμφωνον, λέγω δὲ τὸ μ. ἀναγκαζόμενον οὖν ἢ τὸ τ φυλάττειν τὸ χαρακτηριστικὸν τοῦ πληθυντικοῦ τὸ μ οὐκ ἠδύνατο ἐξενεχθῆναι οὔτε διὰ τοῦ θ οὔτε διὰ τοῦ τ. τῶν οὖν δύο κανόνων μαχομένων, καὶ τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος τὸ τ ἢ τὸ θ χαρακτηριστικὸν τῶν δυϊκῶν ῥημάτων, τοῦ δὲ ἑτέρου ἀπαιτοῦντος τὸ μ τὸ ἐν τοῖς πληθυντικοῖς, ἐξ ἀνάγκης ἐπιλιμπάνει τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν, ἡνίκα τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τὸ μ ἔχει ἐν τῇ τελευταίᾳ συλλαβῇ. ταῦτα μὲν ὁ Ἀπολλώνιος.

Τὰ δὲ ὑπὸ τοῦ Ἡρωδιανοῦ λεγόμενα ταῦτα, ὅτι τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν ἐνταῦθα ἀναγκάζεται ἔχειν τὸ τ ἢ τὸ θ τὸ χαρακτηριστικὸν τοῦ δυϊκοῦ ῥήματος καὶ τὸ μ τοῦ πληθυντικοῦ, καὶ λοιπὸν ἀναγκάζεται γενέσθαι τύπτοθμον ἢ τυπτόμετον. ἀδύνατον δὲ τὸ μ πρὸ τοῦ τ· οὐ συνίσταται γὰρ οὔτε κατὰ σύλληψιν οὔτε κατὰ διάστασιν, κατὰ σύλληψιν μὲν ὅτι τὰ ὑποτασσόμενά τινι ἐν συλλήψει, ἐὰν ἀντιπροηγήσοιντο, ἐν διαστάσει ἀντιπροηγοῦνται. οἷον ἐν τῷ πρῶτος τὸ ρ ὑποτέτακται τοῦ π κατὰ σύλληψιν· ἐὰν δὲ ἀντιπροηγήσοιτο τὸ ρ τοῦ π, κατὰ διάστασιν αὐτοῦ προηγεῖται, ὡς ἐπὶ τοῦ ἕρπω. καὶ πάλιν ἐν τῷ κλέος τὸ

λ ὑποτέτακται τοῦ κ κατὰ σύλληψιν, ἀντιπροηγούμενον δὲ τὸ λ τοῦ κ ἐν τῷ ἀλκὴ κατὰ διάστασιν αὐτοῦ ἀντιπροηγεῖται. πάλιν ἐν τῷ θνήσκω τὸ ν ὑποτέτακται τοῦ θ κατὰ σύλληψιν, ἀντιπροηγούμενον δὲ τοῦ θ ἐν τῷ ἄνθος κατὰ διάστασιν αὐτοῦ ἀντιπροηγήσατο. ἐπειδὴ οὖν τοῦ μ προτέτακται τὸ θ καὶ τὸ τ κατὰ σύλληψιν, ὡς ἐν τῷ τμῆμα καὶ Ἀθμονίς (σημαίνει δὲ δῆμον Ἀττικόν), δῆλον ὅτι ἐὰν ἀντιπροηγήσηται τὸ τ τοῦ μ οὐ δύναται αὐτῶν ἀντιπροηγήσασθαι κατὰ σύλληψιν ἀλλὰ κατὰ διάστασιν. ἀλλ' οὔτε δὲ πάλιν κατὰ διάστασιν δύναται ἀντιπροηγήσασθαι τὸ μ τούτων, φημὶ δὲ τοῦ τ καὶ τοῦ θ, ἐπειδὴ πᾶσα συλλαβὴ κατὰ σύλληψιν εἰς τὸ μ θέλει ἔχειν τὴν ἑξῆς συλλαβὴν ἀρχομένην ἀπὸ τοῦ β ἢ ἀπὸ τοῦ π ἢ ἀπὸ τοῦ φ ἢ ἀπὸ τοῦ ψ ἢ ἀπὸ τοῦ μ, οἷον συμβουλή, σύμπορος, σύμφωνος, σύμψηφος, συμμέτοχος. ἐπειδὴ οὖν οὔτε κατὰ σύλληψιν οὔτε κατὰ διάστασιν ἠδύνατο τὸ μ πρὸ τοῦ θ ἢ τοῦ τ, ἐξ ἀνάγκης ἐπιλιμπάνει τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν, ἡνίκα τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τὸ μ ἔχει ἐν τῇ τελευταίᾳ συλλαβῇ.

Τινὲς δὲ πρὸς ταύτην τὴν ἀπολογίαν ἀντιλέγοντες ὡς δῆθεν κακῶς εἰπόντος τοῦ Ἡρωδιανοῦ κέχρηνται τοιούτῳ λόγῳ ὅτι, εἰ θέλεις ἔχειν ἐνταῦθα τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν τὸ μ τοῦ πληθυντικοῦ καὶ τὸ τ ἢ τὸ θ τοῦ δυϊκοῦ, μὴ εἴπωμεν τυπτόμθον ἢ τυπτόμτον, ἵνα μὴ γένηται ἀσυνταξία, ἀλλ' ὑπερβιβάσωμεν τὰ σύμφωνα καὶ γενέσθαι τύπτοθμεν ἢ τύπτοτμον· καὶ ἔχει λοιπὸν ἢ τὸ τ ἢ τὸ θ τοῦ δυϊκοῦ καὶ τὸ μ τοῦ πληθυντικοῦ, καὶ οὐκ ἔστιν ἀσυνταξία· εὑρίσκομεν γὰρ καὶ τὸ τ καὶ τὸ θ πρὸ τοῦ μ, ὡς ἐν τῷ τμῆμα καὶ Ἀθμονίς. Ἡμεῖς δὲ ἀντιλέγομεν πρὸς αὐτοὺς κακῶς λέγοντας, καὶ ἀπολογούμεθα ὑπὲρ τοῦ Ἡρωδιανοῦ καλῶς εἰρηκότος ὅτι, ὃν τρόπον ἔχομεν γνῶναι ἐν τῷ παρακειμένῳ ὡς τὸ κείρω γενόμενον κέκαρκα ἐφύλαξε καὶ τὸ ἀμετάβολον καὶ τὸ χαρακτηριστικὸν κ τοῦ παρακειμένου, καὶ δεύτερον ἐπέχει τὸ χαρακτηριστικὸν σύμφωνον, τὸ δὲ ρ πρῶτον, τοῦτον τὸν τρόπον καὶ τὸ τύπτοθμον ἢ τύπτοτμον οὐκ ἠδύνατο συστῆναι, ἐπειδὴ τὸ χαρακτηριστικὸν σύμφωνον τῶν δυϊκῶν οὐκ ἔχει τὴν δευτέραν τάξιν ἐνταῦθα, τουτέστιν ἢ τὸ τ ἢ τὸ θ, ἀλλὰ τὸ μ τὸ ἔχον τὴν δευτέραν τάξιν, καὶ λοιπὸν ἐνομίζετο τοῦτο τὸ μ χαρακτηριστικὸν εἶναι τοῦ δυϊκοῦ ῥήματος καὶ οὐκέτι τὸ τ ἢ τὸ θ. ὥστε οὖν οὐ δύναται ὑπερβιβασθῆναι τὰ σύμφωνα ἐπὶ τούτων καὶ γενέσθαι

τύπτοθμον ἢ τύπτοτμον, ἀλλ' ὅλως ἀναγκαζόμεθα φυλάττειν τὰ δύο, τουτέστι καὶ τὸ $\overline{\mu}$ τοῦ πληθυντικοῦ καὶ τὸ $\overline{\tau}$ ἢ τὸ $\overline{\vartheta}$ τοῦ δυϊκοῦ ἀναγκαζόμεθα φυλάξαι τὸ χαρακτηριστικὸν τοῦ δυϊκοῦ, δευτέραν ἐπέχον τάξιν τὸ $\overline{\tau}$ ἢ τὸ $\overline{\vartheta}$, τὸ δὲ $\overline{\mu}$ πρώτην.

Τοσαῦτα περὶ τοῦ πρώτου προςώπου τῶν δυϊκῶν ἔχομεν εἰπεῖν.

1010, 16. χωρὶς τῶν ἐν τῇ συνηθείᾳ λεγομένων ἀηδίζομαι ἀηδιζόμην.

23. τὰ δυσαρεστῶ καὶ δυσαπιστῶ καὶ εὐορκῶ καὶ εὐαρεστῶ σημειούμεθα, ὅτι μὴ ἀρχόμενα ἀπὸ προθέσεως ἀλλ' ἀπὸ ἐπιῤῥήματος ἔσωθεν ποιοῦνται τὴν κλίσιν, οἷον δυσηρέστουν καὶ δυσηπίστουν καὶ εὐηρέστουν καὶ εὐώρκουν. ἔστι δὲ καὶ τὸ εὐαγγελίζομαι εὐηγγελιζόμην ἔσωθεν κλινόμενον καὶ εὐαρχίζω εὐήρχισα ἐν τῇ συνηθείᾳ.

Cod. Coislin. 345 f. 271. r: Πῶς δεῖ κλίνειν εἰς τοὺς παρατατικοὺς τὰ ὑποτεταγμένα ῥήματα. Ἐμπειρῶ ἠμπείρουν καὶ ἐνεπείρουν. διακονῶ ἐδιακόνουν οἱ Ἀθηναῖοι καὶ δεδιακόνηκα· οἱ δὲ κοινολεκτοῦντες διηκόνουν. διοικῶ ἐδιῴκουν καὶ δεδιῴκηται καὶ διῴκουν. ἀνέχομαι ἀνειχόμην καὶ ἠνειχόμην καὶ ἠνεσχόμην. ἐμπολῶ ἠμπόλουν ἠμπόλημαι ἠμπολήθην. ἐμπορεύομαι ἠμπορευόμην. ἀμπέχομαι ἠμπειχόμην καὶ ἠμπεσχόμην. ἐναντιοῦμαι ἠναντιούμην. παροινῶ πεπαρῴνηκα καὶ ἐπαρῴνουν. ἐνοχλῶ ἠνώχλουν καὶ ἐνώχλουν. ἐπιορκῶ ἐπιώρκουν. κατεγγυῶ κατηγγύησα καὶ ἐγεγγύημαι καὶ ἐνεγγύων. ἀμφιέννυμαι ἠμφιεννύμην. ἀμφισβητῶ ἠμφισβήτουν καὶ ἀμφισβήτουν. προφασίζομαι προεφασιζόμην καὶ ἐπροεφασιζόμην. προαγωγεύω ἐπροαγώγευον.

1012, 11. σεσημείωται τὸ κρίνω κρινῶ κέκρικα, κλίνω κλινῶ κέκλικα, πλύνω πλυνῶ πέπλυκα, τείνω τενῶ τέτακα· ταῦτα γὰρ ἀπέβαλον τελείως τὸ ἀμετάβολον εἰς τὸν παρακείμενον. καὶ τὸ κερδανῶ δὲ εὑρίσκεται καὶ χωρὶς τοῦ ἀμεταβόλου κατὰ τὸν παρακείμενον, οἷον κεκέρδακα κεκέρδαγκα. Θέλουσι δέ τινες λέγειν ὅτι ὑπάγονται τῷ κανόνι ταῦτα τῷ λέγοντι ὅτι τὰ εἰς $\overline{\nu\omega}$ δισύλλαβα ἑνὶ φωνήεντι παραληγόμενα ἀποβάλλουσι τὸ ἀμετάβολον κατὰ τὸν παρακείμενον, οἷον πλυνῶ πέπλυκα, κρινῶ κέκρικα, κλινῶ κέκλικα, τὰ δὲ μὴ οὕτως ἔχοντα φυλάττουσι τὸ ἀμετάβολον τρεπόμενον εἰς τὸ $\overline{\gamma}$, οἷον φανῶ πέφαγκα, χανῶ κέχαγκα, ῥανῶ ἔῤῥαγκα. καὶ λέγει ὁ τεχνικὸς Ἀπολλώνιος ὅτι κακῶς λέγουσι, πρῶτον μὲν ὅτι αὐτὰ τὰ σεσημειωμένα ἐκίνωσαν, δεύτερον ὅτι

ἀντίκειται αὐτοῖς τὸ τείνω δύο φωνήεσι παραληγόμενον καὶ μὴ φυλάττον τὸ ἀμετάβολον κατὰ τὸν παρακείμενον, οἷον τέτακα· καὶ λέγουσι μήποτε τὸ τέτακα ὡς ἀπὸ τοῦ τάζω ἐστί, τάσω τέτακα, ὡς φράζω φράσω πέφρακα. πρὸς οὓς πάλιν ὑπαντᾷ ὁ τεχνικὸς Ἀπολλώνιος λέγων ὅτι, εἰ ἦν ἀπὸ τοῦ τάζω, ἤμελλεν εἶναι ὁ ἐνεργητικὸς παρακείμενος τέταχα διὰ τοῦ χ καὶ ὁ μέσος παρακείμενος τέταγα διὰ τοῦ γ· τάξω γάρ ἐστιν ὁ μέλλων, ἐξ οὗ καὶ τὸ τόξον οἱονεὶ τὸ τεινόμενον. ὥσπερ γὰρ ἀπὸ τοῦ κράζω κράξω γίνεται κέκραχα ὁ ἐνεργητικὸς παρακείμενος καὶ ὁ μέσος κέκραγα, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ τάξω τέταχα ὁ ἐνεργητικὸς παρακείμενος καὶ τέταγα ὁ μέσος παρακείμενος. ὅτι γὰρ ὁ μέσος παρακείμενος τέταγά ἐστι, δηλοῖ ὁ δεύτερος ἀόριστος εὑρισκόμενος τέταγον, οἷον

ῥῖψε ποδὸς τεταγὼν ἀπὸ βηλοῦ θεσπεσίοιο·

καὶ γὰρ ὁ δεύτερος ἀόριστος διὰ τοῦ συμφώνου τοῦ ὄντος πρὸ τοῦ α ἐν τῷ μέσῳ παρακειμένῳ χαρακτηρίζεται, οἷον λείπω λέλοιπα καὶ ἔλιπον, νύσσω νένυγα ἔνυγον. κάλλιον οὖν ἐστὶ δοῦναι αὐτὰ σεσημειωμένα, φημὶ δὴ τὸ πέπλυκα κέκρικα κέκλικα τέτακα, καὶ μὴ κλινόμενα κατὰ κανόνα. ἐλέγχονται γὰρ ὅτι ὤφειλον ἔχειν τὸ ἀμετάβολον ἐκ τῶν ποιητικῶν χρήσεων· εὑρίσκονται γὰρ ἐν ταῖς χρήσεσι κλινθῆναι καὶ κρινθῆναι,

διακρίνθητε τάχιστα.

13. δεῖ σημειώσασθαι τὸ τέθυκα καὶ λέλυκα, ὅτι ταῦτα, ἐν τῷ θύσω καὶ λύσω μέλλοντι φύσει μακρὸν ἔχοντα δίχρονον, ἐν τῷ παρακειμένῳ συνεσταλμένον αὐτὸ ἔχουσιν.

20. λέγει ὁ Φιλόπονος ὅτι ἐν μὲν τῷ παρακειμένῳ τὰ ἔχοντα ἄφωνον πρὸ ἀμεταβόλου τῷ λόγῳ τῆς κοινῆς ἤγουν τῆς βραχείας παραλαμβάνονται καὶ διπλασιάζουσι τὸν παρακείμενον, ὡς δέδεικται ἐν τοῖς εἰς ος συγκριτικοῖς τὰ ἔχοντα ἄφωνον πρὸ ἀμεταβόλου [ὅτι] οὐ παραλαμβάνονται τῷ λόγῳ τῆς βραχείας ἀλλὰ τῷ τῆς μακρᾶς. οἷον τί ἐστι τὸ λεγόμενον; κανὼν ἔστιν ὁ λέγων ὅτι τὰ εἰς ος ποιοῦντα συγκριτικὰ ἢ ὑπερθετικά, ἐὰν μὲν βραχείᾳ λήγωνται, τρέπουσι τὸ ο εἰς ω ἐν τοῖς συγκριτικοῖς καὶ ὑπερθετικοῖς, οἷον σοφός σοφώτερος σοφώτατος, κακός κακώτερος κακώτατος, λόγιος λογιώτερος λογιώτατος, τίμιος τιμιώτερος τιμιώτατος, ὅσιος ὁσιώτερος ὁσιώτατος, χωρὶς τοῦ κενός κενότερος καὶ στενός στενότερος· ταῦτα γὰρ βραχείᾳ παραληγόμενα [οὐ] τρέπουσι τὸ ο εἰς ω.

(καὶ ἀπολογοῦνταί τινες περὶ αὐτῶν, λέγοντες ὅτι μακροπαράληκτα ἦσαν τὰ πρωτότυπα, στεινός καὶ κεινός, διὰ τῆς ει διφθόγγου, ἐξ οὗ τὸ

κεινὴ δὲ τρυφάλεια ἅμ' ἕσπετο χειρὶ παχείῃ,

καὶ ἀποβολῇ τοῦ ῑ γέγονε κενός καὶ στενός διὰ τοῦ ε̄ βραχυπαράληκτα, καὶ ἔμειναν τὰ συγκριτικὰ ὡς ἀπὸ μακροπαραλήκτων πρωτοτύπων διὰ τοῦ ō γραφόμενα). εἰ δὲ μακρῷ παραλήγονται, φυλάττουσι τὸ ō καὶ ἐν τοῖς συγκριτικοῖς καὶ ὑπερθετικοῖς, οἷον ἀναγκαῖος ἀναγκαιότερος ἀναγκαιότατος, φαιδρός φαιδρότερος φαιδρότατος, ἀνδρεῖος ἀνδρειότερος ἀνδρειότατος, ἔντιμος ἐντιμότερος ἐντιμότατος, ἔνδοξος ἐνδοξότερος ἐνδοξότατος, λεπτός λεπτότερος λεπτότατος, χονδρός χονδρότερος χονδρότατος. εἰ δὲ ἔχουσιν ἄφωνον ὁμοίως πρὸ ἀμεταβόλου, ὁμοίως τοῖς μακρῷ παραληγομένοις φυλάττουσι τὸ ō καὶ ἐν τοῖς συγκριτικοῖς καὶ ἐν τοῖς ὑπερθετικοῖς, οἷον λάγνος λαγνότερος λαγνότατος, ἄκρος ἀκρότερος ἀκρότατος, ἐρυθρός ἐρυθρότερος ἐρυθρότατος, ἐλαφρός ἐλαφρότερος ἐλαφρότατος. ἰστέον δὲ ὅτι αὐτά, φημὶ δὴ τὸ ἐρυθρότερος καὶ ἐλαφρότερος καὶ εὔτεκνος εὐτεκνότερος καὶ δύσποτμος δυςποτμότερος, παρὰ τοῖς Ἀθηναίοις καὶ διὰ τοῦ ω̄, ὡς παρὰ τῷ Εὐριπίδῃ ἐν Ἑκάβῃ (557 Hermann.)

παιδὸς θανούσης εὐτεκνωτάτην δέ σε
πασῶν γυναικῶν δυςτυχεστάτην θ' ὁρῶ.

δεῖ δὲ γινώσκειν ὅτι ἐπὶ τῶν μακρῷ παραληγομένων οἱ ποιηταὶ πολλάκις τρέπουσι τὸ ō εἰς τὸ ω̄ ἐν τοῖς συγκριτικοῖς καὶ ὑπερθετικοῖς, οἷον ὀϊζυρός ὀϊζυρώτερος, φιλόξεινος φιλοξεινώτερος.

25. σημειούμεθα παρὰ τῷ ποιητῇ τὸ

τά μοι ῥερυπωμένα κεῖται,

καὶ τὸ ῥερίφθαι ἔπος παρὰ τῷ Πινδάρῳ, καὶ τὸ ῥεράπισμένα νῶ παρὰ τῷ Ἀνακρέοντι.

1013, 13. λέγει ὁ Ἡρωδιανὸς ὅτι εὑρίσκεται χρῆσις τῆς διὰ τοῦ ε̄ γραφῆς, ὡς παρὰ Ἀριστοφάνει ἐν Ὄρνισιν ἢ

ὑμεῖς δὲ πρεσβεύετε καὶ κεχήνετε

ἀντὶ τοῦ κεχήνατε.

1015, 7. τὸ ᾔδειν οἱ Ἴωνες λέγουσιν ᾔδεα κατὰ διάλυσιν, ὡς παρὰ Καλλιμάχῳ

ᾔδεα μᾶλλον ἔγωγε.

ἤδη ἐγώ, ὡς παρ' Εὐριπίδῃ ἐν Ἱππολύτῳ

τὸ δ' ἔργον ἤδη τὴν νόσον τε δυςκλέα.

τὸ ἤδη ἐγὼ τῆς παλαιᾶς Ἀτθίδος ἐστί, τὸ δὲ ἤδη ἐκεῖνος τῆς νέας Ἀτθίδος ἐστίν, ὥςτε οὖν οὐκ ἔστι κατα τὴν αὐτὴν διάλεκτον τὸ ἤδη ἐγώ καὶ ἤδη ἐκεῖνος. ἐπειδὴ δὲ εὑρίσκομεν παρὰ τῷ ποιητῇ χρήσεις τοῦ τρίτου προσώπου, λέγω δὴ ἤδη ἐκεῖνος, οἷον

ὃς ἤδη τά τ' ἐόντα τά τ' ἐσόμενα πρό τ' ἐόντα

καὶ πάλιν

νήπιος οὐδὲ τὰ ἤδη ἅ ῥα Ζεύς·

ὄντος δὲ τοῦ ποιητοῦ τῆς παλαιᾶς Ἀτθίδος λέγομεν ὅτι Ἀρισταρχειόν ἐστι τὸ ἁμάρτημα. ὁ γὰρ Ἀρίσταρχος εἰδὼς τοῦτο τὸ ἰδίωμα τῆς νέας Ἀτθίδος ὑπάρχον, λέγω δὴ τὸ τρίτον πρόςωπον, οὐκ ὤφειλεν ἐᾶσαι αὐτὸ παρὰ τῷ ποιητῇ ὄντι τῆς παλαιᾶς Ἀτθίδος.

1017, 8. λέγει ὁ Φιλόπονος καὶ ὁ Ὦρος ὅτι ἐφ' ὧν οἱ Ἀθηναῖοι τὸ ῑ ἀποβάλλουσι κατὰ τὸν ἐνεστῶτα, ἐπὶ τούτων ὁ μέλλων πλεονάζει τῷ ῡ. οἷον ἐπὶ τοῦ παλαίω καὶ τοῦ πταίω καὶ παίω οὐκ ἀποβάλλουσιν οἱ Ἀθηναῖοι τὸ ῑ κατὰ τὸν ἐνεστῶτα (οὐδὲ γὰρ λέγουσι παλάω καὶ πάω καὶ πτάω)· τούτου χάριν ὁ μέλλων οὐ πλεονάζει τῷ ῡ· παλαίσω γὰρ καὶ πταίσω καὶ παίσω. ταῦτα μὲν ὁ Φιλόπονος καὶ ὁ Ὦρος. ὁ δὲ γραμματικὸς Σέργιος ἐκ τοῦ ἐναντίου ἀπορεῖ, λέγων διὰ τί γὰρ ἐπὶ τούτων οἱ Ἀθηναῖοι ἀποβάλλουσι τὸ ῑ κατὰ τὸν ἐνεστῶτα, ἐφ' ὧν τὸ ῑ εἰς ῡ τρέπεται κατὰ τὸν μέλλοντα, οἷον κλαίω κλαύσω κλάω, καίω καύσω κάω; οὐδὲ γὰρ δυνάμεθα λέγειν ὅτι ὁ κλάω ἐστὶν ἐνεστώς, καὶ ἐν τῷ μέλλοντι ἐπλεόνασε τὸ ῡ· τότε γὰρ πλεονάζει τὸ ῡ ἐν τῷ μέλλοντι, ἡνίκα βραχεῖά ἐστιν ἡ συλλαβή, οἷον ῥέω ῥεύσω, πνέω πνεύσω, χέω χεύσω. τὸ δὲ ᾱ τοῦ κλαίω καὶ κάω ἐκτεταμένον ἐστί. καὶ δῆλον ὅτι οὐ δύναται πλεονάσαι τῷ ῡ ὁ μέλλων, ἀλλ' ὡς εἴρηται, τροπὴ ἐγένετο τοῦ ῑ εἰς τὸ ῡ. ἐπιλύεται οὖν λέγων ὅτι διὰ τοῦτο ὑποβάλλουσιν οἱ Ἀθηναῖοι κατὰ τὸν ἐνεστῶτα τὸ ῑ τῆς αι διφθόγγου ἐφ' ὧν τρέπεται τὸ ῑ εἰς τὸ ῡ κατὰ τὸν μέλλοντα, ἵνα μὴ εὑρεθῇ διάφορος δίφθογγος ἐν τῷ ἐνεστῶτι καὶ ἐν τῷ μέλλοντι· ἤμελλε γὰρ εἶναι ὁ ἐνεστὼς διὰ τῆς αι διφθόγγου, τοῦ μέλλοντος ὄντος διὰ τῆς αυ διφθόγγου. ὅπερ ἐστὶν ἄτοπον· οὐδέποτε γὰρ διάφορος δίφθογγος εὑρίσκεται ἐν τῷ ἐνεστῶτι καὶ ἐν τῷ μέλλοντι.

Ἄξιόν ἐστι ζητῆσαι διὰ τί τὰ δι' ἑνὸς λ ἐκφερόμενα περιττοσυλλάβους ἔχουσι τοὺς μέλλοντας, οἷον θέλω θελήσω, μέλω μελήσω (τὸ ἐν φροντίδι εἰμί), ὀφείλω ὀφειλήσω· ἐμάθομεν γὰρ ὅτι ἀπὸ βαρυτόνων θεμάτων ὑπάρχων ὁ μέλλων ἰσοσυλλαβεῖ τῷ ἐνεστῶτι, οἷον τύπτω τύψω, λέγω λέξω. καὶ λέγει ὁ Ἀπολλώνιος ταύτην τὴν αἰτίαν, ὅτι πολλὰ εἰσὶ ῥήματα καὶ ὡς ἀπὸ βαρυτόνων καὶ ἀπὸ περισπωμένων ποιοῦντα τὴν κλίσιν, οἷον τύπτω τύψω καὶ τυπτῶ τυπτήσω

(οὐ γάρ με τυπτήσεις στέφανον ἔχοντά γε,

Ἀριστοφάνης ἐν Πλούτῳ), εἴδω εἴσω, ἐξ οὗ καὶ τὸ

εἴσομαι αἴ κέ μ' ὁ Τυδείδης κρατερὸς Διομήδης

καὶ εἰδῶ εἰδήσω, ἐξ οὗ τὸ

εἰδῇς δὲ καὶ αὐτός,

ῥίπτω ἔῤῥιπτον καὶ ῥιπτῶ ἐῤῥίπτουν, ὥσπερ παρὰ τῷ ποιητῇ ἀνεῤῥίπτουν· κύω ἔκυον καὶ κυῶ ἐκύουν,

ἡ δ' ἐκύει φίλον υἱόν·

γράφω γράψω καὶ γραφῶ γραφήσω, ἐξ οὗ ὁ γεγράφηκα παρακείμενος. οὕτως οὖν καὶ τὰ ἔχοντα ἐν λ ἕως μὲν τοῦ παρατατικοῦ ὡς ἀπὸ βαρυτόνων ποιοῦνται τὴν κλίσιν, οἷον θέλω θελήσω τεθέληκα ἐθέλησα, μελῶ μελήσω μεμέληκα ἐμέλησα, ὀφειλῶ ὀφειλήσω ὠφείληκα ὠφείλησα, ὥσπερ νοῶ νοήσω νενόηκα ἐνόησα. ταῦτα μὲν ὁ Ἀπολλώνιος. ὁ δὲ Ἡρωδιανὸς ἀνατρέπει αὐτὰ λέγων ὅτι κακῶς λέγεις· τὰ γὰρ ὡς ἀπὸ βαρυτόνων καὶ ὡς ἀπὸ περισπωμένων ποιούμενα τὴν κλίσιν ἐν τῷ αὐτῷ χρόνῳ καὶ ὡς ἀπὸ περισπωμένων καὶ ὡς ἀπὸ βαρυτόνων ποιοῦνται τὴν κλίσιν, οἷον τύπτω τύψω τυπτῶ τυπτήσω, ῥίπτω ἔῤῥιπτον καὶ ῥιπτῶ ἐῤῥίπτουν· τὰ δὲ ἔχοντα ἐν λ οὐ ποιοῦνται κατὰ τὸν αὐτὸν χρόνον καὶ ὡς ἀπὸ βαρυτόνων θεμάτων ποιοῦνται τὴν κλίσιν οὐδέποτε ὡς ἀπὸ περισπωμένων. κρεῖττον οὖν ἐστὶν εἰπεῖν, φησί, τὴν ἀπολογίαν ταύτην. ἐν τοῖς ῥήμασι τὸ σ καὶ τὸ λ πεφύκασι διπλασιάζεσθαι, οἷον πλήσσω, τινάσσω, πάλλω, τίλλω· καὶ τὰ μὲν ἔχοντα δύο σσ ἢ δύο λλ χαίρουσι τῇ βαρείᾳ τάσει, οἷον νύσσω, πλήσσω, τινάσσω, ἐρύσσω, τίλλω, ποικίλλω, στέλλω, σφάλλω, χωρὶς εἰ μὴ ἔχωσιν ὀνόματα προϋποκείμενα· ἐκεῖνα γὰρ περισπῶνται, οἷον κύκλος κυκλῶ, ἅμιλλα ἁμιλλῶ, ἐξ οὗ τὸ ἁμιλλῶμαι, λύσσα λυσσῶ. τὸ γὰρ νύσσω οὐκ ἀπὸ τοῦ νύσσα ἐστίν, ἐπεὶ εἶχε περισπᾶσθαι, ἀλλὰ τοὐναντίον· νύσσα γὰρ λέγεται ὁ καπνὸς παρὰ τὸ νύσσεσθαι τούς. τὰ δὲ εἰς ἓν σ ἢ ἓν λ χαίρουσι τῇ περισπωμένῃ τάσει, οἷον φιλῶ,

χρυσῶ, γελῶ, λαλῶ, ἐλῶ (σημαίνει δὲ τὸ ἐλαύνω), ὀφειλῶ, πωλῶ, ἀμελῶ. ταῦτα οὖν τὰ ἔχοντα ἐν λ καὶ μὴ περισπασθέντα, λέγω δὴ τὸ μέλω καὶ θέλω καὶ ὀφείλω, ἀνεμερίσαντο τὴν κλίσιν, καὶ ἕως μὲν τοῦ παρατατικοῦ, ὡς εἴρηται, ἀπὸ βαρυτόνων κλίνονται, μετὰ δὲ τὸν παρατατικὸν ἐν τοῖς ἐφεξῆς χρόνοις ὡς ἀπὸ τῶν περισπωμένων ποιοῦνται τὴν κλίσιν.

26. λέγει ὁ Ἡρωδιανὸς ὡς οὐδέποτε εὑρίσκεται δεύτερος μέλλων ἐνεργητικὸς ὁριστικὸς ἐν χρήσει· ἃς γάρ, φησί, παρέθετο χρήσεις ὁ Ἀπολλώνιος, ἢ πεπλασμέναι αὐτῷ εἰσίν, ὡς τὸ φυγῶν, δραμῶν, τυπῶν (οὐ δεύτεροι γὰρ μέλλοντες· οὐδεὶς γὰρ τῶν παλαιῶν, φησί, τούτοις ἐχρήσατο), ἢ ἐνεστῶτές εἰσιν ἀντὶ μελλόντων, ὡς τὸ

κούρην δ᾽ οὐ γαμέω Ἀγαμέμνονος Ἀτρείδαο

καὶ ὡς τὸ

πάντα ἤδη τοι τελέω·

ἐνταῦθα γὰρ ἐνεστῶτές εἰσιν ἀντὶ μελλόντων· ἀντὶ γὰρ τοῦ γαμήσω καὶ τελέσω, ὥςπερ καὶ ἐν τῷ

ἐγὼ δέ κ᾽ ἄγω Βρισηΐδα καλλιπάρειον.

. . . . . σημειοῦται δὲ τὸ ἐκχεῶ δευτέρου μέλλοντος, οἷον καὶ τὸ κατακλειῖς παρ᾽ Εὐπόλιδι ἐν χρυσῷ γένει, οἷον

εἰ μή τις αὐτὴν κατακλειῖ.

1018, 10. οἱ Ἀθηναῖοι καὶ ἐπὶ τῶν βαρυτόνων καὶ ἐπὶ τῆς πρώτης συζυγίας τῶν περισπωμένων τὸ τρίτον πρόσωπον τοῦ ἐνεργητικοῦ ἐνεστῶτος δεύτερον ποιοῦσι παθητικόν, οἷον τύπτω τύπτεις τύπτει τύπτομαι τύπτει Ἀττικῶς διὰ τῆς ει διφθόγγου· καὶ πάλιν ὡς ἀπὸ τοῦ βούλω βούλεις βούλει γίνεται βούλομαι βούλει Ἀττικῶς διὰ τῆς ει διφθόγγου, ὡς παρὰ Μενάνδρῳ

βούλει Κνήμων εἰπέ μοι·

καὶ πάλιν ποιῶ ποιεῖς ποιεῖ ποιοῦμαι ποιεῖ Ἀττικῶς διὰ τῆς ει διφθόγγου. πάντως δὲ οἱ Ἀθηναῖοι τοῦτο ποιοῦσιν. ἀλλὰ ἀκολουθοῦσι καὶ οἱ πεζολόγοι, ἐπεὶ οἱ τραγικοὶ τοῦτο οὐ ποιοῦσιν ἀλλ᾽ ἀκολουθοῦσι τοῖς κοινοῖς.

1027, 32. λέγουσί τινες ὡς εἰς θι εἰσὶ τὰ προστακτικὰ τοῦ παρακειμένου καὶ ὑπερσυντελίκου. πᾶσα γὰρ μετοχὴ εἰς σ λήγουσα μετ᾽ ὀξείας τάσεως εἰς θι ἔχει τὸ προστακτικόν, οἷον τυπεὶς τύπηθι, νυγεὶς νύγηθι, δαρεὶς δάρηθι. εἰ οὖν τετυφὼς ἡ μετοχὴ εἰς σ μετ᾽ ὀξείας τάσεως, δῆλον ὅτι καὶ τέτυφθι τὸ προστακτικὸν εἰς θι. ὁ δὲ Ἀπολλώνιος οὐ βούλεται τοῦτο, ἀλλὰ λέγει ὅτι εἰς

ε λέγει τὸ προστακτικὸν τοῦ παρακειμένου καὶ ὑπερσυντελίκου, ὁμοφώνως τῷ τρίτῳ προσώπῳ τῶν ἑνικῶν τοῦ ὁριστικοῦ· τότε γάρ, φησίν, εἰς θι ἐστὶ τὸ προστακτικόν, ἡνίκα οὐ μόνον εἰς σ ὀξυτόνος ἡ μετοχὴ ἀλλὰ καὶ διὰ τοῦ ντ κλινομένη. — ταῦτα μὲν ὁ Ἀπολλώνιος. ἡ δὲ χρῆσις διφορεῖται· καὶ εἰς θι γὰρ εὑρίσκεται καὶ εἰς ε, οἷον κέκλυθι νῦν Εὔμαιε καὶ ἄνωχθι καὶ δείδιθι καὶ εὕρηκε σύ. καὶ λέγει Ἡρωδιανὸς ὅτι ταῦτα τὰ εἰς ε προστακτικὰ οὐκ εἰσὶ παρακειμένου ἀλλ' ἐνεστῶτος, τοῦ παρακειμένου εἰς ἐνεστῶτα μετενεχθέντος, οἷον ἀπὸ τοῦ εὕρηκα γίνεται ὁ ἐνεστὼς εὑρήκω· καὶ ἐκ τούτου ὁ παρατατικὸς εὕρηκον εὕρηκες εὕρηκε, καὶ λοιπὸν τὸ προστακτικὸν εὕρηκε σύ.

1028, 12. ἀποροῦσί τινες λέγοντες, εἰ τὰ προστακτικὰ τοῦ πρώτου ἀορίστου καὶ μέλλοντος εἰς ον εἰσίν, οἷον τύψον, γράψον, πῶς ὁ ποιητὴς εἰς ε εἶπε τὸ οἶσε προστακτικόν, καὶ οὐκ εἰς ον, οἷον

οἶσε θέειον γρηῦ

ἀντὶ τοῦ κόμισον θεῖον, ὅ ἐστι θεάφιον. καὶ ἐπιλύεται ὁ γραμματικὸς Ἰωάννης λέγων ὅτι, ἐπειδὴ τούτου ὁ ἀόριστος οὐχ εὕρηται ἐν χρήσει ἀλλὰ μόνος ὁ μέλλων (οἴσω γάρ φαμεν, ὡς ἀπὸ τοῦ οἴω ἐνεστῶτος, οὐ μὴν ὡς ἀπὸ τοῦ ὁριστικοῦ ἀορίστου), τούτου χάριν τοῦ ὁριστικοῦ ἀορίστου μὴ εὑρισκομένου ἐν χρήσει, ἐξ οὗ ὤφειλε κανονισθῆναι τὸ προστακτικόν, ὡς ἔτυχε καὶ οὐ κατὰ ἀκολουθίαν προηνέχθη. ὁ δὲ Ἡρωδιανὸς οὐ δοξάζει τὸ οἶσε προστακτικὸν ἀορίστου καὶ μέλλοντος ἀλλὰ ἐνεστῶτος καὶ παρατατικοῦ. λέγει γὰρ ὅτι ὁ οἴσω μέλλων μετάγεται κατὰ ποιητικὴν ἐξουσίαν εἰς ἐνεστῶτα καὶ κλίνεται λοιπὸν εἰς παρατατικόν, οἷον οἶσον οἶσες οἶσε, καὶ λοιπόν ἐστι τὸ προστακτικὸν οἶσε σύ.

1029, 28. φασί τινες ὡς οὐκ ὤφειλε τραπῆναι τὸ θ εἰς τὸ τ ἐν τῷ τύφθητι· οὐ γὰρ πάντα τρέπεται, ὅτε ἀλληλαλληλία τῶν δασέων ἐστιν, ἰδοὺ γάρ ἐστιν

ἀπέφθιθον ἐσθλοὶ ἑταῖροι,

καὶ ὅμως οὐκ ἐτράπη τὸ θ εἰς τ διὰ τὴν ἐπαλληλίαν τῶν δασέων. ἔστιν οὖν εἰπεῖν ὅτι, ὥσπερ κακόν ἐστιν ἡ κλοπὴ καὶ ὅμως οἱ μὲν φεύγουσιν αὐτήν, οἱ δὲ οὔ, οὕτω κακόφωνον μὲν ποιεῖ τὴν λέξιν ἡ ἀλληλαλληλία τῶν δασέων, καὶ ὅμως τινὰ μὲν φεύγοντα αὐτὴν τρέπουσι τὸ θ εἰς τὸ τ, τινὰ δὲ μὴ φεύγοντα αὐτὴν οὐ τρέπουσι τὸ θ εἰς τὸ τ, ὡς τὸ ἀπόφθιθον.

1032, 5. ὁ λέγων γράψειας εὔχεται ἵνα εἰς πέρας ἔλθῃ τοῦ γρά-

ψαι, καὶ ὁ λέγων ποιήσειας εὔχεται ἵνα εἰς πέρας ἔλθῃ τοῦ ποιῆσαι. ὅθεν οὐ δεῖ λέγειν τινὶ ζήσειας, ἐπειδὴ εὑρίσκῃ εὐχόμενος ἵνα εἰς τὸ πέρας ἔλθῃ τῆς ζωῆς ἤγουν ἵνα ἀποθάνῃ, καὶ λοιπὸν εὑρίσκῃ καταρώμενος αὐτῷ. Cf. Apollon. de Syntaxi p. 252, 15.

1033, 29. δεῖ δὲ προςθεῖναι χωρὶς τῆς τετάρτης συζυγίας τῶν εἰς $\overline{\mu\iota}$· ταῦτα γὰρ οὐ παραλήγουσι διφθόγγῳ· ζευγνύην γὰρ καὶ ὀμνύην χωρὶς τοῦ $\overline{\iota}$. καὶ λέγει ὁ Ἀπολλώνιος ταύτην τὴν ἀπολογίαν, ὅτι τὸ ζευγνύην καὶ τὸ πηγνύην καὶ τὸ ὀμνύην προςθέσει τοῦ $\overline{\mu}$ παθητικὸς γίνεται, οἷον ζευγνύμην, πηγνύμην, ὀμνύμην. εἰ εἶχον οὖν τὸ $\overline{\iota}$ κατὰ τὴν παραλήγουσαν, ἤμελλον ἀποβάλλειν αὐτὸ ἐν τοῖς παθητικοῖς, ἐπειδὴ μετὰ τὴν $\overline{\upsilon\iota}$ δίφθογγον σύμφωνον οὐχ εὑρίσκεται ἐπιφερόμενον, οἷον ἅρπυια, μυῖα, υἱός. ὃ οὖν εἶχον ἀποβάλλειν ἐν τοῖς παθητικοῖς, προαπέβαλον ἐν τοῖς ἐνεργητικοῖς.

1040, 5. δεῖ δὲ γινώσκειν ὅτι Ἴωνες τὸ τετυφυῖα καὶ τὰ ὅμοια λέγουσι διὰ τῆς $\overline{\varrho\iota}$ διφθόγγου καὶ οὐ διὰ τῆς $\overline{\upsilon\iota}$.

1041, 3. ἄξιόν ἐστι ζητῆσαι διὰ τί ἐν ταῖς μετοχαῖς ὁ μὲν ἐνεστὼς καὶ ὁ παρατατικὸς συνεζευγμένοι εἰσί, καὶ ὁ παρακείμενος καὶ ὁ ὑπερσυντέλικος ὁμοίως, ὁ δὲ ἀόριστος ἰδίᾳ ἐστίν. καὶ λέγει ὁ Ἀπολλώνιος ταύτην τὴν ἀπολογίαν, ὅτι συγγένειαν ἔχουσιν αἱ μετοχαὶ πρὸς τὰ ἀπαρέμφατα· ὥςπερ γὰρ τὰ ἀπαρέμφατα, οὐκ ἔχουσιν οὔτε πρόςωπα οὔτε θέλημα ψυχῆς. ἄλλως τε δέ, ὥςπερ ἡ μετοχὴ πτωτική ἐστιν, οὕτως καὶ τὰ απορέμφατα δυνάμει πτωτικά εἰσιν· λέγομεν γὰρ τὸ περιπατεῖν ὠφέλιμόν ἐστι, τοῦ περιπατεῖν ὠφελίμου ὄντος, τῷ περιπατεῖν ὠφελίμῳ ὄντι. ἐπειδὴ οὖν συγγένειαν ἔχουσιν αἱ μετοχαὶ πρὸς τὰ ὀπαρέμφατα, εἰκότως τὴν τάξιν τῶν ἀπαρεμφάτων φυλάττουσι κατὰ τοὺς χρόνους, καὶ ὥςπερ ἐν τοῖς ἀπαρεμφάτοις συνεζευγμένοι εἰσὶν ὁ ἐνεστὼς καὶ ὁ παρατατικὸς καὶ ὁ παρακείμενος καὶ ὁ ὑπερσυντέλικος, ὁ δὲ ἀόριστος καὶ ὁ μέλλων διακεχωρισμένοι εἰσί, τὸν αὐτὸν τρόπον καὶ ἐν ταῖς μετοχαῖς.

1046, 12. ὁ Ἡρωδιανὸς λέγει ὅτι τὸ ἐδίδων ἡ παράδοσις διὰ τῆς $\overline{ου}$ διφθόγγου οἶδεν, οἷον ἐδίδουν, ὡς ἀπὸ τοῦ διδῶ διδοῖς, ὥςπερ χρυσῶ χρυσοῖς· τὸ δὲ ἐτίθην καὶ ἵην διὰ τῆς $\overline{ει}$ διφθόγγου, οἷον ἐτίθειν καὶ ἵειν, ἐξ οὗ τὸ ἐτίθει καὶ ἵει, ὡς παρὰ τῷ ποιητῇ

ἀλλὰ κακῶς ἀφίει.

26.

26. παραφυλαττόμεθα τὸ ἦν τρεῖς κεφαλαί, ὂν ἀντὶ τοῦ ἦσαν. ἔστι γὰρ ἦμεν ἦτε ἦσαν, καὶ γίνεται παρὰ τοῖς ποιηταῖς ἦν τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν, καὶ ἰδοὺ ἐλλείπει μιᾷ συλλαβῇ τοῦ ἰδίου πρώτου πληθυντικοῦ, καὶ οὐ γέγονε πρὸς τὴν παραλήγουσαν τῆς γενικῆς τῆς μετοχῆς. ἔστι γὰρ εἷς ἔντος ἡ μετοχή, καὶ ὀφείλει τὸ τρίτον τῶν πληθυντικῶν γενέσθαι ἐν διὰ τοῦ ε̄· ἀλλ' ἐπειδὴ μονοσύλλαβός ἐστιν ἡ λέξις καὶ τὴν αὐτὴν ἔχει ἄρχουσαν καὶ λήγουσαν καὶ παραλήγουσαν, τῷ λόγῳ τῆς ἀρχούσης ἐφυλάχθη τὸ η̄ καὶ οὐκ ἐγένετο τῷ λόγῳ τῆς παραληγούσης διὰ τοῦ ε̄. ἔστι καὶ ἄλλως τοιαύτη ἀπολογία, ἣν λέγει ὁ Ἡρωδιανὸς ἐν τῷ περὶ αὐτοῦ μονοβίβλῳ, ὅτι ἦν εὑρίσκεται πρώτου πρόσωπου ἑνικοῦ, ὡς παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ

δίκαιος ὢν ἀνὴρ
κακῶς ἔπραττον καὶ πένης ἦν

ἀντὶ τοῦ ὑπῆρχον. εὑρίσκεται καὶ τρίτου προσώπου ἑνικοῦ, ἦν ἐκεῖνος. εὑρέθη δὲ καὶ πρώτου προσώπου πληθυντικοῦ, οἷον ἦν ἡμεῖς ἀντὶ τοῦ ἦμεν. εἰκότως οὖν καὶ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν οὐκ ἐνήλλαξε πρὸς τὸ ἴδιον πρόσωπον, ἀλλ' ἐγίνετο καὶ αὐτὸ ἦν διὰ τοῦ η̄,

τῆς δ' ἦν τρεῖς κεφαλαί

ἀντὶ τοῦ ἦσαν, ἵνα ὥσπερ ἐν τοῖς ἑνικοῖς τὸ πρῶτον καὶ τρίτον ὁμοφωνοῦσι, τὸν αὐτὸν τρόπον καὶ ἐν τοῖς πληθυντικοῖς τὸ πρῶτον καὶ τρίτον ὁμοφωνῶσιν. πάλιν δὲ ἐκ τοῦ ἐναντίου εὑρίσκομεν παρῳχημένων τινῶν τρίτα πρόσωπα πληθυντικὰ ἰσοσυλλαβοῦντα τοῖς ἰδίοις πρώτοις πληθυντικοῖς, τῆς μετοχῆς αὐτῶν μὴ οὔσης εἰς σ̄ μετ' ὀξείας τάσεως, οἷον ἔστιν ὁ πληρῶν τοῦ πληροῦντος ἡ μετοχή, καὶ δέον ἐστὶν εἰπεῖν τὰ πληθυντικὰ ἐπληροῦμεν ἐπληροῦτε καὶ τὸ τρίτον ἐπλήρουν, ἐνδέον μίαν συλλαβὴν τοῦ ἰδίου πρώτου πληθυντικοῦ καὶ λῆγον εἰς τὴν παραλήγουσαν τῆς γενικῆς τῆς μετοχῆς· καὶ ὅμως εὕρηται παρὰ τῷ Εὐριπίδῃ ἐν τῇ Ἑκάβῃ τὸ τρίτον τῶν πληθυντικῶν ἰσοσύλλαβον τῷ ἰδίῳ πρώτῳ προσώπῳ πληθυντικῷ, οἷον ἐπληροῦσαν, ἔνθα φησὶν

οἱ δ' ἐπληροῦσαν πυρὰν
κορμοὺς φέροντες πευκίνους.

καὶ πάλιν ἔστιν ὁ σχάζων τοῦ σχάζοντος ἡ μετοχή, καὶ πάλιν δέον ἐστὶν εἶναι τὰ πληθυντικὰ ἐσχάζομεν ἐσχάζετε ἔσχαζον, καὶ ὅμως εὕρηται παρὰ Λυκόφρονι τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν

ἰσοσύλλαβον τῷ ἰδίῳ πρώτῳ πληθυντικῷ, ἐσχάζοσαν, ἔνθα φησὶν
ἀπὸ γῆς ἐσχάζοσαν
ἀντὶ τοῦ ἀπέλυον. ταῦτα Καλχηδονέων ἰδιώματά εἰσιν.

1047, 13. οὐδέποτε μέσος παρακείμενος δισύλλαβος εὑρίσκεται ἐν χρήσει χωρὶς τοῦ οἶδα καὶ τοῦ ἦκα, ὃ σημαίνει τὸ ὁμοιῶ,
εἶκας μὲν ὡραίῳ λίνῳ
ἀντὶ τοῦ ὡμοίωσαι, καὶ χωρὶς τοῦ ἦα, ὃ σημαίνει τὸ πορεύομαι, ὃ κατὰ διάλυσιν γίνεται ἤϊα, ὡς παρὰ τῷ ποιητῇ
ἤϊα πολλὰ θεοὺς γουνούμενος
ἀντὶ τοῦ ἐπορευόμην· ἐξ οὗ ὁ ὑπερσυντέλικος ἤϊειν διὰ τοῦ η καὶ ι κατὰ τὴν ἄρχουσαν, καὶ ἐν συνθέσει παρήειν καὶ ἐξήειν, ὡς παρὰ Μενάνδρῳ
ἀπήειν τῶν τόκων ἔχων τόκους.
τούτου οὖν χάριν ἐν τοῖς εἰς μι οὐκ ἔστι μέσος παρακείμενος.

Ζητοῦσι δέ τινες καὶ περὶ τοῦ οἶδα πόθεν γέγονε. καὶ ἔστιν εἰπεῖν εἴδω ὁ ἐνεστώς. τούτου ὁ μέσος παρακείμενος ὤφειλεν εἶναι τῆς ει διφθόγγου φυλαττομένης κατὰ τὴν ἄρχουσαν ὥσπερ ἐπὶ τοῦ εἰκονίζω εἰκόνικα, εἰκάζω εἴκακα. ἀλλ' ἐτράπη τὸ ε εἰς τὸ ο Αἰολικῶς καὶ γέγονεν οἶδα διὰ τῆς οι διφθόγγου, ὥσπερ ὄνειρος ὄνοιρος. καὶ λέγουσί τινες διὰ τί γὰρ μὴ λέγομεν ὅτι λόγῳ παραληγούσης ἐτράπη τὸ ε εἰς τὸ ο ἐν τῷ οἶδα μέσῳ παρακειμένῳ, οἷον λέγω λέξω λέλοχα, κείρω κερῶ κέκορα, πείθω πείσω πέποιθα —; ἔστιν οὖν εἰπεῖν ὅτι οὐ δυνάμεθα λέγειν ὅτι λόγῳ παραληγούσης ἐτράπη τὸ ε εἰς τὸ ω ἐν τῷ οἶδα, ἐπεὶ τὰ λόγῳ παραληγούσης τρέποντα τὸ ε εἰς ο ἐν τῷ μέσῳ παρακειμένῳ φυλάττουσιν αὐτὸ καὶ ἐν τῷ ὑπερσυντελίκῳ καὶ ἐν τῇ μετοχῇ, οἷον πείθω πέποιθα ἐπεποίθειν πεποιθώς —. ἀλλὰ μὴν οὔτε ἐν τῷ ὑπερσυντελίκῳ ἐφυλάχθη οὔτε ἐν τῇ μετοχῇ· εἰδὼς γάρ ἐστιν ἡ μετοχὴ διὰ τῆς ει διφθόγγου, καὶ εἴδειν ὁ ὑπερσυντέλικος καὶ κατ' ἔκτασιν Ἀττικὴν τοῦ ε εἰς η ᾔδειν διὰ τοῦ η καὶ ι, ὥσπερ εἰκάζω ᾔκαζον —. ἀλλ' ὡς εἴρηται, κρεῖττον λέγειν ὅτι ψευδαιολικῶς ἐτράπη τὸ ε εἰς τὸ ο. ὅτι γὰρ Αἰολικός ἐστιν τοῦ οἶδα, δῆλον, εἴγε ἐν τῷ σύνοιδα ἀνεβίβασε τὸν τόνον· οἱ γὰρ Αἰολεῖς ἀναβιβαστικοὶ τῶν τόνων εἰσίν. — εἰ μὴ γὰρ Αἰολικῶς, οὐκ ἀνεβίβαζε τὸν τόνον ἐν συνθέσει· κανὼν γάρ ἐστιν ὁ λέγων ὅτι πᾶς παρῳχημένος ὁριστικὸς ἀπὸ φωνήεντος ἀρχόμενος καὶ ἀπὸ φύσει μακρᾶς τὸν αὐτὸν τόνον φυλάττει ἐν

τῇ συνθέσει, χωρὶς τοῦ ὑπόειξεν, οἷον ὡς παρὰ τῷ ποιητῇ ἐν Ὀδυσσείᾳ

τῷ δ' ἕδρης ἐπιόντι πατὴρ ὑπόειξεν Ὀδυσσεύς,

καὶ τοῦ εἶκον ὑπόεικον,

νηῶν δ' ὑπόεικον ἀνάγκῃ.

ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, εἶχον κατεῖχον, εἶπον προςεῖπον, ἦλθον συνῆλθον, εὗρον ἐφεῦρον, ἧψα συνῆψα, εἶδον συνεῖδον, ἶγμαι ἀφῖγμαι, εἶκον ὑπεῖκον, εἶξεν ὑπεῖξεν. οὕτως οὖν καὶ οἶδα συνοῖδα ὤφειλεν εἶναι, ἀλλ' ὡς εἴρηται Αἰολικῶς ἀνεβίβασε τὸν τόνον καὶ γέγονε σύνοιδα προπαροξυτόνως. πρόσκειται ἐν τῷ κανόνι „ὁριστικός" διὰ τὸ εἶπε ἔξειπε, εὗρε ἔφευρε· ταῦτα γὰρ ἀνεβίβασαν τὸν τόνον, ἀλλ' οὐκ εἰσὶν ὁριστικὰ ἀλλὰ προςτακτικά. πρόςκειται δὲ „ἀπὸ φωνήεντος ἀρχόμενος" διὰ τὸ κεῖτο κατέκειτο, χεῦεν ἐπέχευεν· ταῦτα γὰρ ἀνεβίβασαν τὸν τόνον, ἀλλ' οὐκ ἄρχονται ἀπὸ φωνήεντος ἀλλ' ἀπὸ συμφώνου. „ἀπὸ φύσει" δὲ „μακρᾶς" πρόςκειται διὰ τὸ ἶζε ἔφιζε,

Νέστωρ αὖθις ἔφιζε·

τοῦτο δὲ τὸ ἔφιζε κοινῶς μὲν φύσει μακρὸν ἔχει τὸ ῑ, ἐξ οὗ τὸ ἐφῖζε προπερισπωμένως, Ἰωνικῶς δὲ ἢ ποιητικῶς συστέλλει αὐτό, τουτέστι θέσει μακρὸν αὐτὸ ἔχει, ἐξ οὗ τὸ ἔφιζε προπαροξυτόνως. „παρῳχημένος" δὲ πρόςκειται διὰ τὸ ἧται τὸ σημαῖνον τὸ κάθηται· τοῦτο γὰρ καὶ ἀπὸ φωνήεντος ἄρχεται καὶ ἀπὸ φύσει μακρᾶς, καὶ ὅμως ἀνεβίβασε τὸν τόνον, ἀλλ' οὐκ ἔστι παρῳχημένου χρόνου ἀλλ' ἐνεστῶτος. ταῦτα μὲν ἐν τούτοις· ἰστέον δὲ ὅτι φαίνεται ὁ Ἡρωδιανὸς — — *) οὐκ ἔστιν ἡ οι δίφθογγος Αἰολική, ἀλλὰ ψευδαιολικόν ἐστι τὸ σύνοιδα. τούτων οὕτως ἐχόντων δεῖ γινώσκειν ὅτι τὸ δεύτερον πρόσωπον τοῦ οἶδα κατὰ ἀναλογίαν, φημὶ δὴ τὸ οἶδας, κεκώλυται, ἀντ' αὐτοῦ δὲ τὸ οἶσθα κέχρηται·

οὐ γάρ πω σάφα οἶος νόος Ἀτρείδαο οἶσθα·

οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι·

εὕρηται δὲ καὶ μετὰ τοῦ σ, οἶσθας, ὡς παρὰ Κρατίνῳ ἐν Μαλθακοῖς.

---

*) Omitto quae apposui Apollon. Dysc. de construct. orat. p. 350. Ubi dele, quod per incuriam irrepsit, ει.

1053, 14. τὰ προστακτικὰ τῶν εἰς $\overline{\mu\iota}$ τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ διχῶς κανονίζονται. κανονίζονται γὰρ ἐκ τοῦ παρατατικοῦ τῷ κοινῷ λόγῳ, τουτέστιν ὥσπερ τὰ εἰς ῶ, τοῦ τρίτου προσώπου τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβάλλοντα, οἷον ἐτίθει – τίθει σύ, ἵστη – ἵστη σύ, ἐπίμπλη – πίμπλη σύ· γίνονται δὲ καὶ τῷ λόγῳ τῆς μετοχῆς εἰς $\overline{\theta\iota}$.

1058, 19. τὰ εἰς $\overline{\mu\iota}$ κατὰ τὸν ἐνεστῶτα τῶν ὑποτακτικῶν παθητικῶν προπερισπῶνται, οἷον ἐὰν τιθῶμαι, ἐὰν διδῶμαι, χωρὶς εἰ μὴ εὑρεθῇ τὸ ἐνεργητικὸν ἐν χρήσει. ἐὰν γὰρ μὴ εὑρεθῇ τὸ ἐνεργητικὸν ἐν χρήσει, τότε τὸ παθητικὸν προπαροξύνεται, οἷον ἐὰν δύνωμαι, ἐὰν κρέμωμαι· οὐκ ἔστι γὰρ τὸ δύνημι καὶ τὸ κρέμημι ἐν χρήσει.

INDICES.

1.

ᾰ quid significet 808, 9. 809, 4. cur prima sit littera 1176.
ᾰ Ion. mutatum in η 494, 14. 500, 16. 545, 6.
ἆ i. q. ἄβαλε 522, 18. 567, 31.
ἇ i. q. ὡς 558, 26. 566, 18. 568, 1.
ἀάασαι 321, 5.
ἀάασθαι 321, 3.
ἀάατον 321, 1 et 4.
ἀασάμην 321, 8.
ἄατος 321, 9.
ἀβακέως 323, 3.
ἀβακήμων 323, 5.
ἀβακηνούς 323, 4.
ἀβακῆσαι 323, 6.
ἀβακητόν 323, 7.
ἀβάκιον 323, 8.
ἄβακτον 323, 10.
ἀβάλε 321, 10. 522, 15. 568, 9. 946, 9.
ἄβαλέν 321, 11.
ἄβαξ 17, 18.
ἄβαπτος 321, 12.
Ἄβαρις 323, 1.
ἀβασάνιστος 321, 14.
ἀβασανίστως 321, 17.
ἄβατον 321, 13.
ἄβατος ὁδός 22, 26. 323, 12.
ἀβδέλυκτα 321, 19.
ἀβέβηλα 323, 13. 223, 24.
ἀβέβηλος 321, 23. 323, 13.
ἀβελτερία 321, 4.
ἀβελτεροκόκκυξ 27, 24.
ἀβέλτερος 198, 22. 321, 25.
ἄβιοι 199, 26.
ἄβιος 323, 17.
ἀβίωτον 323, 24.
ἀβλαβί Choerob. cod. Barocc. 50.
ἀβλεπτήματι 321, 26.
ἀβληχρήν 322, 1.
ἀβολήσας 322, 8.
ἀβολητύς 322, 9.
Ἀβόλλας Ἀβόλλα ὄνομα ποταμοῦ. Choerobosc. in Theodos. f. 45.
ἄβολον ἵππον 83, 22.
ἄβολον κτῆνος 20, 20.
ἄβολος 322, 2.
ἀβόλως 322, 7.
ἄβου 322, 10.
ἀβουλεῖν 322, 6.
ἀβούλητα 209, 7.
ἀβούλητον κακόν 322, 3. 323, 25.
ἀβουλία 322, 4.
ἄβουλος στάσις 18, 3.
ἀβούλως 322, 5.
ἄβρα 209, 8. 322, 12.
ἀβρὰ βαίνων 322, 11.
ἄβραι 322, 13.

ἀβραμιαῖος 322, 16.
ἀβροδιαίτη 322, 17.
ἀβροδίαιτος 322, 18.
Ἀβροκόμης 322, 22.
ἀβρόν 4, 3.
ἀβρός 322, 20.
ἀβρὸς λειμών 322, 19.
ἀβροσύνη 322, 21.
ἀβροτήμων 322, 23.
ἀβρότητι 322, 24.
ἄβροτον 322, 25.
ἀβρότων 204, 23.
ἀβροχίτων 322, 26.
ἀβρυνά 224, 19.
ἀβρύνεται 209, 9. 322, 27.
ἄβρωτος 322, 2.
ἀβυδοκόμης 215, 6. 322, 31.
Ἄβυδος 215, 5. 322, 30.
ἄβυκτον 323, 10.
ἀβύρβηλον 322, 28.
ἀβυρτάκη 323, 26.
ἀγάζεις 336, 6.
ἀγάζω 121, 30.
ἀγαθά 324, 3.
ἀγαθάγγελος Theognostus f. 59.
Ἀγάθαρχος 324, 1.
ἀγαθῇ τύχῃ 209, 11.
ἀγαθικά 324, 7.
ἀγαθοεργοί 209, 4. 333, 30.
ἀγαθοί 209, 12.
ἀγαθὸν δαίμονα 327, 6.
ἀγαθὸν ἔτι τοῦτ' ἀπολείπεται, εἰ καὶ τοῦτ' ἄρα 5, 30.
ἀγαθὸς φαγεῖν 334, 3.
ἀγαθοῦ δαίμονος πόμα 209, 14.
ἀγαθοῦ πόματος 334, 4.
ἀγαθουργίαν 78, 14.
ἀγαθῶν ἀγαθίδες 9, 31.
ἀγαθῶν πάντων ἐπινένηται ἡ τράπεζα 13, 24.
ἀγαθῶς 327, 22.
ἀγαί 336, 10.
ἄγαιον 334, 7.
ἀγακλεές 209, 17.
ἀγαλακτία vel ἀγαλαξία 336, 26.
ἀγάλλει 324, 8.
ἀγάλλεται 209, 18.
ἀγάλλιος 334, 17.
ἀγάλλων 324, 9.
ἄγαλμα 82, 9. 324, 4. 334, 18.
ἄγαλμα Ἑκάτης 336, 31.
ἀγάλματα Ἑκάτης 327, 13.
ἀγαλματουργία 335, 3.
ἀγαλματοποιία 335, 3.
ἀγαλματοποιός 335, 4.
ἀγαλματοφορούμενος 324, 10.
ἀγαλμός 334, 16.
ἄγαμαι 209, 20.
ἀγάμετος 336, 7.
ἄγαμος βίος 344, 31.
ἄγαν 209, 22. 1095.
ἄγαν ἐγκεῖσθαι τῷδε 334, 32.
ἄγαν τείνειν 336, 1.
ἀγανάκτησις 334, 30.
ἀγανακτητέον 334, 28.
ἀγανακτικόν 334, 28.
ἀγανακτῶν 334, 22.
ἀγανακτῶ σοῦ 334, 24.
ἀγάννιφον 324, 12.
ἄγανον 335, 10.
ἀγανόν 335, 12.
ἀγανοφροσύνη 324, 13.
ἀγανώπιδος 324, 14.
ἀγαπῷν 324, 23.

ἀγάπησιν 324, 27.
ἀγαπησμός 324, 27.
ἀγαπητὰ ἤθη 324, 21.
ἀγαπητόν 209, 23. 324, 22. 336, 13.
ἀγαπητός 336, 12.
ἀγαπῶ 129, 23.
ἀγαπῴην ἄν 325, 1.
ἀγάσαιτο 324, 25.
ἄγασθαι 326, 18.
ἀγασθείς 209, 10.
ἀγασθῶ τινί 324, 32.
Ἀγασικλῆς 329, 6.
ἀγάσματα 325, 22.
ἀγάσσει 336, 8.
ἀγαστά 336, 4.
ἀγάστονος 324, 31.
ἀγαστοῦ 324, 26.
ἀγαστῶς 336, 4.
ἀγαυρίαμα 325, 8.
ἀγγαρεία 209, 24.
ἀγγαρεύεσθαι 325, 6.
ἄγγαροι 325, 13.
ἄγγαρος 325, 2.
ἀγγάρου 212, 3.
ἀγγαροφορεῖν 325, 10.
ἀγγεῖον 792, 29.
Ἀγγέλη 335, 20.
ἀγγελιαφόρος 325, 9.
ἀγγελικὴ ῥῆσις 26, 6.
ἄγε δῆτα 325, 18.
ἄγειν 79, 16. 335, 22.
ἄγειν καὶ φέρειν 206, 14. 325, 19.
ἀγείρει 325, 25.
ἀγελαιοκομική 326, 28.
ἀγελαῖος 325, 27.
ἀγελαίων 325, 26 et 27.
ἀγέλας πόνων 336, 29.
ἀγέλαστα πρόσωπα 336, 30.
ἀγέλαστος 337, 6.
ἀγέλαστος βίος 344, 30.
ἀγενὲς καὶ στενὸν φθέγμα 336, 19.
ἀγενής 328, 2.
ἀγεννῶς 326, 6.
ἀγέραστος 326, 7.
ἀγερμός 326, 21.
ἀγερσικύβηλιν 336, 15.
ἀγερωχία 326, 8.
ἀγέρωχος 209, 25. 326, 9.
ἀγέρωχος ταῦρος 336, 21.
ἄγεται 326, 10.
ἄγευστος θοίνης 12, 9.
ἀγεύστου θοίνης 326, 11.
ἄγευτοι 326, 12.
ἀγεωργίου δικάζεσθαι 20, 26. 336, 22.
ἀγή 326, 14.
ἀγῆλαι 328, 9.
ἀγηλατεῖν 328, 32.
ἀγηλατῶν 337, 11.
ἄγημα 327, 26.
ἀγήνωρ 327, 29.
ἀγηοχώς 325, 24.
ἀγήρῳ 327, 32.
ἀγής 337, 13.
Ἀγησίλαος 329, 9.
Ἀγησίπολις Ἀγησιπόλιος et Ἀγησιπόλιδος 1193.
ἀγητός 326, 13.
ἁγιάσαι 328, 1.
ἁγιάσατε 328, 3.
ἁγιασθέντων 328, 5.
ἁγίζειν 327, 12.
ἅγιος 387, 16.

Ἄγις Ἄγιος et Ἀγίδος 1193.
ἄγις 327, 21.
ἁγίσαι 329, 12.
ἁγιστείας 328, 4.
ἁγιστεύειν 328, 5.
ἁγιστεύσαντες 328, 7.
ἀγίτης 338, 19.
ἄγκαθεν 337, 25.
ἀγκαλίδα 328, 8.
ἀγκαλιδαγωγοί 337, 19.
ἀγκαλίδας ἕλκειν 327, 8.
ἀγκαλίδες ξύλων 13, 10.
ἀγκαλιδοπῶλαι 337, 23.
ἀγκαλιδοφόροι 337, 20.
ἀγκαλίζει 327, 14.
ἀγκιστρεύει 329, 1.
ἄγκιστρον 335, 21.
ἄγκρατος ἐλαύνοντα 329, 15.
ἄγκρατος ἐλαύνω 337, 27.
ἀγκύλη 327, 19. 337, 30.
Ἀγκύλη καὶ Ἀραφήν 338, 13.
ἀγκυλία 329, 2.
ἀγκυλομῆται 329, 3.
ἀγκύλον 329, 4.
ἀγκυλοχείλης 978. 1189.
ἀγκυλόχειλος 329, 5.
ἄγκυραι 338, 15.
ἀγκυρίσαι 81, 4.
ἀγκυρίσας 327, 10.
ἀγκωλιώδειν 327, 5.
ἀγκώνη – ἀγκοίνη Boeot. 782, 34.
ἄγλαι 338, 14.
ἀγλαΐα 329, 17.
ἀγλαΐζει 209, 33.
ἀγλαΐσαι 328, 31.
ἀγλαόκοιτος 329, 18.
ἀγλαός 1096.
ἀγλαότιμον 329, 19.
ἄγλαυρος 329, 24.
ἀγλευκές 329, 20.
ἀγλευκέστερον 329, 21.
ἀγλευκής 327, 4.
ἀγλῖθες 327, 15.
ἀγλωττία 329, 22.
ἄγμα 324, 19.
ἄγμασι 329, 23.
ἄγναπτος 338, 27.
ἁγνεία 329, 27.
ἁγνεύειν 209, 30.
ἁγνεύεται τὴν πόλιν 338, 17.
Ἁγνίας 329, 26.
ἁγνίσαι 339, 8.
ἀγνοδικεῖς 338, 22.
ἀγνόδικος 338, 21.
ἀγνοεῖν 338, 23.
ἄγνοια 324, 16.
ἀγνοίη 338, 23.
ἀγνόν 324, 15.
ἁγνοπολεῖσθαι 338, 25.
ἀγνούσιος 329, 13.
ἀγνύς ἀγνῦθος 1208.
ἄγνυται 329, 29.
ἀγνώμονες 334, 8.
ἀγνωμόνως 329, 30.
ἀγνῶτα 324, 17.
ἀγνῶτας 329, 28.
ἄγοι 329, 32.
ἀγομένων τῶν ἡμετέρων 330, 5.
ἀγόμφιος αἰών 339, 15.
ἄγονον 212, 20.
ἀγόντων 212, 22.
ἀγορά 210, 8. 327, 23.
ἀγορὰ Ἀργείων 212, 23.
ἀγορὰ καὶ ἐφορία 204, 6.

ἀγοράζει 330, 7.
ἀγοράζειν 20, 6.
ἀγορείαν 330, 9.
ἀγοραῖοι 330, 15.
ἀγοραῖος Ἑρμῆς 327, 9. 339, 1.
ἀγοραῖος Ζεύς 327, 9. 338, 32.
ἀγοραῖος νοῦς 339, 10.
ἀγοράν 327, 25.
ἀγορανομίας 330, 17.
ἀγορανόμοι 199, 24. 330, 13.
ἀγορανόμος 212, 25.
ἀγοράς 330, 10.
ἀγοράσαι 78, 8.
ἀγοράσεως 339, 4.
ἀγόρασιν 326, 19.
ἀγοράσματα 331, 28. 339, 3.
ἀγοραστήν 339, 13.
ἀγοράσω 326, 22. 331, 24.
ἀγορᾶς ὥρᾳ 330, 19.
ἀγορεύει 1095
ἀγορήν 330, 16.
ἀγορηταί 330, 24.
ἀγορητάς 212, 26.
ἄγοροι 339, 5.
ἄγορος 339, 5.
ἄγος 212, 31. 324, 20. 330, 26.
ἀγός 212, 27. 330, 25. 338, 26.
ἀγοσταί 213, 4.
ἀγοστήσας 213, 4.
ἀγοστούς 212, 29.
ἄγουσιν ἑορτὴν οἱ κλέπται 331, 11.
ἄγραι 326, 24. 334, 11.
ἀγράνδις] τὰ εἰς δις ἐπιῤῥήματα, ἔχοντα πρὸ τοῦ δ τὴν αν συλλαβήν, διὰ τοῦ ι γράφεται καὶ Δώριά ἐστιν, οἷον χαμάνδις, ἀγράνδις, ὀλυμπιάνδις. Ge. Choerobosc. cod. Barocc. 50. f. 106.
ἄγραυλοι 213, 1. 331, 3.
ἄγραυλος 326, 17.
ἄγραφα 331, 5.
ἀγραφίου 184, 23. 199, 28. 331, 21.
ἀγράφου μετάλλου 184, 27.
ἀγρεύματα 340, 8.
ἀγρευτικὴ στολή 339, 32.
Ἀγριάδαι 348, 24
ἀγριόθυμος 213, 2.
ἄγριοι 200, 21. 339, 23.
ἀγρίοις κατακαῦσαι ξύλοις 10, 26.
ἄγριον ὑποβλέπει με 331, 17.
ἄγριος ἔλαιος 339, 28.
ἀγρίους 332, 26.
ἀγριωθείς 15, 16.
ἀγροβόας ἀνήρ 17, 1. 339, 30.
ἀγροικεῖν 340, 18.
ἄγροικος 43, 3. 331, 4 et 6.
ἄγροικος ὀπώρα 340, 8.
ἀγροίκων 340, 18.
ἀγρόμενοι 331, 8.
ἀγρονόμοι 331, 19.
ἀγρότας 331, 20.
ἄγρυκτα καὶ ἄλεκτα πέπονθα 339, 33.
Ἀγρυλῆθεν 332, 30
ἀγρῶσται 213, 6. 332, 8.
ἀγυιαί 332, 13.
ἀγυιᾶς 331, 30.
ἀγυιάτιδες 340, 20.
ἀγυιεύς 327, 17.
ἀγύναιξ] ἡ γύναιξ εὐθεῖα ἐπι-

λέλοιπεν. ἐν δὲ τῇ συνηθείᾳ, ἐπειδὴ γίνεται ἀρσενικοῦ γένους, ἀναδέχεται τὴν εἰς αιξ κατάληξιν, οἷον ὡς ὢν ἄπαις τε κἀγύναιξ κἀνέστιος παρὰ Σοφοκλεῖ ἐν Ἀθάμαντι. Choerob. in Theodos.
ἄγυνον 326, 23.
ἄγυρμα 327, 24.
ἀγυρμός 331, 10.
Ἀγύῤῥιος 331, 29.
ἀγύρτης 213, 9. 331, 14.
ἀγυρτικά 213, 10. 332, 11.
ἀγυρτώδη 213, 11. 332, 12.
ἄγχαζε 340, 22.
ἄγχασκε 340, 21.
ἀγχέμαχοι 555, 4. 606, 7.
ἀγχέμαχος 213, 12.
ἄγχι 332, 23.
ἀγχίθυρος 213, 13. 332, 24.
ἀγχίμαχος 332, 22.
ἀγχίμολον 332, 32.
ἀγχίμολος 213, 14.
ἄγχιμος 340, 24.
ἀγχίνοια 210, 7. 332, 33.
ἀγχίνους 333, 1.
ἀγχίσποροι 332, 25.
ἄγχιστα 333, 2.
ἀγχιστεία 213, 15. 333, 3.
ἀγχιστεῖς 213, 15. 333, 3.
ἀγχιστεύω 126, 8.
ἀγχιστίνδην 333, 8.
ἀγχίστροφοι 333, 10.
ἀγχιτέρμων 333, 15.
ἀγχόσε 607, 33.
ἀγχοῦ 333, 11.
ἀγχωμάλου 333, 12.
ἀγωγεῖ 333, 17.
ἀγωγεύς 22, 20. 340, 26.
ἀγωγή 333, 20.
ἀγώγιμος 333, 16.
ἀγωγίμων 333, 22.
ἀγώγιον 333, 13.
ἀγωγόν 333, 23.
ἀγωγούς 333, 24.
ἀγών 198, 8. 326, 20.
ἀγωνίᾳ 333, 19.
ἀγωνιᾷν 324, 18. 333, 26.
ἀγώνισις 438, 1.
ἀγωνίσωνται 123, 23.
ἀγωνιῶ 333, 25.
ἀγωνιῶντες 333, 27.
ἀγωνοθέτης 333, 28.
ἀδαγμός 342, 22.
ἀδαήμονες 340, 32.
ἀδαμάντινος 340, 33.
ἀδαξῆσαι 340, 28.
ἄδασμος 342, 24.
ἀδαχεῖν 340, 29.
ἄδδιξ 342, 26.
ἀδέητος 183, 11. 341, 3.
ἀδείμαντα 341, 1.
ᾄδειν ἀλεκτρυόνας 21, 24.
ᾄδειν ὅμοιον 3, 8.
ἀδεκάστως 213, 21. 341, 4.
ἀδεκατεύτους 342, 27.
ἀδελφά 341, 2.
ἀδελφίζειν 83, 25. 341, 23.
ἄδηλος γνώμη 17, 12.
ἀδημονεῖν 208, 21.
ἀδημονούσης 341, 25.
ἀδημοσύνη 80, 6.
ἀδημονῶν 341, 5.
ἀδήν 341, 15. 612, 8.
ἀδήν v. Δαμήν.

ἀδηνέως 341, 21.
ἀδήριτος 341, 8.
ἀδηφάγοι 210, 13.
ἀδηφάγοι τριήρεις 343, 27.
ἀδηφάγους τριήρεις 203, 19.
ἀδήωτον 341, 7.
ἀδιάβατος 343, 24.
ἀδιάγλυπτον 344, 17.
ἀδιαίτητος 341, 13.
ἀδιάκριτος 213, 22. 341, 11.
ἀδιάλεκτος βίος 344, 30.
ἀδιάλλακτον ἐχθρόν 344, 4.
ἀδιάλυτον 344, 19.
ἀδιαλώβητον 341, 14.
ἀδίαντον 341, 1.
ἀδιάπαυστον ἐχθρὸν 344, 4.
ἀδιάρθρωτον 341, 17.
ἀδιάστατον 341, 27.
ἀδίαυλος τόπος 343, 31.
ἀδιάφθορον 343, 3.
ἀδιαφθόρως 343, 9.
ἀδιαφορία 341, 18.
ἀδίδακτος 344, 21.
ἀδιεξίτητον 341, 20.
ἀδικῆσαι 79, 9.
ἀδικίου 199, 32. 341, 29.
ἀδικομάχους ἵππους 344, 6.
ἀδικομήχανος 343, 21.
ἀδικοπήμονας 343, 12.
ἄδικος 343, 14.
ἀδικότροπος 343, 10.
ἀδικόχειρας 343, 11.
ἀδικοχρήματος 343, 10.
ἀδικοχρημάτους 210, 19.
ἀδικῶ 121, 22.
ἀδινοῖο γόοιο 344, 23.
ἀδίοπον 344, 8.
ἀδιούνιος ταῦρος 344, 10.
ἀδοκίμαστος 341, 32.
ἀδολεσχεῖν 21, 30. 344, 13.
ἀδολέσχης 21, 30.
ἀδολεσχία 341, 19.
ἀδόλως 342, 1.
ἀδόνητον 341, 26.
ἄδοξα 344, 27.
ἀδόξαστον 344, 28.
ἄδοξον 344, 25.
ἀδοξοῦντα 345, 5.
ἄδορον 345, 4.
ἄδορπος 345, 3.
ἀδούλευτος 218, 8.
ἄδουλος βίος 25, 14. 344, 29.
ἀδρανές 342, 2.
ἀδραστεία 342, 6.
ἄδρατα 7, 6.
ἀδράφαξυς 345, 10.
ἀδρηστία 346, 5.
Ἀδριαναὶ γυναῖκες 346, 10.
Ἀδρίας 346, 6.
ἀδρόν 342, 4.
ἀδρότης 342, 4.
ἀδρῦναι 21, 2.
ἀδρύνοιτο 342, 3.
Ἄδρυξ Ἄδρυκος, πόλις Συρακουσίων, ἀρσενικῶς λεγομένη. ἔφυγον εἰς τὸν Ἄδρυκα, Φίλιππος ὁ ἱστορικός φησιν. Choerob. in Theodos. f. 66.
ἀδρύφακτον 345, 14.
ἀδυναμία 345, 26.
ἀδυνασία 345, 26.
ἀδύνατα εἶναι 342, 19.
ἀδυνατία 345, 27.
ἀδύνατοι 200, 3. 345, 15.

ἀδυςώπητον 345, 23.
ἄδυτον 345, 25.
Ἀδώνια 345, 29.
Ἀδώνιος 346, 1.
ἀδώρητος 346, 11.
ἀδωροδόκητος 346, 17.
ἀδωροδοκήτως 213, 20.
ἄδωρος 346, 16.
ἄδωρος χάρις 26, 11. 346, 19.
ἀέθλευον 347, 1.
ἀεθλεύων 347, 2.
ἀεθλοφόρους 347, 3.
ἀεί 346, 21.
ἀείζων 22, 16. 347, 16.
ἀείζων πένθος 347, 30.
ἀειθαλής 346, 29.
ἄειλα 347, 32.
ἀειλογεῖν 21, 18.
ἀειλογία 21, 18. 346, 31.
ἀείνων 22, 16. 348, 1.
ἀείνως 347, 7.
ἀεί ποτε 77, 11.
ἀείταν 348, 2.
ἀειφυγία 346, 30.
ἄελλα 346, 33. ὦ ἀέλλα 1005, 2.
ἀελλάδες ἵπποι 346, 20.
ἀελλησιθύμοις 348, 7.
ἀελλόπους 346, 32.
ἄερκτον 347, 4.
ἀεροβατεῖν 347, 6.
ἀέσαι 348, 8.
ἀετός 348, 3.
ἀετὸς προπύλαιος 202, 20.
ἄζα 348, 14.
ἀζάλιον 348, 16.
ἄζειν 348, 17 et 18.
ἀζήν 348, 21. Cf. v. Δαμήν.
Ἀζηνιεύς 348, 12.
Ἀζηνία 348, 23.
ἀζησία 348, 26.
ἀζήτητον 348, 11.
ἄζυμον 348, 29.
ἀζύμου κράσεως 348, 28.
ἄζυξ 12, 13. 58, 10. 348, 10.
ἀζωτα Olympiodorus in Platonis Gorgiam.
Ἄζων Ἄζωνος ποταμὸς Λυκίας καὶ ὄνομα ἀνδρός. Choeroboscus in Theodos. f. 63.
ἀηδές 349, 1.
ἀηδόνα 349, 3.
ἀηδόνειος θρῆνος 349, 6.
ἀηδόνειος κλαγγή 349, 10.
ἀηδόνειος ὕπνος 349, 8.
ἄησιν 349, 2.
ἀήσυρον 349, 12.
ἀῆται 1096.
ἀθαμβής 349, 13.
ἄθαπτος 353, 3.
ἀθάρα 351, 12.
ἀθάρη 10, 12. 351, 12.
ἀθάριοι 352, 32.
ἀθαυμάστως 353, 4.
ἀθέλβεται 353, 2.
ἀθέλδεται 350, 14.
ἀθέμιστα 349, 14,
ἀθέμιστα καὶ ἀνόσια δρῶν 353, 5.
ἀθέμιστος 349, 15.
ἀθεμιστότερον 353, 6.
ἀθέμιτοι μοῦσαι 353, 6.
ἀθέρα 351, 12.
ἀθεραπευσία 78, 17.
ἀθερίζει 353, 1.
ἀθερίζειν 21, 17.

ἀθεσίαν 350, 20.
ἄθεσμος βλάβη 350, 16.
ἀθετεῖν 79, 31. 350, 19.
ἄθετος 350, 21.
ἄθετος Ἐριννύς 353, 8.
ἀθεώρητος 349, 28.
ἀθέως διέφθαρται 13, 32.
ἄθηλον 350, 22.
ἄθηλον παιδίον 350, 23.
ἀθήλυντον 349, 16.
Ἀθηνᾶ ἱππία 350, 25.
Ἀθήναζε 352, 23.
Ἀθηναίαν 77, 5.
Ἀθηναῖον 430, 24.
Ἀθηνόδωρος 349, 29.
ἀθήρ 21, 15. 353, 15.
ἀθήρα 351, 12.
ἀθήρη 350, 32.
ἀθηρηλοιγόν 21, 17.
ἀθήρης 353, 9.
ἄθηρος ἡμέρα 351, 4.
ἀθησαύριστον 349, 17.
ἄθικτος 82, 8.
Ἀθλίβις Ἀθλίβεως 1192.
ἀθλεύων 349, 25.
ἀθλοθετία 21, 21.
ἆθλον 349, 18 et 19.
ἆθλος 210, 14. 349. 21.
Ἀθμονεύς 349, 30.
ἄθρακτος 352, 16.
ἀθράνευτον 352, 15.
ἄθραυστον 349, 26.
ἄθρει 349, 27.
ἀθρεῖν 350, 1.
ἄθριξ 352, 22.
ἀθροίζει 350, 5.
ἄθρους 350, 3
ἀθυμεῖν 352, 18.
ἀθυμία 210, 11. 352, 20.
ἄθυμος 350, 12.
ἄθυρμα 350, 6.
ἀθυρόγλωσσος 79, 19. 352, 5.
ἀθύρων 350, 11.
ἀθύρωτος 352, 11.
Ἄθων 352, 13.
ἀθῷος 352, 14.
ἀθώπευτον 352, 12.
αι anceps 1175
αἶ 353, 18.
αἶα 362, 3. 1096.
αἰάζειν 353, 24.
αἲ αἶ 360, 6.
αἰαί 360, 10.
Αἰάκιον 212, 15.
Αἰακός 211, 6.
Αἴας Αἴα 1183. Αἶας 1182.
αἰβοῖ 360, 11.
αἰγάλεως 360, 13.
αἰγάρ 353, 25.
Αἰγεῖδαι 354, 10.
αἰγεῖον 354, 8.
αἰγείρου θέα 354, 25.
αἶγες 361, 31.
αἰγιάζειν 353, 26.
αἰγίβοτος 353, 29.
αἰγίζειν 357, 29.
αἰγίθαλλος 360, 14.
Αἰγίναιον σκάφος 361, 29.
Αἰγίνηθεν 361, 29.
αἰγίπυρος 360, 19.
αἰγίς 354, 4.
αἴγλη 354, 15.
αἰγλήεντος 354, 14.
αἴγλης χάριτες 355, 11.

αἰγυπιόν 354, 28.
αἰγύπτης 361, 28.
αἰγυπτιάζειν 354, 13.
Αἰγύπτιον 361, 24.
Αἰγύπτιον γῆρας 361, 19.
Αἴγυπτος 361, 26.
αἰδέσασθαι 354, 33.
αἰδέσεως 80, 4. 361, 32.
αἰδέσιμον 353, 30.
αἰδήμων 354, 29.
αἰδοῖ εἴκων 354, 30.
αἰδοσύνη 354, 31.
ἄϊδρις 363, 9.
ἀίδρυτα 363, 10.
αἰδῶ 355, 14.
αἰεί 361, 6.
αἰειγενετάων 361, 4.
ἀΐειν 363, 11.
αἰεὶ νέον ἐρχομενάων 361, 15.
αἰετοί 361, 17.
Αἰθαλείδης 355, 6.
αἰθάλη 355, 3.
αἰθαλόεν 355, 4.
αἰθαλώδης 355, 5.
αἰθερώδη Olympiodorus in Platonis Philebum.
αἴθεσιν 355, 17.
αἴθεται 1095.
αἰθήρ 355, 18.
Αἰθιόπιον 355, 32.
αἶθοι 362, 6.
αἰθόμενος 355, 20.
αἴθ' ὄφελον 355, 8.
αἰθρεῖ 358, 27.
αἰθρία 355, 21.
αἴθρια στέφη 355, 29.
αἴθριος 355, 22.
αἴθυγμα 360, 20.
αἰθύσσειν 360, 21.
αἰκάλλει 358, 26.
αἰκάλλοντες 21, 25.
αἰκία 355, 23. 360, 23.
αἰκίας 356, 1.
αἰκίζει 355, 27.
αἰκῶς 360, 26.
αἴλινον 358, 29.
αἷμα 356, 17.
αἷμα νίψαι 360, 28.
αἱμασιά 203, 32. 356, 6.
αἱμασιολογεῖν 362, 29.
αἱμασιώδεις 362, 26.
αἵματι κλαίειν 355, 13.
αἱματόεντα 355, 28.
αἱματόῤῥαντοι θυσίαι Choerob. cod. Barocc. 50.
αἱματοῤῥόφον 362, 21.
αἵματος ἆσαι Ἄρηα 358, 31.
αἱματοσταγῆ 362, 9.
αἱμάτου 362, 12.
αἱματωπόν 362, 7.
αἱματῶσαι 360, 18.
αἱμαχᾶναι 363, 15.
αἱμηπότης 602, 25.
αἱμηρόν 356, 16.
Αἶμον 362, 24.
αἱμορίαι 183, 5.
αἱμορυγχία 362, 15.
αἱμοῤῥυής 16, 23.
αἱμούς 360, 30.
αἱμυλίοισι 362, 31.
αἱμυλοπλόκος 363, 4.
αἱμύλος 356, 22. 393, 1.
αἱμυλόφρων 363, 3.
αἱμωδεῖν 10, 6.

αἰ-

αἱμωδιῶν 10, 6.
αἰναρέτης 356, 23.
αἰνεῖν 360, 32.
αἰνίγματα 356, 25.
αἰνίγματα συμβάλλειν 16, 19.
αἰνίζομαι μαζῷ 359, 16.
αἰνίττεται 356, 26.
Αἰνίους 358, 20.
